νίζειν ἐν τῷ βίῳ ἐθέλοι, Οὐδὲν ἔχω, ἔφη, αἰτιᾶσθαι τὸ γῆ-
ρας. Λαμπροτάτη ἀπόκρισις καὶ ἀνδρὸς ἀξία σοφοῦ. Τὰς 14
γὰρ σφετέρας κακίας οἱ ἀμαθεῖς καὶ τὰς σφῶν αἰτίας ἐπὶ τὸ
γῆρας μετάγουσιν· οἷόν τι αὐτὸς οὐκ ἐποίει, οὗ νῦν μνείαν
πεποίημαι, Ἔννιος·

Ἀλλ' ἠΰτ' ἵππος τ' ἄλκιμος, ὃς πύματον διὰ χῶρον
Ζηνὸς Ὀλύμπια πατρὸς πολλάκις ἤρετ' ἄεθλα,
Νῦν κρατερῷ δεδμημένος εὖ μάλα γήραϊ εὕδει.

Σκιπίωνες — πολέμους] *Σκιπίωνος* Colin. *Σκιπίονες* Sturm. *ἀλλώσεις* Bas. *ἁλώσεις* Ald. Sturm. *τε* omis. Cod. reg. *πολέμου* Cod. reg.

ὥςτ' ἐπινικίους πομπὰς — ἐνθυμεῖσθαι] *ὥςτε* Goez. et Gernhard. Gaza est secutus lect. *ut triumphos recordentur:* al. *triumphosque recordentur.*

ἀλλὰ μήν ἐστι καὶ βίου καθαρῶς καὶ ἡσύχως]. Cod. reg. *καθαρῶς μὲν ἡσύχως* Ald. Bas. Colin. Sturm. Lugd. *μὲν καὶ* Goez.

γῆρας ἐλαφρὸν καὶ εὐάρεστον] I. e. *levis et placida senectus,* ut Codd. Man. vd. Gernh. Otto; vulgo *placida ac lenis senectus.*

ὃς πρώτῳ καὶ ὀγδοηκοστῷ ἐτελεύτησεν ἔτει] Colin. interposuit *γράφων* post *ὀγδοηκοστῷ*, quum ap. Cic. sit *scribens.*

ὃν τετάρτῳ καὶ ἐνενηκοστῷ ἔτει φασὶ γεγραφέναι τὸν πανηγυρικὸν ἐπιγραφόμενον λόγον] Expressa est lect. *qui eum librum, qui Panegyricus inscribitur, quarto et nonagesimo anno scripsisse dicitur: Panegyricus* Cod. Bald.; *scripsisse dicitur* plerique Codd. et Edd. ante Ern. *Panathenaicus — scripsisse se dicit* optt. Edd. recc.

πέντε δὲ — ἔτη ἑπτά] *πέντα* Goez. *ἐν τῇ* Ald. Bas. Sturm.

ὃς καὶ ἐρωτώμενος, τί ποτε ἐπὶ τοσοῦτον χρονίζειν ἐν τῷ βίῳ ἐθέλοι, Οὐδὲν ἔχω, ἔφη] *ἐθέλει, ἔφη, οὐδὲν ἔχω* Cod. reg. *καὶ* Goez. omis.

οὗ νῦν μνείαν πεποίημαι, Ἔννιος] Cod. reg. *πεποίηται* Edd., quo 14
expressa est lect. deterior *fecit* Cod. Oxon. *e.*

Ἀλλ' ἠΰτ' ἵππος κτλ.] *ηὔτε* Cod. reg. Male *ἦρετ'* Ald. Bas. Sturm. *δηδμημένος* Goez. infra *μεμνῆσθαι* Colin. Duo Ennii versus, si ad sententiam et ad metrum respicimus, non bene redditi sunt. Conf. Soph. Electr. v. 25 s]. de paedagogo.

εὖ οἶδα μηδὲν κατὰ Φλαμίνιον σέγε, ὦ Ἀττικέ, μεριμνᾶν νύ-
κτας τε καὶ ἤματα πάντα. Ἔγνων γάρ σου τὸ τῆς ψυχῆς ἐπιει-
κές τε καὶ κόσμιον, καί σε μὴ μόνον ἐπωνυμίαν Ἀθήνηθεν
ἀπενέγκασθαι, ἀλλὰ καὶ φρόνησιν καὶ παιδείαν μανθάνω.
Ὑποπτεύω μέντοι καὶ σὲ τοῖς αὐτοῖς, οἷς ἔσθ᾽ ὅτε καὶ ἐμαυ-
τόν, χαλεπώτερον ἐνοχλεῖσθαι, ὧν ἄρ᾽ ἡ παραμυθία καὶ μεί-
ζων δή τίς ἐστι, καὶ εἰς ἕτερόν γε ὑπερκείσθω καιρόν. Νῦν
2 *δέ μοι πρὸς σὲ ἄττα συγγράψαι ἔδοξε γήρως πέρι. Τοῦ γάρ*
τοι φορτίου τοῦδε, ὅπερ ἐμοὶ κοινὸν ὑπάρχει πρὸς σέ, ἤτοι
ἐπιτιθεμένου ἤδη τοῦ γήρως, ἢ καὶ ἐπερχομένου κουφίσαι δεῖν
καὶ σὲ καὶ ἐμαυτὸν ἀξιῶ· καίτοι εὖ εἰδὼς σέγε φέροντά τε αὐτὸ
καὶ οἴσοντα, ὥςπερ ἀμέλει καὶ τἄλλα πάντα, μετρίως τε καὶ
σοφῶς. Ἀλλά μοι ἐπειδὴ βουλομένῳ ἦν περὶ γήρως τι γράψαι,
σὺ προςέβαλλες ἄξιος δώρου τοιοῦδε, ᾧ γ᾽ ἂν εἰς κοινὸν χρῷτο
ἡμῶν ἑκάτερος. Ἔμοιγε οὖν ἡ τοῦ τοιούτου σύνταξις λόγου
οὕτω που καθ᾽ ἡδονὴν ἐγεγόνει, ὥςτε μὴ μόνον τὰ χαλεπὰ τοῦ
γήρως ξύμπαντα ἀπεῤῥῦφθαι, ἀλλὰ καὶ μαλθακὸν τὸ γῆρας
προςαπειργάσθαι καὶ ἡδύ. Οὐ μήποτ᾽ οὖν ἱκανῶς πρὸς ἀξίαν
ἐγκωμιάσαι φιλοσοφίαν γένηται, ᾗ γ᾽ ὁ πειθόμενος οἷός τε διά-
3 *γειν ἔξω χαλεπῶν τὸν τοῦ βίου σύμπαντα χρόνον. Ἀλλὰ τῶν*
μὲν ἄλλων πέρι πολλά τε εἰρήκαμεν, καὶ εἰςαῦθις ἐροῦμεν πολ-

Cic., quam lect. lectioni *Flamininum* posthabendam Gaza est secutus. De eadem confusione nominum vid. Appian. Maced. T. I. et III. p. 510. Schweigh. Schaef. ad Plutarch. Vit. T. V. p. 52. 66. *Res*, i. e. res familiaris, non est *πρᾶγμα*, sed *οὐσία — χρήματα*. Pro *ἔμπλεως* Colin. *ἔκπλεως*. Ceterum versus trochaicus Ennii metri vinculis solutis est redditus.

κατὰ Φλαμίνιον] Apud Cic. est *ut Flamininum*, i. e. *ὡς Φλαμινῖνον*.

μεριμνᾶν] *Sollicitari* ap. Cic. melius i. q. *λυπεῖσθαι — ἄχθεσθαι — ταράττεσθαι*. Versum Ennii metro soluto Gaza interpretatus est.

καὶ μείζων δή τίς ἐστι] *καὶ μείζων δὲ* Cod. reg.

ἄττα συγγράψαι] Cod. reg. Lugd. *ἅττα* Ald. Bas. Colin. Sturm. Goez. Vd. Matth. Gr. Vol. I. §. 151. Vol. II. §. 487. 4. *Συγγράψαι* i. q. *conscribere*: in multis Codd. et Edd. *scribere*.

2 *κουφίσαι*] Expressa est lectio deterior *levare* pro *levari*.

ἀμέλει τἄλλα] *ἀμέλλει* Cod. reg. *τἆλλα* Colin.

γράψαι] Cod. reg. recte ut Cic. *scribere*: *συγγράψαι* Edd.

προςέβαλλες] Cod. reg. recte ut Cic. *occurrebas*: *προςέβαλες* Edd. *Occurrere* h. l. i. q. *ἐντυγχάνειν — συμβάλλεσθαι*.

χρῷτο] *χρῶτο* Cod. reg. Edd.

που — ἐγεγόνει] *πως — γέγονεν* Colin. e corr.: apud Cic. *fuit*.

ἀπεῤῥῦφθαι] *ἀπεῤῥύφθαι* (in marg. gloss. *κεκαθάρθαι*) Cod. reg. recte, quum ap. Cic. sit *absterserit*; *ἀπεῤῥῖφθαι* Edd.

μαλθακόν] Cod. reg. *μαλακὸν* Edd.

3 *καὶ εἰςαῦθις ἐροῦμεν πολλάκις*] *εἰςαῦθις* de suo addidit Gaza.

λάκις· τὸ νῦν δ' εἶναι βιβλίον τοῦτό σοι περὶ γήρως πεπόμφαμεν. Πάντα δὲ τὸν λόγον οὐ Τιθωνῷ, καθάπερ Ἀρίστων ὁ Χῖος, περιτεθεικότες ἐσμέν, τοῦ μή τι σμικρὸν ὡς ἐν μύθοις ἀξίωμα εἶναι, ἀλλὰ Μάρκῳ Κάτωνι γέροντι, ἵνα μείζονος ἔχοιτο ἀξιώματος ὁ λόγος. Πρὸς τοῦτον δὲ δὴ Λαίλιον καὶ Σκιπίωνα θαυμάζοντας πεποιήκαμεν, ὅτι ῥᾳδίως αὐτὸς φέρει τὸ γῆρας, κἀκείνοις αὖ πάλιν τόνδε ἀποκρινόμενον. Ὁ δέ γε εἴ τι πολυμαθέστερον δοκεῖ διαλέγεσθαι, ἢ ὡς ἐν τοῖς ἰδίοις αὐτὸς εἴωθε συγγράμμασι, τοῖς Ἑλληνικοῖς τοῦτό γε ἀπόνεμε λόγοις, περὶ οὓς δῆλον ὡς ὅδ' ἐν γήρᾳ τυγχάνει λίαν ἐσπουδακώς. Ἀλλὰ τί δεῖ πλειόνων; ἤδη γὰρ ὁ λόγος αὐτοῦ Κάτωνος πᾶσαν τὴν ἡμετέραν περὶ γήρως δηλώσει διάνοιαν.

II. ΣΚΙΠΙΩΝ. Πολλάκις, ὦ Μάρκε Κάτων, θαυ- 4
μάζειν εἴωθα μετὰ Γαΐου Λαιλίου τουτουῒ ποτὲ μὲν τὴν σὴν περὶ τἄλλα ἐπιφανῆ τε καὶ τελείαν σοφίαν, ποτὲ δὲ καὶ μάλιστα τὸ μηδεπώποτέ σοι ἐπαχθὲς ὂν τὸ γῆρας αἰσθέσθαι· ὅπερ οὐκ ὀλίγοις τῶν γερόντων οὕτως ἐστὶ μισητόν, ὥστε σφᾶς ἀνέχειν φορτίον φάσκειν Αἴτνης βαρύτερον. ΚΑΤΩΝ. Πρᾶγμα ἥκιστα χαλεπὸν θαυμάζειν ἐοίκατε, ὦ Σκιπίων καὶ Λαίλιε. Οἷς μὲν γὰρ ἐπικουρία παρ' αὐτοῖς οὐδεμία πρὸς τὸ

τὸ νῦν δ' εἶναι βιβλίον τοῦτό σοι περὶ γήρως πεπόμφαμεν] Quum Codd. exhibeant: *hunc vero librum — hunc autem librum — nunc librum — nunc vero librum*, Gaza utramque lectionem copulavit: *Nunc vero hunc librum.* Gernh. suspicatur, num quis scripserit: *Nunc hunc librum mittimus?*

καθάπερ] *κατάπερ* Ald. Bas.

τοῦ μή τι σμικρὸν ὡς ἐν μύθοις ἀξίωμα εἶναι] Gaza secutus est lect. *ne parum esset auctoritatis tamquam in fabula*, quam offert quoque Ed. Colon. 1563: *parum enim esset auctoritatis* optt. Edd.

τοῦτον δὲ δὴ Λαίλιον καὶ Σκιπίωνα] *δή* addit Cod. reg. *Δαίλιον* Lugd. *Σκηπίωνα* Goez. Nomen *Scipionis* Cod. reg. Edd. constanter per ι exhibent: vd. de scriptur. *Σκιπίων* et *Σκηπίων* annot. meam ad Somn. Scip. cp. IX.

εἴωθε συγγράμμασι] Cod. reg. *εἴωθεν* Edd.

ὡς ὅδ' ἐν] Cod. reg. *ὅγε ἐν* Ald. Bas. Lugd. Sturm. Goez. *ὅγ' ἐν* Colin.

Cap. II. In Cod. reg. haec leguntur: *Τὰ τοῦ διαλόγου πρόσωπα σκιπίων κάτων λαίλιος προλογίζει σκιπίων.* 4

τελείαν] Cod. reg. *τελέαν* Edd.

Πολλάκις κτλ.] Recte observat Otto, Ciceronem videri expressisse loc. Plat. Crit. Cap. I. *καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις.*

ὥστε σφᾶς ἀνέχειν φορτίον φάσκειν Αἴτνης βαρύτερον] Sententia h. l. est desumpta ex Eurip. Herc. fur. v. 631 sq. Matth.

— ἄχθος δὲ τὸ γῆρας ἀεὶ
βαρύτερον Αἴτνας σκοπέλων ἐπὶ κρατὶ κεῖται.

ζῆν εὖ τε καὶ μακαρίως, τούτοις ἐπαχθής ἐστιν ἡλικία πᾶσα· ὅσοι δὲ παρὰ σφῶν πάντα αἰτοῦσι τἀγαθά, τούτοις κακὸν οὐδὲν οἷόν τε δοκεῖν, ὧν ἂν φύσεως ἀνάγκη ἐπάγῃ. Οἷον δὴ καὶ τὸ γῆρας τυγχάνει ὅτι μάλιστα ὄν, ὃ κτήσασθαι μὲν εὔχονται πάντες ἄνθρωποι, κτησάμενοι δὲ τοῦτο πάλιν αὐτὸ αἰτιῶνται. Εἰς τοσοῦτον δὴ ἥκουσιν ἀστασίας καὶ εὐηθείας καὶ κακοηθείας. Θᾶττον αὐτό φασιν ἢ ὡς ἂν ᾠήθησαν ὑποδύεσθαι. Πρῶτον μὲν οὖν τίς αὐτοὺς οἴεσθαι βιάζεται τὰ ψευδῆ; Τί γάρ; θᾶσσον νεανίσκῳ τὸ γῆρας, ἢ παιδὶ ἡ νεανικὴ ὑποδύεται ἡλικία; Ἔπειτα δὲ πῶς ησσον αὐτοῖς ἐπαχθὲς ἔσται τὸ γῆρας, εἰ ἔτος διατελοῖεν ὀκτακοσιοστὸν ἢ ὀγδοηκοστόν; τὸ γὰρ τοῦ βίου παρεληλυθός, κἂν μακρόν, ἐξεῤῥυηκὸς μέντοι ἅπαξ, οὐδενὶ ἂν ἔτι παραμυθίῳ γέροντα εὐήθη κα-
5 ταμειλίσσειν δυνατὸν εἴη. Δι' ὃ δὴ εἰ τὴν ἐμὴν σοφίαν φιλεῖτε θαυμάζειν (ἣ ὄφελον ἦν ἀξία τῆς θ' ὑμῶν ὑπολήψεως, τῆς θ' ἡμετέρας ἐπωνυμίας), ἐν τούτῳ τυγχάνομεν ὄντες σοφοί, ὅτι φύσει ἡγεμόνι ἀρίστῃ ἑπόμεθα καθάπερ θεῷ, καὶ πειθόμεθα ταύτῃ, ὑφ' ἧς οὐκ εἰκός, τῶν ἄλλων τοῦ βίου μερῶν εὖ διαγεγραμμένων, τὸ τελευταῖον δρᾶμα ὥσπερ ὑπὸ ῥᾳθύμου ποιητοῦ ἠμελῆσθαι. Ἀλλὰ γὰρ ὅμως ἀναγκαῖον ἦν καίτοι που

ὅσοι δὲ παρὰ σφῶν πάντα αἰτοῦσι τἀγαθά] Cod. reg. *τὰ ἀγαθά* Edd. Verba Cic. non commode reddita sunt: *qui autem omnia bona a se ipsis petunt.*

τυγχάνει ὅτι μάλιστα] *ὅτι* addit Cod. reg. *τυγχάνι* Goez. *μάλισται* Sturm.

Εἰς τοσοῦτον δὴ ἥκουσιν ἀστασίας καὶ εὐηθείας καὶ κακοηθείας] *τοσοῦτον δὴ ἥκουσιν* Cod. reg. *τοσοῦτο δὲ ἥκουσι* Edd. *καὶ εὐηθείας* om. Cod. reg. Expressa est lectio *tanta inest inconstantia, stultia atque perversitas*, pro qua in optt. Edd. recept. *tanta est stultitiae inconstantia atque perversitas.* Pro *ἥκουσι* male *ἥκοισι* Sturm., pro *εὐηθείας* male *εὐθείας* Goez.

Θᾶττον αὐτό φασιν ἢ ὡς ἂν ᾠήθησαν ὑποδύεσθαι] Cod. reg. [at male *αὐτὸ φασίν*]; *ἢ ᾠήθησαν ἄν* Edd. Aeschin. Axioch. cp. 9. *Λαθὸν ὑπεισῆλθε τὸ γῆρας.*

τὸ γὰρ τοῦ βίου — ἐξεῤῥυηκός] *τοι — ἐξεῤῥυηκός* Cod. reg. *ἐξεῤῥυκός* Ald. Bas. Colin. Lugd. Sturm. Goez.

οὐδενὶ ἂν ἔτι παραμυθίῳ γέροντα εὐήθη καταμειλίσσειν δυνατὸν εἴη] *εἴη ἔτι — ἄν* Colin. *Γέροντα εὐήθη* male exhibetur, quum apud Cic. sit *stultam senectutem.* *Καταμειλίσσειν* (laudatur quidem Steph. Thes. L. Gr. T. II. p. 1616. ut var. lect.) non fuit in usu, sed *καταμειλίσσεσθαι*; *μειλίσσειν* a poetis usurpatum est. *Permulcere* h. l. i. q. *καταθέλγειν — παρηγορεῖν.*

5 *φιλεῖτε θαυμάζειν, (ἣ ὄφελον ἦν ἀξία τῆς θ' ὑμῶν ὑπολήψεως, τῆς θ' ἡμετέρας ἐπωνυμίας*] *φιλεῖται — τῆς τε* Cod. reg. *ἢ* Colin. *ἡμέρας* Ald. Sturm. *Ὄφελον* vd. Buttm. Gr. max. Vol. II. p. 204.

τὸ τελευταῖον δρᾶμα] *δρᾶμα* est fabula, *actus* h. l. *πρᾶξις.*

ἀναγκαῖον — ἀκροδρύων — πάρετόν] *ἀνναγκαῖον* Lugd. *ἀκροδρίων* Ald. Sturm. *πάρεπόν* Edd.

ἔσχατον εἶναι, καὶ ὥςπερ ἐπὶ τῶν ἀκροδρύων καὶ τῶν ἐκ γῆς καρπῶν ὡςανεὶ πάρετόν τι καὶ εὐκατάπτωτον ὡραίᾳ πεπάνσει, ὃ δὴ πρᾴως οἰστέον ἂν εἴη ἀνδρὶ σοφῷ. Τί γὰρ ἄλλο τὸ δίκην γιγάντων θεομαχεῖν ἢ τὸ τὴν φύσιν ἀμύνεσθαι; ΛΑΙΛΙΟΣ. Οὐκοῦν, ὦ Κάτων, κεχαρισμενώ- 6
τατ' ἂν ἡμῖν, ἵνα καὶ ὑπὲρ Σκιπίωνος ὑπόσχωμαι, δράσειας, εἴ γ', ἐπειδήπερ ἐλπίζομεν, καὶ μέντοι προθυμούμεθα εἰς γέροντας ἀφικέσθαι, πολὺ πρότερον μάθοιμεν παρὰ σοῦ, τίσι ποτὲ λόγοις ῥᾷστα φέρειν δυνάμεθα τὴν βαρύνουσαν αὐτὴν ἡλικίαν. ΚΑΤΩΝ. Ποιήσω γε δή, ὦ Λαίλιε, ἄλλως τε καὶ εἰ ὑμῶν ἑκατέρῳ ἐν χάριτι ἔσται, ὡς λέγεις. ΛΑΙΛΙΟΣ. Καὶ μάλα, ὦ Κάτων, ἡμεῖς γε βουλόμεθα, εἰ μή τί σοι χαλεπόν, ὥςπερ τινὰ μακρὰν ὁδὸν προεληλυθώς, ἣν καὶ ἡμᾶς ὁμοίως δεήσει πορεύεσθαι, τοῦτο, εἰς ὅπερ ἀφίκου, ἰδεῖν ὁποῖόν τι ἐστί.
III. ΚΑΤΩΝ. Ποιήσω δὴ ταῦτα, ὦ Λαίλιε, ὡς ἂν 7
οἷός τε γένωμαι. Πολλάκις γάρ τοι καὶ περιέτυχον ὀδυρμοῖς ἀνδρῶν ἡλικιωτῶν ἐμῶν (ὅμοιον δ' ὁμοίῳ ἀεὶ πελάζειν, παλαιὰ παροιμία), οὓς Γάϊος Σαλινάτωρ, οὓς Σπόριος Ἀλβῖνος, ἄν-

---

πεπάνσει — πρᾴως] πεπάνσαι — πρᾷος Colin.
Τί γὰρ ἄλλο τὸ δίκην γιγάντων θεομαχεῖν ἢ τὸ τὴν φύσιν ἀμύνεσθαι] Cum Cod. reg. omisi ἐστιν ante ἤ, quod in hac formula a Graecis fere omittitur. *Repugnare naturae* ap. Cic. non est ἀμύνεσθαι τὴν φύσιν, sed ἐναντιοῦσθαι — μάχεσθαι τῇ φύσει. Goez. φίσιν.
καὶ — πολὺ πρότερον] πολὺ πρότον Cod. reg. Pro *et* optt. Edd. *quidem*. 6
δυνάμεθα] Cod. reg. δυναίμεθα Edd.
εἰ ὑμῶν ἑκατέρῳ ἐν χάριτι ἔσται] ἑκατέρω Cod. reg. ἑκατέρων Edd.
Καὶ μάλα] καὶ omis. Lugd.
εἰ μή τί σοι χαλεπόν] Secutus est Gaza lect. *nisi tibi molestum est*: optt. Edd. *nisi molestum est*.
ὥςπερ τινὰ μακρὰν ὁδὸν προεληλυθώς] Cicero imitatus est Plat. de Rep. I. p. 328. e. Steph. I, 2. Ast. δοκεῖ γάρ μοι χρῆναι παρ' αὐτῶν πυνθάνεσθαι, ὥςπερ τινὰ ὁδὸν προεληλυθότων, ἣν καὶ ἡμᾶς ἴσως δεήσει πορεύεσθαι, ποία τίς ἐστι. — Infra ἀφίκουν Sturm. εἰδεῖν Goez. Pro ἣν Cod. reg. ἥν; pro ἐστι idem ἐστιν.
Cap. III. Ποιήσω δή] δέ Cod. reg. Expressa est lect. *faciam vero*, in aliquot Codd. reperta; vd. Otto. 7
γάρ τοι] τι Lugd.
ὅμοιον δ' ὁμοίῳ ἀεὶ πελάζειν, παλαιὰ παροιμία] ὅμοιον δ' ὁμοίῳ πελάζειν παλαιὰ παροιμία Cod. reg. ὅμοιον ὁμοίῳ δεῖ πελάζειν παλαιὰ παροιμία Ald. Bas. Lugd. Sturm. Goez. ὅμοιον ὁμοίῳ δεῖ πελάζειν παλαιᾷ παροιμίᾳ Colin. Quum ap. Plat. Symp. p. 195. b. Steph. cp. 18. Stallb., e quo hoc proverbium translatum, scriptum sit ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει, item apud Homer. Odyss. 17, 218.

ὡς ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον:

pro δεῖ correxi ἀεί; cuius confusionis exempla attulit Bast. comment. palaeogr. p. 704. in edit. Schaefer. Greg. Cor. De hoc proverbio tritissimo vd. Gernh. Otton. et van der Ton. Comment.

*δρες ὑπατικοί, ἡμέτεροι σχεδόν τι ἡλικιῶται, εἰώθασι κατοδύ-
ρασθαι· τὸ μὲν ὡς τῶν ἡδονῶν στερόμενοι, ὧν ἄνευ οὐδ᾽ ἂν
οἴοιντο ζῆν, τὸ δ᾽ ὡς ὑπὸ τούτων ὑπερορώμενοι, ὑφ᾽ ὧν εἰώ-
θεσαν διακονεῖσθαι καὶ θεραπεύεσθαι. Οὗτοι δὲ οὐ τὸ αἴτιον
ἐδόκουν ἐμοὶ αἰτιᾶσθαι. Εἰ γὰρ ἦν τοῦτο γήρως αἰτία, κἂν
ἐμοὶ τοῖς αὐτοῖς τούτοις χρῆσθαι συνέβαινε καὶ τοῖς λοιποῖς
πᾶσι τῶν πρεσβυτέρων, ὧν τὸ γῆρας πολλῶν ὄντων ἔξω μεμ-
ψιμοιρίας ὃν οἶδα ἐγώ· οἵγε τὸ τῶν ἐπιθυμητικῶν ἀπολελύσθαι
δεσμῶν οὐ φέρουσι χαλεπῶς, οὐδέ τι ὑπὸ τῶν σφετέρων ὑπερ-
ορῶνται. Ἀλλὰ πάντων δὴ τῶν τοιούτων ὀλοφυρμῶν τὸ αἴ-
τιον οὐκ ἐν τῇ ἡλικίᾳ, ἀλλ᾽ ἐν τῷ τρόπῳ ἐστίν. Οἱ μὲν γὰρ
κόσμιοι καὶ μὴ δύςκολοι μηδ᾽ ἀπαίδευτοι γέροντες ἀνεκτὸν
διάγουσι γῆρας· τὸ φορτικὸν δὲ καὶ ἀπαίδευτον χαλεπὸν παρὰ
8 πάντα τὸν βίον ἐστίν. ΛΑΙΛΙΟΣ. Ἔχει μέν, ὦ Κάτων,*

---

p. 25. not. 2. Stallb. ad Plat. de Rep. I. p. 11. Ceterum verba Ciceronis non accurate conversa sunt: *pares — cum paribus facillime congregantur*, i. e. ὅμοιον τῷ ὁμοίῳ ῥᾷστα πελάζειν. Colorem duxit Cicero e Plat. de Rep. I. p. 329. a. Steph. I, 3. Ast. Stallb. — De ὁμοῖος et ὅμοιος vd. Herbst. Ind. ad Xen. Sympos. p. 172.

οὓς Γάϊος Σαλινάτωρ, οὓς Σπόριος Ἀλβῖνος, ἄνδρες ὑπατικοί, ἡμέτεροι σχεδόν τι ἡλικιῶται, εἰώθασι κατοδύρασθαι] Σπύριος, Cap. 4. Σπυρίου, Cap. 12. Σπύριος, Cap. 16. Σπύριον Cod. reg.; Σπόριος, Cap. 4. Σπορίου, Cap. 12, Σπύριος, Cap. 16. Σπύριον. Ald. Sturm.; Σπόριος et all. locc. constanter per ο Bas.; Σπούριος et all. locc. constanter per ου Colin. Lugd.; Σπούριος, Cap. 4. Σπουρίου, Cap. 12. Σπύριος, Cap. 16. Σπύριον Goez. Graeci scriptores variant in scriptura huius nominis: Σπόριος Polyb. XXXI, 12. Dion. Halicarn. Arch. V, 19., Σπούριος Appian. Civ. I, 27. Dio Cass. XLV, 32. Σχεδόν τοι — κατοδύρασθαι Cod. reg. σχεδόν τι κατοδύρεσθαι Edd. Secutus est Gaza lect. *quas — quas*, pro qua optt. Edd. *quae — quae*. Pro εἰώθασι scribendum erat εἰώθεσαν, quum ap. Cic. sit *solebant*. Pro ἡμέτεροι Sturm. ὑμέτεροι.

ὑφ᾽ ὧν εἰώθεσαν διακονεῖσθαι καὶ θεραπεύεσθαι] Διακονεῖσθαι de suo adiecit Gaza, quum ap. Cic. tantum sit *coli*, cui optime respondet θεραπεύεσθαι. Ald. Goez. θεραπεῦσθαι.

λοιποῖς] λιποῖς Goez.

ὧν τὸ γῆρας πολλῶν ὄντων ἔξω μεμψιμοιρίας ὃν οἶδα ἐγώ· οἵγε τὸ τῶν ἐπιθυμητικῶν ἀπολελύσθαι δεσμῶν οὐ φέρουσι χαλεπῶς, οὐδέ τι ὑπὸ τῶν σφετέρων] Haec verba omis. Cod. reg. ἐπιθυμιτικῶν Edd. ἀπολελύασθαι Ald. Bas. Lugd. Sturm. Goez. φέροισι Ald. Bas. Colin. [οὐκ φ.] Sturm.

Ἀλλὰ πάντων δὴ τῶν τοιούτων ὀλοφυρμῶν τὸ αἴτιον οὐκ ἐν τῇ ἡλικίᾳ, ἀλλ᾽ ἐν τῷ τρόπῳ] ἀλλ᾽ ἐν Cod. reg. Colin. ἀλλὰ ἐν cett. Edd. ἡλικίῳ Sturm. Infra γέροντεις Bas. Cf. Plat. Rep. I, 3. — ἀλλὰ καὶ τούτων πέρι καὶ τῶν γε πρὸς τοὺς οἰκείους μία τις αἰτία ἐστίν, οὐ τὸ γῆρας, ὦ Σώκρατες, ἀλλ᾽ ὁ τρόπος τῶν ἀνθρώπων· ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ τὸ γῆρας μετρίως ἐστὶν ἐπίπονον, εἰ δὲ μή, καὶ γῆρας, ὦ Σώκρατες, καὶ νεότης χαλεπὴ τῷ τοιούτῳ ξυμβαίνει.

τὸ φορτικὸν δὲ καὶ ἀπαίδευτον χαλεπὸν παρὰ πάντα τὸν βίον

*ἢ λέγεις· ἀλλ' ἴσως εἴποι τις ἄν, ὡς σοὶ διά τε οὐσίαν καὶ ἀξίαν
καὶ εὐπορίαν τὴν σὴν ἀνεκτότερον δοκοίη τὸ γῆρας· τὸ δὲ μὴ
πολλοῖς ἐθέλει συμβαίνειν. ΚΑΤΩΝ. Ἔστι τοῦτό γε τοι,
ὦ Λαίλιε, ἀλλ' οὐδαμῶς πάντα ἐν τούτῳ· ὡς Θεμιστοκλῆς
Σεριφίῳ τῳ πρὸς λοιδορίαν ἀποκρίνασθαι λέγεται· τοῦ μὲν
γὰρ εἰπόντος, ὡς οὐ δι' οἰκείαν αὐτὸς δόξαν, ἀλλὰ διὰ τὴν
τῆς πατρίδος εὐδοκιμεῖν· Μὰ Δί', ὃς ἔφη, οὔτ' ἂν εἰ ἐγὼ
Σερίφιος ἦν, ἔνδοξος ἂν ἐτύγχανον, οὔτ' εἰ σὺ Ἀθηναῖος,
ὀνομαστός ποτε ἂν ἐγένου. Τὸ δ' οὖν τὸν αὐτὸν τρόπον ἐστὶ
καὶ περὶ γήρως εἰπεῖν. Οὔτε γὰρ ἐν ἀπορίᾳ ἐσχάτῃ ἐλαφρὸν
ἂν εἴη τὸ γῆρας, οὐδὲ σοφῷ γε· οὔτ' αὖ ἐν ἄκρᾳ εὐπορίᾳ μὴ
ἐπαχθὲς ἀμαθεῖ τε καὶ φαύλῳ. Ἐπιδέξια γὰρ παντάπασιν, ὦ* 9
*Σκιπίων καὶ Λαίλιε, ὅπλα γήρως αἱ τέχναι τε καὶ αἱ ἀσκήσεις
τῶν ἀρετῶν, αἱ δῆτα καλῶς διὰ βίου ἐκπονηθεῖσαι καρποὺς
φέρουσι θαυμαστοὺς πολὺν χρόνον διαβεβιωκότι, οὐ μόνον*

ἐστιν] *δὲ* omis. Cod. reg. Expressa est lect. *omni aetate:* optt. Edd. *omni aetati.* *Inhumanitas* h. l. non est τὸ ἀπαίδευτον, sed δυσκολία — δυσάρεστον — αὐστηρότης.

διά τε οὐσίαν καὶ ἀξίαν καὶ εὐπορίαν τὴν σὴν ἀνεκτότερον δοκοίη 8
τὸ γῆρας] *διά τε οὐσίαν καὶ εὐπορίαν καὶ ἀξίαν* Colin. eodem quidem ordine, quo Cic. *propter opes et copias et dignitatem tuam,* sed e correct. Lugd. *γῆρρα.*

Ἔστι τοῦτό γέ τοι] Cod. reg. *τοι* omis. Edd. *γ' ὦ* Goez. Quum apud Cic. sit *Est istuc quidem — aliquid* et apud Plat. *λέγουσι μέν τι*, pro *τοι* legendum videtur *τι.*

Σεριφίῳ τῳ] *Σεριφίῳ τῷ* Cod. reg. *Σεριφίῳ* Edd. Apud Plat. est *τῷ Σεριφίῳ.* Recte observat Meyerus in libro „Anleitung zum Uebers. aus dem Lat. in das Griech. p. 69.", Ciceronem pro *Seriphio cuidam* rectius interpretaturum fuisse *Seriphio illi.* Vd. Stallbaum ad h. l. Plat. in Edit. Gothan.

ὃς ἔφη, οὔτ' ἂν εἰ ἐγὼ Σερίφιος ἦν] *εἰ 'γώ* Cod. reg. Formula *ἦ δ' ὅς* Graecis usitata, maxime Platoni, non *ὅς ἔφη*, quam nusquam me legere memini. Gaza om. *esses* in verbis *nec tu, si Atheniensis esses.* Colorem duxit Cicero e Plat. Rep. I, 4. *Ἀληθῆ, ἔφη, λέγεις· οὐ γὰρ ἀποδέχονται καὶ λέγουσι μέν τι, οὐ μέντοι γε, ὅσον οἴονται, ἀλλὰ τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει, ὃς τῷ Σεριφίῳ λοιδορουμένῳ καὶ λέγοντι, ὅτι οὐ δι' αὐτόν, ἀλλὰ διὰ τὴν πόλιν εὐδοκιμοίη, ἀπεκρίνατο, ὅτι οὔτ' ἂν αὐτὸς Σερίφιος ὢν ὀνομαστὸς ἐγένετο, οὔτ' ἐκεῖνος Ἀθηναῖος. καὶ τοῖς δὴ μὴ πλουσίοις, χαλεπῶς δὲ τὸ γῆρας φέρουσιν εὖ ἔχει ὁ αὐτὸς λόγος, ὅτι οὔτ' ἂν ὁ ἐπιεικὴς πάνυ τι ῥᾳδίως γῆρας μετὰ πενίας ἐνέγκοι, οὐθ' ὁ μὴ ἐπιεικὴς πλουτήσας εὔκολός ποτ' ἂν ἑαυτῷ γένοιτο.*

ἐσχάτῃ] *ἐσχατιᾳ* Sturm.

ἀμαθεῖ τε καὶ φαύλῳ] Cic. tantum *insipienti.*

Ἐπιδέξια γὰρ παντάπασιν] *Aptissima* ap. Cic. i. q. *ἱκανώτατα —* 9
ἐπιτηδειότατα. Nam *ἐπιδέξιος* i. q. *scitus — urbanus.*

καὶ αἱ ἀσκήσεις τῶν ἀρετῶν] *αἱ* om. Goez. *ἀσκήσης* Lugd. *ἀρητῶν* Goez.

δῆτα — καρπούς — προλιπεῖν — βεβιωμένου] *δὴ τό* Cod. reg. *καρφοὺς* Lugd. *προλίπειν* Cod. reg. *προλείπειν* Goez. *βιβιωμένου* Bas.

τῷ μηδέποτε προλιπεῖν, μηδ' ἐν τῷ ἐσχάτῳ χρόνῳ τῆς ἡλικίας, (καίπερ ὂν μέγα τοῦτό γε), ἀλλ' ὅτι καὶ ἡ τοῦ καλῶς βεβιωμένου βίου σύνεσις καὶ τῶν εὖ πεπραγμένων ἀνάμνησις ἡδίστη οὖσα τυγχάνει.

IV. Ἔγωγε οὖν Κύϊντον Μάξιμον, τὸν Τάραντα ἀνειληφότα γέροντα, μειράκιον ὢν καθάπερ τινὰ ἡλικιώτην ἐφίλουν· ἦν γὰρ ἐν ἐκείνῳ τἀνδρὶ σεμνότης εὖ μάλα ἐκ φιλοφροσύνης ἡδυνομένη, οὐδέ τι μετέθηκε τὸν τρόπον τὸ γῆρας. Καίτοι γ' αὐτὸν θεραπεύειν ἠρξάμην πρεσβύτην μὲν κομιδῇ μήπω ὄντα, ἡλικίᾳ γε μὴν ἤδη προβεβηκότα. Ἐνιαυτῷ γάρ τοι ὕστερον γενέσεως τῆς ἐμῆς ὕπατος ἀπεδείχθη τοπρῶτον· σὺν αὐτῷ δὲ τὸ τέταρτον ὑπατεύοντι νεανίσκος ὢν ἐγὼ στρατιώτης εἰς Καπύην ἀπῆλθον, ἔτει δὲ πέμπτῳ ὕστερον ταμίας εἰς Τάραντα, εἶτ' ἀστυνόμος, καὶ μετὰ τετραετίαν ἔπαρχος ἀπεδείχθην, ἣν ἦρξα ἀρχὴν Τυδιτάνου καὶ Κεθήγου ὑπατευόντων, ἡνίκα κεῖνος γέρων κομιδῇ ὢν εἰςηγητὴς Κιντικοῦ γίγνεται νόμου ὑπὲρ δωρεῶν καὶ χαρίτων. Οὗτος δὲ καὶ πολέμους πρεσβύτης ὢν ἐμφανῶς ἤδη ὥς τις τῶν νεωτέρων ἐπολέμει, καὶ

μηδ' ἐν τῷ ἐσχάτῳ] *μὴ δὲ τῷ* Cod. reg.

Cap. IV. *Ἔγωγε οὖν Κύϊντον Μάξιμον τόν*] *Ἔγωγ' οὖν* Colin. *Κύϊντον* Cod. reg. *Κυῖντον* Colin. *Κοῖντον* Ald. Bas. Lugd. Sturm. Goez. Infra h. cap. *Κύϊντε* Cod. reg. Edd. *Quintus* a Graecis *Κόϊντος*—*Κύϊντος* dicitur. Cod. reg. *τόν* omis. Expressum est *Ego quidem Q. Maximum:* Gernh. habet *Ego quidem Maximum:* Orell. Otto *Ego Q. Maximum.*

ἐκ φιλοφροσύνης ἡδυνομένη] *ἡδομένη* (in marg. *ἠρτυμένη*) Cod. reg. *ἐκ* omis. Goez.

ἡλικίᾳ γε μὴν ἤδη προβεβηκότα] Omis. Cod. reg.

ἀπεδείχθη τοπρῶτον] *ἀνεδείχθη* Cod. reg. Utrumque verbum hac significatione probum. Lugd. *τοπρῶτον*, de quo vd. nos ad Cic. Somn. Scip. Cap. XIV.

στρατιώτης εἰς Καπύην ἀπῆλθον] *Κάπνην* Cod. reg. Decerni non potest, utrum Gaza secutus sit lect. 1) *profectus sum ad Capuam*, an *ad Capuam profectus sum.* 2) *Capuam*, an *ad Capuam*, i. e. ad exercitum, qui erat *ad Capuam* (ut *ad Tarentum*), quod optt. Edd. recepere.

ἔτει δὲ πέμπτῳ ὕστερον ταμίας εἰς Τάραντα, εἶτ' ἀστυνόμος, καὶ μετὰ τετραετίαν ἔπαρχος ἀπεδείχθην, ἣν ἦρξα ἀρχὴν Τυδιτάνου καὶ Κεθήγου ὑπατευόντων] *ἔτι*—*εἶτα* Cod. reg. *Τουδιτάνου*—*Κετήγου* Colin. Expressa est lect. mendosa: *quintoque anno post ad Tarentum Quaestor; deinde Aedilis, quadriennio post factus sum Praetor.* Edd. optt. in textum admiserunt Pighii emendationem: *quintoque anno post ad Tarentum. Quaestor deinde quadriennio post factus sum.* *Ἔπαρχος* est Propraetor.

Κιντικοῦ γίγνεται νόμου] *Κιντύκου* Ald. Bas. Sturm. *ἐγένετο* Colin. e corr., nam ap. Cic. est: *fuit.* *Κιντικός* non recte est formatum, quum *Lex Cincia* dicatur. *Κίγκιος* Dion. H. Arch. I. p. 5. s.

Ἀννίβαν σκιρτῶντα νεανικῶς διεμάλασσεν ἀνεχόμενος· οὗ πέρι παγκάλως ὁ οἰκεῖος ἡμῖν Ἔννιος λέγει·

Πολλὰ δὲ δηθύνων εἰς χρήματα πάντα σαώζει.
Τῷ γὰρ πρὸ θρύλλων ἡμὴ σωτηρία ἔσκε.
Τοῦ δὴ καὶ κλέα νῦν ἀνὰ λαοὺς πάμμεγα λάμπει.

Τάραντα δὲ ὅσῃ μὲν ἐγρηγόρσει, οἵᾳ δὲ εὐβουλίᾳ χρησάμενος 11 *ἀνειλήφει, ὅτε δὴ παρόντος κἀμοῦ Σαλινάτωρι, ὃς τῆς πόλεως ἑαλωκυίας ἐπὶ τὴν ἄκραν κατέφυγε, σεμνυνομένῳ καὶ λέγοντι· ἐμοῦ συμπράσσοντος, ὦ Κύϊντε Φάβιε, Τάραντα ἀνέλαβες· Ἀληθέστατα, ἔφη γελάσας, εἰ γὰρ σὺ μὴ ἀπέβαλες, οὐκ ἂν ἔγωγε ἀνέλαβον. Οὐδὲ μὴν ὅγ' ἐν ὅπλοις ὑπέρτερος ὢν ἢ ἐν τηβέννῳ δοκεῖ· ὅς γε ὑπατεύων τὸ δεύτερον, Σπορίου Καρβιλίου τοῦ συνάρχοντος ἄγοντος ἡσυχίαν, Γαΐῳ Φλαμινίῳ δημαρχοῦντι, καθ' ὅσον οἷός τε ἦν, ἀντέστη διαιροῦντι κατ' ἄνδρα τὴν Πικηνίδα καὶ Γαλατικὴν χώραν ἐναντίᾳ τῷ τῆς βουλῆς ἀξιώματι· μάντις τε ὢν τῶν ἐπ' οἰωνοῖς θαῤῥῶν ἔφασκεν, ὡς ὅσα μὲν ἐπὶ σωτηρίᾳ τῆς πολιτείας πράσσεται, ἀρίστοις οἰω-*

σκιρτῶντα νεανικῶς] *Iuveniliter exsultare* rectius i. q. *νεανιεύεσθαι* vd. Plut. Num. cp. 12. Goez. *σκιρτῶνα.*

Πολλὰ δὲ δηθύνων εἰς χρήματα πάντα σαώζει] *Restituere rem* non est *χρήματα σώζειν*: *res* h. l. i. q. status reipublicae — *τὰ κοινὰ* — *τὸ κοινόν*, *restituere* i. q. *ἐπανορθοῦν* — *ἀποκαθιστάναι.*

Τῷ γὰρ πρὸ θρύλλων ἡμὴ σωτηρία ἔσκε] *θρήλλων* Bas. Colin. Lugd. *ἡ μὴ* Cod. reg. *ἡμή* Ald. Bas. Lugd. Sturm. *ἥ μή* Goez. de forma *ἡμός* pr. *ἡμέτερος* vd. Passov. Lex. *σωτηρία* Cod. reg. *σωτηρίη* Edd.

Τοῦ δὴ καὶ κλέα νῦν ἀνὰ λαοὺς πάμμεγα λάμπει] Expressum est: *Ergo magisque magisque:* optt. Edd. *Ergo postque magisque.*

Ἀληθέστατα, ἔφη γελάσας, εἰ γὰρ σὺ μὴ ἀπέβαλες, οὐκ ἂν ἔγωγε 11 *ἀνέλαβον*] *εἰ μὴ γὰρ ἀπέβαλες* Edd. *εἰ γὰρ σὺ μὴ ἀπέλαβες* Cod. reg. Plut. Fab. Max. cp. 23. *Γελάσας οὖν ὁ Φάβιος „Ἀληθῆ λέγεις" εἶπεν· εἰ μὴ γὰρ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ παρέλαβον.* Recte Otto recepit *ego nunquam.*

Οὐδὲ μὴν ὅγ' ἐν ὅπλοις ὑπέρτερος ὢν ἢ ἐν τηβέννῳ δοκεῖ] Pro *ὢν* ponendum erat *εἶναι*, quia *δοκεῖν* cum Infin. struitur. Male *τῇ βέννῳ* Edd.

ἀντέστη] *ἀνέστη* Ald. Bas. Sturm.

ἐναντίᾳ τῷ τῆς βουλῆς ἀξιώματι] *Senatus auctoritas* non est *ἀξίωμα τῆς βουλῆς*, sed *ψήφισμα* — *δόγμα* — *γνώμη τῆς βουλῆς.*

μάντις τε ὢν τῶν ἐπ' οἰωνοῖς θαῤῥῶν ἔφασκεν, ὡς ὅσα μὲν ἐπὶ σωτηρίᾳ τῆς πολιτείας πράσσεται, ἀρίστοις οἰωνοῖς ταῦτα πράσσοιτο, ὅσα δ' — φέρεται — φέροιτο] *τε* omis. Cod. reg. (exstat pro *augurque* lect. var. *augur qui*) *οἰωνεῖς* Cod. reg. *ἔφασκεν*, *ὡς* Cod. reg. *ὅτι* Colin. *ἔφασκεν καί* cett. Edd. *οἰωνοῖς* omis. Goez. *ὅσα δέ* Cod. reg. *ὅσσα δ'* Bas. Gaza recte secutus est lect. *ferrentur* — *ferri* pro *fierent* — *fieri.* Quum *ferri* h. l. sit decerni et *φέρεσθαι* non conveniens, Blum. Anleitung p. 144. *ferri contra* interpretatus est *ἐναντίον εἶναι* — *ἐναντιοῦσθαι.* *Augur* non est *μάντις*, sed *οἰωνοπόλος* Dion. Hal. Arch. II, 64, *οἰωνιστής* ib. X, 57, *οἰωνόμαντις* ib. III,

νοῖς ταῦτα πράσσοιτο, ὅσα δ' ἐναντία τῇ πολιτείᾳ φέρεται,
12 *καὶ τοῖς οἰωνοῖς ὅτι ταῦτα φέροιτο ἐναντία. Πολλὰ μὲν τοίνυν*
τῶν λαμπροτάτων ἐν τῷ ἀνδρὶ τῷδε κατανενόηκα· θαυμαστό-
τερον δὲ οὐδέν, ἢ ὅπως τὴν τελευτὴν ἤνεγκε Μάρκου τοῦ υἱέος,
ἀνδρὸς τῶν ἐνδόξων τε καὶ ὑπατικῶν. Διὰ χειρὸς δὲ ἡμῖν τὸ
ἐγκώμιον, ὅπερ ἀναγινώσκοντες τίνα οὐχ ὑπερφρονοῦμεν τῶν
ἐκ τρίβωνος φιλοσόφων; Οὐδ' ἄρα κεῖνός γε ἐν τῷ ἐμφανεῖ μό-
νον κὰν τοῖς ὀφθαλμοῖς τῶν πολιτῶν μέγας, ἀλλὰ καὶ ἔνδον
τε καὶ οἴκοι βελτίων ἦν. Οἷος μὲν γὰρ λόγος αὐτοῦ· οἷα δὲ
παραγγέλματα· ὅση δὲ γνῶσις πραγμάτων ἀρχαίων· οἷα δὲ
νομίμου μαντικοῦ ἐπιστήμη. Πολλοὶ ἔτ' ἐν αὐτῷ λόγοι ἦσαν,
ὡς γ' ἐν ἀνδρὶ Ῥωμαίῳ· καὶ πάντας διὰ μνήμης οὐ μόνον
τοὺς οἰκείους, ἀλλὰ καὶ τοὺς ἀλλοφύλους εἶχε πολέμους. Οὗ
τῶν λόγων οὕτως ἐγὼ πρὸς ἐπιθυμίαν τέως ἀπέλαυον, ὥςπερ
εἰ πάλαι προὐμαντευόμην τὸ νῦν ἀποβεβηκὸς τοῦτο, μηκέτι
ἂν εἶναι μηδένα, κείνου γε ἀπεσβηκότος, παρ' οὗ μανθάνειν
οἷός τ' ἂν εἴην.
13 V. *Πρὸς δὴ τί ταῦθ' οὕτως ὑπὲρ Μαξίμου πολλά; ὅτι*
ὁρᾶτε δήπου, ὡς οὐ θεμιτὸν φάναι τὸ τοιοῦτον γῆρας ἄθλιον

69, *ὀρνιθοσκόπος* ib. II, 6, *οἰωνοσκόπος — ὀρνιθόμαντις* vd. Steph. Thes. T. II. p. 1263. Verba Cic. *ausus est dicere* non recte conversa sunt *θαῤῥῶν ἔφασκεν* pro *ἐτόλμησε λέγειν.*

12 *Πολλὰ μὲν τοίνυν τῶν λαμπροτάτων — οὐδέν*] *Multa praeclara* i. e. *πολλὰ καὶ λαμπρά.* Gaza *est* omis. post *nihil.*

Μάρκου τοῦ υἱέος] Recte optt. Codd. praenomen omittunt, quippe quod *Quintus*, non *Marcus* fuerit.

τίνα — τῶν ἐκ τρίβωνος φιλοσόφων] Apud Cic. est *quem philosophum*: *ἐκ τρίβωνος* de suo adiecit Gaza. Fuit autem *τρίβων* sive *τριβώνιον* vestimentum insigne philosophorum apud Graecos et Romanos, de quo vd. Lucian. Dialog. Mort. 1. Aelian. V. H. V, 5. ibiq. Perizon. Gell. N. Att. IX, 2. Gronov.

Οὐδ' ἄρα κὰκεῖνός γε] Cod. reg. *κεῖνός γε* Edd.

οἷα δὲ νομίμου μαντικοῦ ἐπιστήμη] Edd. quo expressa est lect. *iuris auguralis*; *οἷα δὲ νομίμου' καὶ μαντικῆς* Cod. reg. quo *iuris et augurii* vd. Gernh. et Ott. Lect. optt. Edd. est *iuris augurii. Ius augurii* a Dion. Halic. Arch. II, 6. dicitur *τὰ περὶ τοὺς οἰωνισμοὺς νόμιμον.*

Λόγοι] *Litterae* ap. Cic. sunt *ἐπιστῆμαι — μαθήματα.*

λόγων — ἀπέλαυον — ἀπεσβηκότος] *λόγον* Goez. *ἀπέλαβον* Cod. reg. *ἀπεσβυκότος* Edd.

13 Cap. V. *Πρὸς δὴ τί ταῦθ' οὕτως ὑπὲρ Μαξίμου πολλά*] *Quorsus igitur haec tam multa de Maximo*, in qua lect. *haec* Gernh. et Otto uncis inclusere.

ὅτι ὁρᾶτε δήπου, ὡς οὐ θεμιτὸν φάναι τὸ τοιοῦτον γῆρας ἄθλιον γεγονέναι] *τόιοῦτον — εἶναι* Cod. reg. ut Cod. Oxon. *n* ap. Gernh. *esse* pro *fuisse*; *ὁρᾷ τε* Edd. *οὐδεμιτόν* Bas. Post *γεγονέναι* in Cod. reg. interpositum est *ἀντίθεσις* rubro colore, post *ἐνθυμεῖσθαι* infra *λύσις* rubro colore.

γεγονέναι. Ἀλλ' οὐ πάντες Σκιπίωνες ἢ Μάξιμοι εἶναι δύναν-
ται, ὥςτε πόλεων ἁλώσεις, ὥςτε πεζομαχίας τε καὶ ναυμα-
χίας, ὥςτε πολέμους σφίσι διαπεπολεμημένους, ὥςτ' ἐπινικίους
πομπὰς ὕστερόν ποτε ἐνθυμεῖσθαι· ἀλλὰ μὴν ἔστι καὶ βίου
καθαρῶς καὶ ἡσύχως καὶ χαριέντως διηνυσμένου γῆρας ἐλα-
φρὸν καὶ εὐάρεστον, οἷον τὸ Πλάτωνος πυνθανόμεθα, ὃς
πρώτῳ καὶ ὀγδοηκοστῷ ἐτελεύτησεν ἔτει· οἷον τὸ Ἰσοκράτους,
ὃν τετάρτῳ καὶ ἐνενηκοστῷ ἔτει φασὶ γεγραφέναι τὸν πανηγυ-
ρικὸν ἐπιγραφόμενον λόγον, πέντε δὲ μετὰ ταῦτα ἔτη ἐπιβιῶ-
ναι· οὗ ὁ διδάσκαλος Γοργίας ὁ Λεοντῖνος ἔτη ἑπτὰ καὶ ἑκα-
τὸν διετέλεσεν· οὐδέ τι τῆς αὐτοῦ σπουδῆς καὶ τοῦ ἔργου ἔλη-
ξεν οὐδεπώποτε· ὃς καὶ ἐρωτώμενος, τί ποτε ἐπὶ τοσοῦτον χρο-
νίζειν ἐν τῷ βίῳ ἐθέλοι, Οὐδὲν ἔχω, ἔφη, αἰτιᾶσθαι τὸ γῆ-
ρας. Λαμπροτάτη ἀπόκρισις καὶ ἀνδρὸς ἀξία σοφοῦ. Τὰς 14
γὰρ σφετέρας κακίας οἱ ἀμαθεῖς καὶ τὰς σφῶν αἰτίας ἐπὶ τὸ
γῆρας μετάγουσιν· οἷόν τι αὐτὸς οὐκ ἐποίει, οὗ νῦν μνείαν
πεποίημαι, Ἔννιος·

Ἀλλ' ἠΰτ' ἵππος τ' ἄλκιμος, ὃς πύματον διὰ χῶρον
Ζηνὸς Ὀλύμπια πατρὸς πολλάκις ἦρετ' ἄεθλα,
Νῦν κρατερῷ δεδμημένος εὖ μάλα γήραϊ εὕδει.

Σκιπίωνες — πολέμους] *Σκιπίωνος* Colin. *Σκιπίονες* Sturm. *ἀλλώσεις* Bas. *ἀλώσεις* Ald. Sturm. *τε* omis. Cod. reg. *πολέμου* Cod. reg.

ὥςτ' ἐπινικίους πομπὰς — ἐνθυμεῖσθαι] *ὥςτε* Goez. et Gernhard. Gaza est secutus lect. *ut triumphos recordentur:* al. *triumphosque recordentur.*

ἀλλὰ μὴν ἔστι καὶ βίου καθαρῶς καὶ ἡσύχως]. Cod. reg. *καθαρῶς μὲν ἡσύχως* Ald. Bas. Colin. Sturm. Lugd. *μὲν καὶ* Goez.

γῆρας ἐλαφρὸν καὶ εὐάρεστον] I. e. *levis et placida senectus,* ut Codd. Man. vd. Gernh. Otto; vulgo *placida ac lenis senectus.*

ὃς πρώτῳ καὶ ὀγδοηκοστῷ ἐτελεύτησεν ἔτει] Colin. interposuit *γράφων* post *ὀγδοηκοστῷ*, quum ap. Cic. sit *scribens.*

ὃν τετάρτῳ καὶ ἐνενηκοστῷ ἔτει φασὶ γεγραφέναι τὸν πανηγυρικὸν ἐπιγραφόμενον λόγον] Expressa est lect. *qui eum librum, qui Panegyricus inscribitur, quarto et nonagesimo anno scripsisse dicitur: Panegyricus* Cod. Bald.; *scripsisse dicitur* plerique Codd. et Edd. ante Ern. *Panathenaicus — scripsisse se dicit* optt. Edd. recc.

πέντε δὲ — ἔτη ἑπτά] *πέντα* Goez. *ἐν τῇ* Ald. Bas. Sturm.

ὃς καὶ ἐρωτώμενος, τί ποτε ἐπὶ τοσοῦτον χρονίζειν ἐν τῷ βίῳ ἐθέλοι, Οὐδὲν ἔχω, ἔφη] *ἐθέλει, ἔφη, οὐδὲν ἔχω* Cod. reg. *καὶ* Goez. omis.

οὗ νῦν μνείαν πεποίημαι, Ἔννιος] Cod. reg. *πεποίηται* Edd., quo 14
expressa est lect. deterior *fecit* Cod. Oxon. *e.*

Ἀλλ' ἠΰτ' ἵππος κτλ.] *ἠΰτε* Cod. reg. Male *ἦρετ'* Ald. Bas. Sturm. *δηδμημένος* Goez. infra *μεμνῖσθαι* Colin. Duo Ennii versus, si ad sententiam et ad metrum respicimus, non bene redditi sunt. Conf. Soph. Electr. v. 25 sq. de paedagogo.

Ἵππου ὅδε ἰσχυροῦ καὶ Ὀλυμπιονίκου γῆρα τὸ ἑαυτοῦ παραβάλλει. Τούτου δὲ καὶ ὑμεῖς μεμνῆσθαι εὖ ἔχοιτε ἄν· ἐνάτῳ γὰρ καὶ δεκάτῳ ἔτει μετὰ τὴν αὐτοῦ τελευτὴν Τίτος Φλαμίνιος καὶ Μάρκος Ἀττίλιος ὕπατοι ἀπεδείχθησαν· αὐτὸς δὲ ἐπὶ Σκιπίωνος ὑπάτου καὶ Φιλίππου τὸ δεύτερον ὑπατεύοντος ἐτελεύτησεν· ἐπειδὴ ἐγὼ πέντε καὶ ἑξήκοντα ἔτη γεγονὼς εὐφώνως τε καὶ εὐτόνως τὸν Οὐοκώνειον νόμον εἰσηγησάμην. Ἑβδομηκοντούτης δὲ γενόμενος (ἐπὶ τοσοῦτο γάρ τοι βεβίωκεν Ἔννιος) οὕτως ἔφερε δύο τὰ μέγιστα νομιζόμενα φορτία, πενίαν καὶ γῆρας, ὥςτε σχεδόν τι ἐπὶ τούτοις καὶ ἡδόμενος φαίνεσθαι. Ὅσα γε γάρ τοι σκοπούμενος ἐγὼ καὶ περιβάλλων τῷ νῷ εὑρίσκω, ὅτι τέτταρές εἰσι μάλιστα αἰτίαι, δι' ἃς ἂν δόξειεν ἄθλιον τὸ γῆρας· μία μέν, ὅτι τῶν πρακτέων ἀφίστησιν· ἑτέρα δ', ὅτι ἀσθενέστερον ἀπεργάζεται τὸ σῶμα· τρίτη δ', ὅτι πασῶν σχεδόν τι ἀποστερεῖ τῶν ἡδονῶν· τετάρτη δ', ὅτι οὐ πόῤῥω θανάτου ἐστί. Τούτων δὲ δή, εἰ δοκεῖ, τῶν αἰτιῶν ὁπόση ἑκάστη καὶ ὅσον εὔλογός ἐστι, θεασώμεθα.

VI. Τῶν πρακτέων ἀπάγει τὸ γῆρας. Τῶν ποίων; Ἢ τῶν ὅσα νεότητι πράσσεται καὶ ἰσχύϊ; Ἆρ' οὖν οὐδὲν χρῆμα πρεσβυτικόν ἐστιν, ὅπερ ἄν, καίτοι σώμασιν ἀσθενέσι, ψυ-

---

Τίτος Φλαμίνιος καὶ Μάρκος Ἀττίλιος] *Flaminius* sex Codd. Oxon. *Attilius* duo Oxon. vett. Edd. Vulgo recte *Titus Flamininus et Manius Acilius*. Quod ap. Gernhardum *M.* pro *M'*. exstat, mendum typographicum videtur, quum in annot. *M'. Acil.* eum vocet.

ἐπὶ Σκιπίωνος ὑπάτου καὶ Φιλίππου τὸ δεύτερον ὑπατεύοντος] *ὑπατεύοντες* Cod. reg. *Scipione* pro *Caepione* et *consule* pro *consulibus* sunt lectt. iure ab editoribus rejectae vd. Gernh. et Ott.

εὐφώνως] *εὐφώνος* Lugd.

ἑβδομηκοντούτης] Cod. reg. *ἑβδομηκονταέτης* Edd. Utramque formam exhibet Steph. Thes. L. Gr., illam solam Lexica Schneid., Passov. et Rost. Vd. de hac duplici forma in *ουτης* et *αετης* Lobeck. ad Phryn. p. 407. de *τριακονταέτης — τούτης* Krueg. Ind. ad Dion. Halic. Histor. p. 528.

Ὅσα γε γάρ τοι σκοπούμενος ἐγὼ καὶ περιβάλλων τῷ νῷ εὑρίσκω, ὅτι τέτταρές εἰσι μάλιστα αἰτίαι, δι' ἃς ἂν δόξειεν ἄθλιον τὸ γῆρας μία — ἑτέρα — τρίτη] Cod. reg. *ὅτι* om. Edd. *μίαν — ἑτέραν — τρίτη* Ald. Bas. Lugd. Sturm. *μία — ἑτέρα — τρίτη* Colin. Goez. *ἄθλεον — δὲ ὅτι* Colin. Quum exstet var. lect. *contemplor — complector*, Gaza interpretatus est *σκοπούμενος καὶ περιβάλλων τῷ νῷ.*

ἀσθενέστερον] Recte expressum est *infirmius*: al. *infirmum*.

Τούτων δὲ δή] *δή* om. Bas. Colin. Lugd. Goez.

Cap. VI. *Νεότητι — ἰσχύϊ*] *ἰσχύει* Cod. reg. Ald. Bas. Lugd. Sturm. Goez. *ἰσχύϊ* Colin. *νέτητι* Goez. Quum a plurimis Codd. et Edd. ut Orell. (*in* habent Gernh. Ott.) absit *in* ante *juventute*, Gaza hanc lect. secutus est. Vd. Otton. de omissione praepos. h. l. non probanda recte disputantem contra Wunder. in Var. Lectt. e Cod. Erfurt. p. CXIX.

πρεσβυτικόν ἐστιν] *πρεσβυτικὸν ἐστὶν* Cod. reg. *ἐστιν* om. Edd.

καίτοι σώμασιν ἀσθενέσι, ψυχῆς μέντοι ῥώμῃ ὑπουργηθείη] *Infir-*

*χῆς μέντοι ῥώμῃ ὑπουργηθείη; Οὐδὲν ἄρα οἱ περὶ Κΰϊντον
Μάξιμον ἔπρασσον; Οὐδὲν οἱ περὶ Λεύκιον Παῦλον, τὸν σὸν
πατέρα, ὦ Σκιπίων, κηδεστὴν δὲ τοῦ ἐμοῦ υἱέος, ἀνδρὸς
ἀρίστου; Οἵτ' ἄλλοι γέροντες, Φαβρίκιοι, Κούριοι, Κορούγ-
κανοι, ὅτε τῆς πολιτείας εὐβουλίᾳ καὶ ἀξιώματι προεστήκε-
σαν, οὐδὲν ἔπρασσον; Ἀλλὰ μὴν τῷ Ἀππίου Κλαυδίου γήρᾳ* 16
*προςῆν καὶ τυφλὸν εἶναι· ἀλλ' ὅμως ὅγε, ψήφῳ τῆς συγκλήτου
εἰς εἰρήνην τῷ Πύῤῥῳ ἀποκλινούσης καὶ σπένδεσθαι βουλομέ-
νης, οὐκ ἀπώκνησε φάναι, ἅπερ Ἔννιος ἔπεσι διεξέρχεται φρά-
ζων·*

Ποῖ φρένες ὑμῶν, αἷς ἦν ἀστεμφῶς πάρος ἴσχειν,
Αἶψά γε δὴ ταύτην ἄφρονα τράφθεν μάλ' ἀταρπόν;

*Καὶ τἄλλα λίαν σεμνῶς· δῆλα μὲν οὖν καὶ τὰ ἔπη ὑμῖν. Σώ-
ζεταί γε μὴν ἔτι καὶ ὁ λόγος αὐτοῦ Ἀππίου. Καὶ ταῦτ' ἔπρασ-
σεν ἐκεῖνος ἔτει ἑβδόμῳ καὶ δεκάτῳ ἀπὸ τῆς δευτέρας ὑπατείας,
ἐπειδὴ μεταξὺ ταῖν δυεῖν ὑπατείαιν ἔτη διαγένοιτο δέκα, καὶ*

---

mis corporibus ap. Cic. h. l. i. q. *τῶν σωμάτων ἀσθενῶν ὄντων.* Sturm. *χῆς* pro *ψυχῆς*, Goez. *ὑπουργηδείη.*

οἱ περὶ Κΰϊντον Μάξιμον — οἱ περὶ Λεύκιον Παῦλον] *Λεύβιον* Cod. reg. *Quintus Maximus — Lucius Paullus* Cic. Haec formula a scriptoribus posterioribus de uno homine usurpatur vd. Matth. Gr. Vol. II. p. 1160. Passov. Lex. s. v. *ἀμφί* et Iacob. ad Lucian. Toxar. cp. 21. p. 83. De hoc usu apud Plutarch. frequent. vd. Bähr. ad Plut. Pyrrh. cp. 20. p. 203.

Κορούγκανοι] Lect. vitiosa *Coruncani* Gazam induxisse videtur, ut h. l. et infra sic scriberet pro *Κορουγκάνιος.* Sic nomen exhibet Appian. Samnit. III, 3. *Κορογκάνιος* Polyb. II, 8. *Κορούγκανοι* — Cap. 9. *Κορουγκάνον* — Cap. 13. *Κορύγκανον* — *Κορύγκανος* Ald. Colin. Sturm; *Κορούγκανοι* — Cap. 9. *Κορύγκανον* — Cap. 13. *Κορύγκανον* — *Κορύγκανος* Cod. reg.

προεστήκεσαν] *προϊστήκεσαν* Cod. reg. Edd.

τῷ τοῦ Ἀππίου Κλαυδίου γήρᾳ προςῆν καὶ τυφλὸν εἶναι] Cod. reg. 16
τοῦ om. Edd. *γήρῳ* Sturm. Ob verba Cic. *accedebat etiam, ut caecus esset τό* ante Infinit. adiectum velim, quamquam probe scio, saepius articulum ante Infinitivum, praecipue a poetis, omitti vd. Matth. Gr. Vol. II. §. 542. Not. 1. a.

διεξέρχεται] Recte expressum est *persecutus est:* al. *prosecutus est.*

Ποῖ φρένες κτλ.] Gaza secutus videtur lect. *dementi via.* Vd. de var. lectt. Gernh. et Otton. *ἀστεμοφῶς* Sturm.

δῆλα μὲν οὖν καὶ τὰ ἔπη ὑμῖν] Cod. reg. *ὑμῖν καὶ τὰ ἔπη* Edd. Cicero: *notum enim vobis carmen.*

Σώζεταί γε μὴν ἔτι καὶ ὁ λόγος] Cod. reg. *ἔτι* om. Edd. *ὁ* om. Goez. Expressa est lect. *Et tamen ipsius Appii, exstat oratio:* al. *Tum ipsius Appii.*

Καὶ ταῦτ' ἔπρασσεν ἐκεῖνος] *Atque haec ille egit:* lect. deterior est *Atque hanc ille egit.*

μετὰ ταῖν δυεῖν ὑπατείαιν] *ταῖς δυεῖν ὑπατείαιν* Cod. reg. *ταῖν δυεῖν ὑπατίαιν* Ald. Sturm. *ταῖν δυοῖν ὑπατίαιν* Colin. Bas. Lugd.

τιμητὴς πρὸ τῆς προτέρας ὑπατείας ἀποδειχθείη· ὅθεν δὴ καὶ ἔστι μαθεῖν, ὡς πάντως πρεσβύτης αὐτὸς εἴη ἐπὶ τοῦ πρὸς Πύῤῥον πολέμου· ταυτὶ μέντοι παρὰ τῶν πατέρων οὕτω που
17 *παρειλήφαμεν. Τοιγάρτοι οὐδὲν ἐπιφέρουσιν οἱ τὸ γῆρας ἐπὶ τὰ πρακτέα μὴ φάσκοντες διατρίβειν· ὅμοιοί τε τυγχάνουσιν ὄντες, ὥςπερ εἴ τις τὸν κυβερνήτην μηδὲν πράσσειν ἐν τῷ πλῷ λέγοι, ἐπειδὰν τῶν μὲν ἄλλων οἱ μὲν τοὺς ἱστοὺς ἀναῤῥιχῶνται, οἱ δὲ διὰ τῶν καταστρωμάτων τρέχωσιν, ἕτεροι δέ τινες ἀνιμῶνται τὸν ἄντλον, ὁ δὲ τὸ πηδάλιον κατέχων ἐπὶ πρύμνης καθ' ἡσυχίαν καθέζηται, μηδὲν ποιῶν ὧν οἱ νέοι, ἀλλὰ πολὺ δὴ μείζω τε καὶ κρείσσω ποιεῖ. Οὐ γὰρ ἰσχύϊ, ἢ τάχει, ἢ ὀξύτητι σωμάτων τὰ μεγάλα τῶν πραγμάτων κατασκευάζεται, ἀλλ' εὐβουλίᾳ καὶ γνώμῃ καὶ ἀξιώματι, ὧν τὸ γῆρας οὐχ ὅπως*
18 *ἐστὶν ἐνδεές, ἀλλὰ καὶ ἐπιδιδόναι εἰς ταῦτα πέφυκεν. Εἰ μὴ ἴσως ἐγώ, ὃς καὶ στρατιώτης καὶ χιλίαρχος καὶ πρεσβευτὴς καὶ ὕπατος πολλαῖς ἰδέαις πολέμων ὡμίληκα, νῦν παντὸς ἔργου*

Goez. De his formis Dual. vd. Matth. Gr. Vol. I. §. 138. Iacob. ad Lucian. Alexandr. p. 21. Lennep. ad Phalar. Epist. VIII. p. 42. Bähr. in Creuz. Melett. P. III. p. 76.

ἔτη διαγένοιτο — τιμητής] *διεγένοιτο* Cod. reg. *ἔτει* Goez. *τιμητής* — infra *πάτως* — *πλνέμου* Lugd.

ταυτὶ μέντοι] *μέντι* Cod. reg. *καὶ μὴν ταυτὶ μέντοι* Colin.

οἱ τὸ γῆρας ἐπὶ τὰ πρακτέα μὴ φάσκοντες διατρίβειν] *Versari in aliqua re*, i. q. *διατρίβειν ἐν* — *ἐπί τινι, περί* — *ἀμφί τι* etc. vd. meas observv. in Plutarch. Timol. p. 67. Steph. Thes. T. III. p. 1333. Blum. p. 158. *ἀφιστάναι τινὰ τῶν πραγμάτων* substituit.

ὅμοιοί τε τυγχάνουσιν ὄντες, ὥςπερ εἴ τις — λέγοι] Reddita est lectio: *similesque sunt, ut si quis:* al. *similesque sunt iis, qui*, jure damnatum; *que* non est copulativum *τε*, sed adversativum *ἀλλά* vd. Otto ad h. l. Paldamus ad Sueton. Caes. 19; vulgo *similesque sunt, ut si qui.* Lugd. *ὅμιοι*, Colin. *λέγει*.

διὰ τῶν καταστρωμάτων τρέχωσιν] Poll. Onom. I, 88. in enumerandis partibus navis: *τὸ δὲ περὶ τὸ κατάστρωμα, θράνος*, 94. *θράνιον*; interpres Latinus *θράνος foros* explicat. *Fori* ap. Cic. igitur non sunt *καταστρώματα* (quod voc. Blum. h. l. retinuit), sed *ἑδώλια*, si Gell. N. A. XVI, 19. recte interpretatus est verba Herod. I, 24. *στάντα ἐν τοῖσι ἑδωλίοισι stans in summae puppis foro.* Vd. Schweigh. Lex. Herod. *κατάστρωμα* i. q. *stega, constratum navis*, Verdeck.

ὁ δὲ τὸ πηδάλιον κατέχων ἐπὶ πρύμνης καθ' ἡσυχίαν καθέζηται, μηδὲν ποιῶν ὧν οἱ νέοι] *καθέζεται* Cod. reg. Gaza secutus est lect. *sedeat in puppi quietus, non faciat ea:* optt. Edd. *quietus sedeat in puppi. Non facit ea*—. Pro *πηδάλιον* Blum. p. 158. *οἴαξ*; vd. Passov. Lex. s. vv.

Οὐ γὰρ ἰσχύϊ, ἢ τάχει, ἢ ὀξύτητι σωμάτων] Cod. reg. *σώματος* Edd. Expressa est lect. *Non enim viribus, aut velocitate, aut celeritate corporum* [*corporum* i. e. *σωμάτων* Cod. reg., *corporis* i. e. *σώματος* Edd. ut Codd. Man. 5. etc.]: vulgata optt. Edd. *Non viribus, aut velocitatibus, aut celeritate corporum; ἰσχύει* Cod. reg. Sturm. *ὀξότητι* Edd. praeter Colin.

18 *ὡμίληκα*] *ὡμίλικα* Colin.

ὑμῖν πεπαῦσθαι δοκῶ, ὅτε οὐ πολεμῶ ἔτι πολέμους. Ἀλλὰ
γάρ, ἅττα δεῖ πρᾶξαι, τῇ συγκλήτῳ προγράφω, καὶ ὅπως τῇ
Καρχηδόνι κακῶς ἤδη ἐκ πολλοῦ διανοουμένῃ ἐποίσομεν πόλε-
μον πολὺ πρότερον ἀπαγγέλλω· δι᾽ ἣν ἔγωγε οὐ παύσομαι δε-
διώς, πρὶν τὸ σύμπαν ἐκκεκομμένην αἰσθέσθαι. Ὃ δὴ τρο- 19
παῖόν σοι ταμιεύσαιντο οἱ ἀεὶ ὄντες θεοί, ὦ Σκιπίων, ὡς ἂν
τὰ λείψανα μεταδιώξῃς τοῦ πάππου· οὗ τῇ μὲν τελευτῇ τρίτον
καὶ τριακοστὸν ἔτος τουτί. Τὴν μνήμην δ᾽ ἐκείνου τἀνδρὸς
ἅπας ὁ ἐπιὼν διαδέξεται χρόνος. Ἐνιαυτῷ γὰρ πρὸ τῆς ἐμῆς
τιμητείας τὸν βίον κατέστρεψεν, ἐννέα ἔτεσι μετὰ τὴν ἐμὴν
ὑπατείαν, ἐπειδὴ ὕπατος αὖθις ἐμοῦ ὑπατεύοντος ἀναῤῥηθείη.
Μὴ οὖν αὐτῷ, εἰ εἰς ἔτος ἑκατοστὸν διεβίω, τοῦ γήρως ἂν με-
τεμέλησεν; Μὰ Δί᾽, οὐ γὰρ ἐκδρομαῖς ἢ πηδήμασιν, οὐδὲ
πόῤῥωθεν ἀκοντίοις ἢ ἐγγύθεν μαχαίραις χρώμενος ἂν διετέ-
λει, ἀλλὰ λόγῳ καὶ εὐβουλίᾳ καὶ γνώμῃ· ἅπερ εἰ μὴ ἐν τοῖς
γέρουσιν ἦν, οὐκ ἂν τὴν μεγάλην βουλὴν γερουσίαν ἐκάλεσαν
οἱ ἡμέτεροι πρόγονοι. Καὶ παρὰ Λακεδαιμονίοις δὲ οἱ τὴν 20
ὑψηλοτάτην τῶν ἀρχῶν διοικοῦντες, ὅπερ εἰσί, τοῦτο καὶ ὀνο-

Ἀλλὰ γάρ, ἅττα δεῖ πρᾶξαι, τῇ συγκλήτῳ προγράφω, καὶ ὅπως τῇ Καρχηδόνι κακῶς ἤδη ἐκ πολλοῦ διανοουμένῃ ἐποίσομεν πόλεμον, πολὺ πρότερον ἀπαγγέλλω] διακονουμένῃ Colin. ἐποιήσομεν Cod. reg. ποιήσομεν Colin. ἐποιήσαμεν Goez. ἐποίσομεν cett. Edd. ἀπαγγέλω Cod. reg Gaza secutus videtur lect. *At senatui, quae sunt gerenda, praescribo, et quomodo Carthagini male jam diu cogitanti* [*excogitanti*] *bellum sit inferendum* [*inferatur*], *multo ante denuntio.* De magna discrepantia Codd. vd. Gernh. Orell. et Otton. Vulgata optt. Edd. est: *At senatui, quae sint* [Orell. Ott. *sunt* Gernh.] *gerenda, praescribo, et quomodo: Carthagini male jam diu cogitanti bellum multo ante denuntio;* ἅπτα Sturm. Καρχιδόνι Lugd. διανουμένῃ Goez. διανοουμένῃ Sturm.

πρὶν τὸ σύμπαν ἐκκεκομμένην αἰσθέσθαι] Vulgo *quam illam excisam esse cognovero.* Unus Cod. Ox. n. *quam illam excisam esse penitus cognoscam*, ut Gaza.

ταμιεύσαιντο οἱ θεοί — λείψανα μεταδιώξῃς] οἱ omis. Cod. reg. 19
μεταδιώξεις Cod. reg. ταμιεύσαντο Bas. Lugd. Sturm. Goez. ταμιεύσοιντο Colin. λείψαντα Goez.

οὗ τῇ μὲν τελευτῇ τρίτον καὶ τριακοστὸν ἔτος τουτί] ἀφ᾽ οὗ τῆς μὲν τελευτῆς Colin. e correct. ob verba Cic. *cuius a morte*, parum recte explicata a Gaza.

Ἐνιαυτῷ γὰρ — κατέστρεψεν] Ἐνιαυτῷ μὲν Colin. κατέστρεφεν Goez.

ἐπειδὴ — ἀναῤῥηθείη] Cic. *quum — creatus esset*, i. e. ἐπεὶ — ἀνεῤῥήθη.

Μὰ Δί᾽, οὐ] Οὐ μὰ Δία, οὐ Colin. praeter necessitatem, quum Μὰ Δία et Οὐ μὰ Δία dicatur vd. Matth. Gr. Vol. II. §. 605. Lex. Xen. ed. Sturz. Vol. III. s. Μά. Bas. μ δι᾽. Gaza de suo adjecit haec.

μαχαίραις — εὐβουλίᾳ] μαχάραις — εὐβουλίᾳ Sturm.

τὴν ὑψηλοτάτην τῶν ἀρχῶν] *Amplissimus magistratus* ap. Cic. 20
i. q. ἡ μεγίστη — πρώτη τῶν ἀρχῶν.

μάζονται γέροντες. Ὥςτ' εἰ ἀναγνῶναι ἢ πυθέσθαι ἐθέλοιτε τὰς ἔξωθεν μεγίστας τῶν πολιτειῶν ὑπὸ νέων πταισάσας, παρὰ γερόντων ἀνορθωθείσας καὶ ἀποκατασταθείσας εὕροιτε ἄν. Ἀλλ' εἴπαθ', ὅπως ὤλετο τάχιστα πάνθ' ὑμῖν τὰ τῆς πολιτείας τηλικαῦτα πράγματα. Οὕτω γὰρ ἀνακρίνονται ἐν τῇ Νεβίου τοῦ ποιητοῦ παιδιᾷ· ἄλλα τε ουν ἀποκρίνονται κἀκεῖνα δὴ εἰς τὰ πρῶτα· Παρήεσαν τάχιστα ῥήτορες νέοι, μειράκια εὐήθη. Ἡλικίας μὲν ἀκμαζούσης θρασύτητα δηλονότι εἶναι, γήρως δὲ φρόνησιν.

21 VII. Ἀλλὰ τήν γε μνήμην ἐλαττοῦσθαι συμβαίνει. Πείθομαι, εἰ μὴ ταύτην ἀσκῇς, ἢ εἰ φύσει βραδύτερος ὢν τυγχάνῃς. Θεμιστοκλῆς μέντοι συμπάντων τῶν πολιτῶν ἐγίνωσκε τὰ ὀνόματα· μῶν οὖν τι αὐτὸν οἴεσθε πόῤῥω γενόμενον ἡλικίας τὸν ὄντ' Ἀριστείδην Λυσίμαχον εἰωθέναι προσαγορεύειν; Οἶδ' ἔγωγε μὴ μόνον τοὺς ὄντας τούτους, ἀλλὰ καὶ τοὺς πατέρας καὶ τοὺς πάππους αὐτῶν. Οὐδέ τι τὰ μνήματα ἀναγινώσκων δέδοικα, ὅ φασι, μὴ ἀπολέσω τὴν μνήμην· ἐκ τού-

---

ὅπερ εἰσί, τοῦτο καὶ ὀνομάζονται] ὀνομάζουσι Cod. reg. ὥςπερ εἰσί, οὕτως Colin.

ἀναγνῶναι] ἀγνῶναι e compendio scripturae Ald. Bas. Colin. Lugd. Sturm.

ἀνορθωθείσας] Cod. reg. recte, nam Cic. *sustentatas* (de quo vd. Otton. et de *restitutas* a Gernh. fals. uncis incluso); συνορθωθείσας Edd. συνορθωθείσαρ Sturm. εὕροιτ' ἂν Colin.

Ἀλλ' εἴπαθ' — ὑμῖν] ἡμῖν Colin. Versus Naevii metri vinculis solutis in Graecum est conversus.

Οὕτω γὰρ ἀνακρίνονται ἐν τῇ Νεβίου τοῦ ποιητοῦ παιδιᾷ· ἄλλα τε οὖν ἀποκρίνονται εἰς τὰ πρῶτα] ἐρωτῶντι Colin. e corr., quae respondet lectioni *percontanti* pro vulgata *percontantur*; τ' οὖν Colin.; *poetae*, quod expressum est a Gaza, Edd Graev. Wetz. Gernh. Orell. Otton. ut gloss. eiecerunt. *Naevius* est Ναίβιος, non Νέβιος. Goez. ἀποκριόνονται. *Imprimis* ap. Cic. non est εἰς τὰ πρῶτα, sed μάλιστα.

Παρήεσαν τάχιστα ῥήτορες νέοι, μειράκια εὐήθη] Παρήεσαν Cod. reg. παρῆσαν Ald. St. παρῆσαν Bas. Colin. Lugd. Goez. τάχιστα bis Ald. μειράκι' Cod. reg. Recte secutus est Gaza lect.: *Proveniebant oratores novi, stulti adolescentuli.* De al. var. lectt. vd. Gernh. et Otton. Ceterum versum tetrametrum trochaicum catalecticum Gaza vinculis metri solutis reddidit.

Ἡλικίας μὲν ἀκμαζούσης θρασύτητα δηλονότι εἶναι, γήρως δὲ φρόνησιν] Secutus videtur Gaza lect. *senectutis*, optt. Edd. *senescentis*. Similis sententia exstat Aristot. Polit. VI, 5. ἡ μὲν δύναμις ἐν νεωτέροις, ἡ δὲ φρόνησις ἐν πρεσβυτέροις ἐστί.

21 Cap. VII. εἰ μὴ ταύτην ἀσκῇς, ἢ εἰ φύσει βραδύτερος ὢν τυγχάνῃς] ἀσκῇς — τυγχάνῃς Cod. reg. Colin. Goez. ἀσκῇς — τυγχάνεις Ald. Bas. Lugd. Sturm.

οἴεσθε — ὄντ'] οἴεσθαι Colin. Goez. ὄντα Colin.

Οὐδέ τι τὰ μνήματα — ὅ φασι] ὄφρα σοι Cod. reg. οὐδέ τιν Sturm. τά omis. Colin.

των γάρ τοι αὐτῶν ἀναγινωσκομένων εἰς μνήμην ἐπανάγω τῶν ἀπογενομένων. Οὐ μὴν ἀλλ' οὐδέπω τινὰ τῶν γερόντων ἐπιλαθόμενον ἤκουσα, ἢ γῆς θησαυρὸν κατορωρυχὼς εἴη· ἀλλ' ἄρα μέμνηνται πάντων, ὧν ἐπιμέλειαν ποιοῦνται, οἷον ἐξεγγυήσεών τε συγκειμένων καὶ ἀνταλλαγῶν· καὶ ὅςτις μὲν αὐτοῖς, ὅτῳ δ' οὗτοι ὀφείλοιεν. Τί δὲ οἱ τῶν νομίμων ἐξηγηταί; τί δ' οἱ 22 *ἀρχιερεῖς; τί δ' οἱ οἰωνοσκόποι; τί δ' οἱ φιλόσοφοι γέροντες; ὡς πλείστων μνημονικῶς ἔχουσι; Παραμένει γὰρ τὸ ἀγχίνουν καὶ γέρουσιν, ἣν μόνον γε παραμένῃ σπουδὴ καὶ φιλοπονία. Καὶ ταῦτα οὐ μόνον ἐπ' ἀνδράσι τῶν λαμπρῶν τε καὶ ἐπιτίμων, ἀλλὰ κἂν τῷ ἰδιώτῃ τε καὶ ἡσύχῳ βίῳ. Σοφοκλῆς μὲν οὖν ἐν γήρᾳ βαθεῖ τραγῳδίας ἐποίει· ὃς καὶ διὰ σπουδὴν τῶν τοιούτων ἀμελῶς ἔχειν τῶν κατὰ τὴν οἰκίαν δοκῶν εἰς δικαστήριον ὑπὸ τῶν υἱέων ἐκλήθη, ἵν', ὥςπερ ἔθος ἡμῖν ἀπαγορεύειν τὰ ὑπάρχοντα πατράσι κακῶς τὰ περὶ τὴν οὐσίαν διοικουμένοις, ὡς ἐκεῖνον οἷόν τινα τῶν ἀφρόνων ἀποστήσαιεν τῶν οἰκείων*

ἀναγινωσκομένων] *ἀναγινοσκομένων* Cod. reg.

ἢ γῆς θησαυρὸν κατορωρυχὼς εἴη] *ἢ* Cod. reg. *γῆς* Ald. Bas. *κατορωρυχός* Bas. Lugd. Goez. *εἴη* Goez.

ἀλλ' ἄρα μέμνηνται πάντων, ὧν ἐπιμέλειαν ποιοῦνται, οἷον ἐξεγγυήσεων τε συγκειμένων καὶ ἀνταλλαγῶν,] *ἐπιμέλειαι* Cod. reg. *συγκειμένων* omis. Cod. reg. *μέμνηται* Sturm. *ἐξ ἐγγυήσεων* Cod. reg. Edd. a me mutatum in *ἐξεγγυήσεων*. Verba Cic. *vadimonia constituta* non recte interpretatus est Gaza.

τί δ' οἱ ἀρχιερεῖς — οἰωνοσκόποι] *τί δ' ἱερεῖς* Cod. reg. *ἀρχιερεῖρ* 22 Lugd. *οἰονουκόποι* Goez.

ὡς πλείστων μνημονικῶς ἔχουσι] Cod. reg. *πλείων* Edd. Apud Cic. est *quam multa meminerunt*.

παραμένει — ἣν μόνον γε παραμένῃ] Cod. reg. Goez. *παραμείνει* Colin. *παραμείνῃ* Ald. Colin. Sturm.

Καὶ ταῦτα ου μόνον] Cod. reg. *καὶ* om. Edd. Cic. *Nec ea solum*.

τραγῳδίας ἐποίει] *τραγωδίας* Lugd. *ἐποίοι* Sturm.

ὃς καὶ διὰ σπουδὴν τῶν τοιούτων ἀμελῶς ἔχειν] *ἔχων* Cod. reg. Quum h. l. var. lectt. sint *qui propter studium — quod propter studium* (optt. Edd.), Gaza utramque lect. expressit.

εἰς δικαστήριον ὑπὸ τῶν υἱέων ἐκλήθη] *ἀπὸ* Colin. *ηἱέων* Lugd. *υἱέων ἐκκλήθη* Sturm. Non erat, cur Blum. p. 151. pro *καλεῖν εἰς τὸ δικαστήριον* substitueret *ὑπάγειν τινὰ* (*εἰς τὸ δικαστήριον*), quum utraque locutio apud scriptores Graecos inveniatur cf. Passov. Lex. s. *καλέω* et *ὑπάγω*, Meier u. Schömann Attisch. Proceſs p. 705.

ἵν', ὥςπερ] *ἵνα ὥςπερ* Goez.

ἀπαγορεύειν τὰ ὑπάρχοντα πατράσι κακῶς τὰ περὶ τὴν οὐσίαν διοικουμένοις] Cod. reg. *γονεῦσι* Edd. *Interdicere alicui bonis* Blum. p. 152. interpretatur *ἀποκρίνειν τινὰ τῶν ὑπαρχόντων*. *Rem gerere* h. l. i. q. *τὰ ἑαυτοῦ διοικεῖν — τὸν οἶκον διοικεῖν — τὴν οἰκίαν οἰκεῖν* vd. Sturz. Lex. Xen. s. *διοικεῖν* et *οἰκία*. *Διοικεῖσθαι* Med. hac significatione a bonis scriptoribus non usurpatum videtur. Blum. p. 151. *male rem gerere* explicat *κακῶς διοικεῖν τὰ ἑαυτοῦ*. — Male *ἐκεῖον* Bas.

χρημάτων οἱ δικασταί. Τότε δ' ὁ γέρων τὸν μῦθον αὐτόν, ὃν διὰ χειρὸς εἶχε καὶ ὑπογυιότατα γέγραφεν, Οἰδίπουν τὸν ἐν τῷ Κολωνῷ, παραναγνῶναι τοῖς δικασταῖς λέγεται καὶ ἐρέσθαι, εἴ τι ἐκεῖνο τὸ ποίημα ἀφραίνοντός του δοκοίη; Τοῦ δὲ
23 *παρανεγνωσμένου ψήφῳ τῶν δικαστῶν ἀφείθη. Μὴ οὖν τόνδε, μὴ Ἡσίοδον, Σιμωνίδην, Στησίχορον, μὴ οὓς πρότερον εἶπον, Ἰσοκράτη τε καὶ Γοργίαν, μὴ Ὅμηρον, μὴ Πυθαγόραν, τὸν ἡγεμόνα τῶν φιλοσόφων, μὴ Δημόκριτον, μὴ Πλάτωνα, μὴ Ξενοκράτη, μὴ Ζήνωνα ὕστερον καὶ Κλεάνθην, ἢ ὃν ἐν Ῥώμῃ καὶ ὑμεῖς ἴδετε, Διογένην τὸν Στωϊκόν, ἄφωνον γενέ-*

Τότε δ' ὁ γέρων τὸν μῦθον αὐτόν, ὃν διὰ χειρὸς εἶχε καὶ ὑπογυιότατα γέγραφεν, Οἰδίπουν τὸν ἐν τῷ Κολωνῷ] Cod. reg. *Οἰδίπουν ἐν Κ.* Edd. Inscriptio huius fabulae in Editt. Sophocl. est *Οἰδίπους ἐπὶ Κολωνῷ*, in Schol. *ὁ ἐπὶ Κολωνῷ Οἰδίπους*; in Lucian. Macrob. *Οἰδίπους ὁ ἐπὶ Κολωνῷ*; Plutarch. an seni sit gerend. respubl. T. XII. cp. 3. Hutt. *Οἰδίπους ὁ ἐπὶ Κολωνοῦ.* Fabula h. l. non est *μῦθος*, sed *δρᾶμα*, ut ap. Lucian. exstat. Goez. *ὃν* male omis. Apponere lubet loc. Lucian. Macrob. cp. 24: *Οὗτος ὑπὸ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος ἀνέγνω τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ, ἐπιδεικνύμενος διὰ τοῦ δράματος, ὅπως τὸν νοῦν ὑγιαίνει· ὡς τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν.*

εἴ τι ἐκεῖνο τὸ ποίημα ἀφραίνοντός του δοκοίη] *ἐκεῖνο* Cod. reg. *κεῖνο* Edd. de qua duplici scriptura vd. Elmsl. ad Eur. Med. v. 88. Passov. Lex. s. *κεῖνος*; Cod. reg. *ἀφρονοῦντός*, Ald. Bas. Colin. Lugd. *ἀφραίνοντός*, Sturm. *εὐφραίνοντός*, Goez. *αὐφραίνοντος τοῦ*; id. male *ψήφω*

23 *Σιμωνίδην, Στησίχορον*] *Σιμονίδην* Edd. *Num* ante utrumque nomen a Gaza, it. in mult. Codd. et Edd. omissum Otto uncis inclusit, Orell. non improbante.

μὴ οὓς πρότερον εἶπον, Ἰσοκράτη, Γοργίαν] *πρότεγον* Colin. *Ἰσοκράτην* Goez. *Ποργίαν* Sturm.

μὴ Ὅμηρον, μὴ Πυθαγόραν, τὸν ἡγεμόνα τῶν φιλοσόφων] Verba *num Homerum* in plerisque Codd. et omnibus vett. Edd. perperam h. l. posita Graevius auctoritate Codd. in locum suum reduxit post *τόνδε* vd. Gernh. et Otton. Gaza secutus est lect. deteriorem *principem* pro *principes* vd. Orell. Ott.; Sturm. *ὑγεμόνα.*

μὴ Πλάτωνα, μὴ Ξενοκράτη, μὴ Ζήνωνα ὕστερον καὶ Κλεάνθην] Cod. reg. ut optt. Edd. Cic. *μὴ Ξενοκράτην, μὴ Πλάτωνα* Ald. Bas. Lugd. Sturm. Goez. *μὴ Σωκράτην, μὴ Πλάτωνα* Colin. Supra confusum *Isocratem* et *Socratem* vd. ap. Otton. *Κλεάντην* Bas. Colin. Lugd. *Κλεάνιτν* Sturm.

ἢ ὃν ἐν Ῥώμῃ καὶ ὑμεῖς ἴδετε, Διογένην, τὸν Στωϊκόν, ἄφωναν γενέσθαι] *ἴδετε* Cod. reg. Edd., quare form. Homericam retinui, Atticis scriptoribus non usurpatam, quum Plat. Rep. VI, 12. nunc *εἶδον* pr. *ἴδον* legatur vd. Matth. Gr. Vol. I. p. 449. ; *μή* Colin. pr. *ἤ*. *Στοϊκόν* Colin. Lugd. Goez. Exstant quidem tres formae *στοά — στοιά — στωά*, quarum prima usitatissima, vd. Lobeck. Parerg. ad Phryn. p. 495, at adiectivi forma sola *Στωϊκός*. Rost. Lex. Germ. Graec. s. v. Stoa *Στοϊκοί* exhibet, in Lex. Graec. Germ.

σθαι τὸ γῆρας ἠνάγκασε περὶ τὰς οἰκείας σπουδάς; Ἠ πᾶσι τούτοις ἡ τῶν αὐτῶν σπουδῶν ἐντελέχεια ἐξίσου τῷ βίῳ διεγεγόνει;
24 *Ἀλλά γε τὰς θείας ταύτας ἐῶμεν σπουδάς· ἔχω γάρ τοι ὀνομάσαι Ῥωμαίους ἐκ Σαβίνης ἀγροίκους, γείτονας ἐμοὶ καὶ συνήθεις, ὧν ἀπόντων οὐδέποτε σχεδόν τι ἔργ᾽ ἄττα τῶν μειζόνων γίγνεται ἀμφὶ τὸν ἀγρόν, οὐ γὰρ σπειρομένων, οὐδὲ συλλεγομένων, οὐδὲ ἀποτιθεμένων τῶν καρπῶν. Κἂν ἐπὶ τῶν ἄλλων δέ-γε τοῦθ᾽ ἧσσον καὶ θαυμαστόν· γέρων γὰρ οὕτως οὐδείς, ὥστε μὴ οἴεσθαι ἐνιαυτὸν ἂν ἐπιζῆσαι. Ἀλλ᾽ οἱ αὐτοὶ περὶ ἐκεῖνα πονοῦσιν, ἅπερ οὐδὲν τὸ παράπαν πρὸς ἑαυτοὺς φέροντα ἴσασι· Δένδρα γὰρ φυτεύει, θερίζει, ἅττα αἰῶνα ἕτερόν γ᾽ ὀνήσει, Στάτιος ὁ ἡμέτερος ἔφη ἐν Συνεφήβοις.*
25 *Οὐδέ τι ἀμφιβάλλων ὁ γηπόνος, καίπερ ὢν γέρων, ἀποκρίνεται τῷ, τίνι*

---

solam form. *Στωϊκός*. — Pro *ἄφωνον γενέσθαι* corr. *ἀφώνους γενέσθαι*, quia ad plures refertur.

εἰς τὸν περὶ τῆς τῶν ψυχῶν ἀθανασίας λόγον ἐτελεύτησε· καθὰ
νύκτωρ ἀναπαυόμενος ἔφη κατ' ὄναρ ἀκηκοέναι λέγοντος Ἀφρι-
κανοῦ. Εἰ μὲν δὴ οὕτως ἔχει τὸ πρᾶγμα, ὡς τῶν ἀρίστων
ἑκάστου τὴν ψυχὴν ἐν τῷ θανάτῳ ῥᾷστα οἷον ἐκ φυλακῆς καὶ
δεσμῶν τοῦ σώματος ἀφίπτασθαι· τίνι ποτ' εὐκολωτέραν
ἡγησόμεθα γενέσθαι ἢ τῷ Σκηπίωνι τὴν πρὸς τοὺς θεοὺς
ἀναδρομήν; Οὐκοῦν τοιαύτῃ τῇ συντυχίᾳ τἀνδρὸς ἐποδύρε-
σθαι δέδοικα μὴ φθονοῦντος μᾶλλον ἢ φιλοῦντος εἴη. Εἰ
δ' αὖ τῆς ἀληθείας ἔχεται μᾶλλον τὸ τῶν τε ψυχῶν καὶ τῶν*

καὶ—προεπέμπετο] Expressa est lectio *populo Romano, sociis* 12
et Latinis in plerisq. Edd. vd. Beier. Orell.; *populi Romani sociis*
Gernh. Pro *προεπέμπετο* scribendum erat *προὐπέμφθη* i. e. *re-
ductus est.*

CAP. IV. *συγκαθείμην*] Quum ap. Cic. sit *assentior*, Petavius 13
aut minus recte *συγκαθίεσθαι* pro *συγκατατίθεσθαι* usurpavit,
aut *συγκαθείμην* est mendum typographicum pro *συγκαταθείμην*.

ἤρξαντο διαθρυλλεῖν] *Disserere* ap. Cic. i. q. *διαλέγεσθαι—δια-
λογίζεσθαι.* Pro Infinitivo erat ponendum Partic.

ὡς τὰ πολλά] *Ut in plerisque* Beier. Orell. *ut plerique* Gernh.

τοτέ—ἔλεγεν ἀεί] *Dicebat* omis. Beier. Orell.; Petav. bis *τότε*.

καὶ τὰ ἐκτὸς ὄντα κατανοοῦσα πλεῖστον ὅσον ἑαυτὴν ἐξέλκοι τοῦ σώματος. *Αἱ* γὰρ ψυχαὶ τῶν ἑαυτοὺς ταῖς ἡδοναῖς ἐκδεδωκότων τοῦ σώματος, αἳ τούτων ἑαυτὰς οἱονεί τινας παρέδωκαν ὑπηρέτιδας καὶ τῇ τῶν ἐπιθυμιῶν ῥύμῃ ταῖς ἡδυπαθείαις ὑπέκυψαν καὶ θεῶν καὶ ἀνθρώπων δίκαια κατεπάτησαν, ἐξελθοῦσαι τοῦ σώματος περὶ τὴν γῆν αὐτὴν καλινδοῦνται· καὶ οὐδ᾽ ὁτιοῦν πρὸς τουτονὶ τὸν χῶρον ὅ,τι μὴ πολλοῖς αἰῶσι δίκας εἰςπραχθεῖσαι ἐπανακάμπτουσι. — *Καὶ* ὁ μὲν ἀνεχώρησεν· ἐγὼ δὲ τοῦ ὕπνου εὐθὺς ἀπελύθην.

Aug. Edd. de qua structura part. *εἰ* c. Coniunct. vd. nos supra ad Cap. 23.

ἐξέλκοι — ἐκδεδωκότων] *ἐξέλλοι — ἐκδεδοκότων* Ald. Bas. Lugd. I. Sturm. Pro *ἐξέλκειν* Blum. p. 213. *καταλύεσθαι* substituit.

αἳ — ὑπέκυψαν] *αἳ τούτοις* omisso *τινας* Matth., cui e Latino legendum videtur: *καὶ ταύταις* (*ταῖς ἡδοναῖς*) *ἑαυτάς*. Hac emendatione non opus est, modo observemus *praebuerunt* ap. Cic. perperam Planudem interpretatum esse *παρέδωκαν* pro *πάρεσχον*. Sturm. male *τινα*. Infra male *ἡδυπαθείας* Goez. Mos. *Obedire* h. l. non est *ὑποκύπτειν*, sed *δουλεύειν*.

καλινδοῦνται] Codd. reg. Aug. Matth. Ald. Bas. Sturm. *κυλινδοῦνται* Colin. Lugd. I. II. Goez. Mos. De his aliisque formis huius verbi vd. Buttm. Lexil. Vol. II. p. 167. Licet *κυλινδοῦμαι* Atticis fuerit usitatius, tamen optimi scriptores *καλινδοῦμαι* usurpant vd. Popp. Proleg. ad Thuc. Vol. I. p. 211. Bornem. et Herbst. ad Xen. Symp. VIII, 32. Sturz. Lex. Xen. s. vv. Krüg. ad Xen. Anab. V, 2, 31. Dind. ad Isocr. Paneg. cp. 41.; Stallb. ad Plat. Phaedon. p. 103. ed. Gothan. apud Plat. *κυλινδεῖσθαι* praefert.

δίκας εἰςπραχθεῖσαι ἐπανακάμπτουσι] *ἐπαναγκάμπτουσι* Ald. Bas. Colin. Lugd. I. Sturm. *ἐπαναγκάμτουσι* Goez. *Exagitati* ap. Cic. Plan. male interpretatus est *δίκας εἰςπραχθεῖσαι*: *exagitare* h. l. i. q. *περιάγεσθαι — περιπλανᾶσθαι*.

ὁ μέν] *μέν* omis. Goez.

Quae in Ald. Bas. Lugd. I. Sturm. Goez. Mos. leguntur verba extrema *Τέλος τοῦ περὶ ὀνείρου* (*ἰνείρου* Ald.) *τοῦ Σκιπίωνος*, vel *Τέλος τοῦ ὀνείρου τοῦ Σκιπίωνος* in Colin., omissa sunt in Codd. reg. Aug. Matth.

M. TULLI CICERONIS
L A E L I U S
SIVE DE AMICITIA
GRAECE REDDITUS
A
DION. PETAVIO
E SOCIETATE IESU.

ΜΑΡΚΟΥ ΤΟΥΛΛΙΟΥ ΤΟΥ ΚΙΚΕΡΩΝΟΣ
Λ Α Ι Λ Ι Ο Σ
Η ΠΕΡΙ ΦΙΛΙΑΣ
ΕΛΛΗΝΙΣΤΙ ΜΕΤΑΦΡΑΣΘΕΙΣ
ΥΠΟ
ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΠΕΤΑΒΙΟΥ
ΤΟΥ ΕΚ ΤΗΣ ΕΤΑΙΡΕΙΑΣ ΙΗΣΟΥ.

ΜΑΡΚΟΥ ΤΟΥΛΛΙΟΥ ΤΟΥ ΚΙΚΕΡΩΝΟΣ

Λ Α Ι Λ Ι Ο Σ

Η ΠΕΡΙ ΦΙΛΙΑΣ

ΠΡΟΣ

ΤΙΤΟΝ ΠΟΜΠΩΝΙΟΝ ΤΟΝ ΑΤΤΙΚΟΝ.

Δ Ι Α Λ Ο Γ Ο Σ.

ΦΑΝΝΙΟΣ. ΣΚΑΙΟΛΑΣ. ΛΑΙΛΙΟΣ.

I. Κοΐντος Μούτιος Σκαιόλας ὁ οἰωνοσκόπος περὶ Γαΐου 1
Λαιλίου τοῦ ἑαυτοῦ πενθεροῦ πολλὰ μὲν εἰώθει καὶ μάλα ἡδέως
ὑπομιμνημονεύειν, οὐδ᾽ ἐκεῖνον ὀκνεῖν ἐπὶ παντὸς λόγου σοφὸν
ὀνομάζειν. Ἐγὼ δὲ τῷ Σκαιόλᾳ προςαχθεὶς ὑπὸ τοῦ ἐμοῦ πα-
τρὸς μετὰ τὸ τὴν ἀνδρικὴν ἀμφιέσασθαι τήβεννον οὕτως
ἀπρὶξ εἰχόμην τοῦ πρεσβύτου, ὡς μηδέποτ᾽ αὐτοῦ, καθόσον
οἷός τε ἤμην καὶ ἐξῆν, ἀποχωρεῖν. Τοιγαροῦν πάμπολλα φρο-
νίμως ὑπ᾽ αὐτοῦ διειλημμένα, οὐκ ὀλίγα δὲ διὰ βραχέων καὶ
εὐχρήστως εἰρημένα εἰς μνήμην κατατιθέμενος τῆς ἐκείνου φρο-
νήσεως εἰς παιδείαν ὄνασθαι προὐθυμούμην. Οὗ δὴ ἀποθα-
νόντος, πρὸς τὸν ἀρχιερέα Σκαιόλαν μεταβὰς τούτῳ ἐμαυ-
τὸν ἐπέδωκα, ὃν ἔγωγε καθ᾽ ἡμετέραν πόλιν ἕνα μάλιστα τῇ
τε ἀγχινοίᾳ καὶ τῇ δικαιοσύνῃ διενηνοχότα θαῤῥῶν ἂν ἀποφη-
ναίμην. Ἀλλὰ τούτων πέρι ἄλλοτε λεχθήσεται· νῦν δὲ πρὸς
τὸν οἰωνοσκόπον ἐπανιτέον ἐμοί. Οὗτος τοίνυν, ὡς ἑκάστοτε
πολλὰ διηγεῖτο, καὶ δὴ μέμνημαι, ὅπως οἴκοι ποτ᾽ ἐφ᾽ ἡμι- 2

Cap. I. *Μούτιος Σκαιόλας*] *Scaevola* ap. Cic. auctoritate opti- 1
morum Codd. omis. Graev. Facc. Ern. Gernh. Beier. Orell. Pro
Μούτιος bis hoc Cap. et *Μοίτις* Cap. 27. scribendum *Μούκιος* —
Μούκις, quae est scriptura huius nominis Dion. Cass. XLV, 32.
Cf. annot. meam ad Parad. I, 12.

μετὰ — τήβεννον] *Toga virilis* a Dion. Cass. XLV, 2. *ἀνδρικὴ
ἐσθής* (*ἐνδῦναι τὴν ἀνδρικὴν ἐσθῆτα — ἡ ἔνδυσις τοῦ ἀνδρικοῦ χιτῶ-
νος*), a Plutarch. (vd. Bud. Comm. s. v.) *ἀνδρεῖον ἱμάτιον* vocatur. Ap-
pian. Civ. IV, 30. *togam virilem sumere* dicit *περιτίθεσθαι τὴν τῶν
τελείων στολήν*. De v. *τήβεννος* vd. Müller. Etrusker. P. I. p. 261. sq.

ὡς ἑκάστοτε πολλὰ διηγεῖτο] Petavius secutus est lectionem *quum
saepe multa narraret; narraret* optt. Codd. et Edd. eiecerunt.

ἐφ᾽ ἡμικύκλου] Lectioni *hemicyclo* a Petav. expressae praefe- 2
renda est *hemicyclio* optt. Codd. et Edd. *Ἡμικύκλιον* Plutarch.

κύκλου, ὡς ἔθος εἶχε, καθεζόμενος, ἐμοῦ σὺν ὀλίγοις κομιδῆ τῶν οἰκείων αὐτῷ παρόντος, εἰς τοιοῦτον τάχα τινά, ὃς καὶ πολλοῖς τηνικαῦτα διὰ στόματος ἦν, τὸν λόγον ἐνέπεσε. Μέμνησαι γάρ, οἶμαι, ὦ Ἀττικέ, καὶ τοσούτῳ πλέον, ὅσῳ Ποπλίῳ Σουλπικίῳ πλεῖστα χρώμενος ἐτύγχανες, ἡνίκα δήμαρχος ὢν ἐκεῖνος μετ' ἰσχυρᾶς καὶ ἀκράτου τινὸς ἀπεχθείας πρὸς Κοΐντον Πομπήϊον ὑπατεύοντα τότε διεφέρετο, καίτοι ὡς οἰκειότατα καὶ φίλτατα τέως αὐτῷ συμβεβιωκώς, ἡλίκη ἐπὶ τῷδε τῶν ἀνθρώ-
8 πων ἔκπληξις καὶ ἀγανάκτησις ἐγένετο. Οὐκοῦν εἰς τῶν τοιούτων μνείαν τότε ὑπενεχθεὶς ὁ Σκαιόλας λόγον ἡμῖν ἐξέθετό τινα περὶ τῆς φιλίας, ὃν ὅγε Λαίλιος πρώην εἰρήκει κοινολογούμενος ἑαυτῷ τε καὶ ἑτέρῳ γαμβρῷ Γαΐῳ Φαννίῳ τῷ Μάρκου, οὐ πρὸ πολλῶν ἡμερῶν ἤδη ἀποθανόντος Ἀφρικανοῦ. Ταύτης ἔγωγε τῆς ὁμιλίας τὰ κεφάλαια εἰς τόδε τὸ βιβλίον ἐγκατεθέμην· ἀλλ' ὃν τρόπον βέλτιον ἔχειν ἔδοξέ μοι. Καὶ γὰρ ἐκείνους οἱονεὶ πρὸς ἀλλήλους αὐτοπροσώπως διαλεγομένους παρήγαγον εἰς μέσον, ἵνα μὴ τόδε ἦν δ' ἐγώ, ἢ τὸ ἦ δ' ὅς παρεμβάλλειν πολλάκις ἀναγκασθείην. καὶ τούτου δ' ἕνεκεν οὕτως ἐποίησα, ὅπως οἷα δὴ παρόντες ἔμπροσθεν εἰς λόγους
4 ἐλθεῖν δοκῶσι. Ἐπειδὴ γὰρ πολλάκις, ὦ Ἀττικέ, ἐδεήθης ἐμοῦ περὶ τῆς φιλίας συγγράψασθαι, αὐτὸ δὴ τὸ πρᾶγμα τῆς θ' ἁπάντων γνώσεως καὶ τῆς ἡμετέρας φιλίας οὐκ ἀνάξιον ἐφαίνετο. Καὶ δῆτα τοιούτῳ τινὶ οὐκ ἄκων ἐνεχείρησα, ἐφ' ᾧ ταύτην ἐκ τῆς σῆς παρακλήσεως ἀφορμὴν ἔχων ὅτι πλείστους ὠφελεῖν. Ἀλλ' ὥσπερ ἐν Κάτωνι τῷ μείζονι, ὃ δὴ σύνταγμά σοι περὶ γήρως ἐπεγραψάμην, διαλεγόμενον εἰςῆγον Κάτωνα πρεσβύτην ἄνδρα, ἐπειδὴ οὐδὲν ἐδόκει μοι πρόςωπον ἀξιόχρεων εἶναι μᾶλλον ἐκείνης περὶ τῆς ἡλικίας λόγον ποιεῖσθαι, ἢ τοῦ πλεῖστον ἤδη ἐν τῷ γήρᾳ διατελέσαντος χρόνον καὶ τούτῳ δὲ μάλιστα παρὰ τοὺς λοιποὺς ἀκμάσαντος· παραπλησίως δὴ ἄρα καὶ ἡμῖν παρὰ τῶν πατέρων ἀκηκοόσιν ὀνομαστὴν καὶ διαβόητον οὐχ ἥκιστα γενέσθαι τὴν Γαΐου Λαιλίου καὶ Ποπλίου Σκηπίωνος φιλίαν ἐπιτήδειον ἐφάνη τοῦ Λαιλίου τὸ πρόςωπον εἰς τὸ περὶ φιλίας τὰ αὐτὰ διαλέγεσθαι, ἃ ὑπ' ἐκείνου πάλαι διειλημμένα ὁ ἐμὸς ἐμέμνητο καθηγητὴς Σκαιόλας. Τῷ μὲν οὖν

Nic. 12. Alcib. 17. ibiq. Bähr. Pro ἐφ' ἡμικύκλου rectius dixisset ἐν ἡμικύκλῳ vd. Nic. l. l.

Μέμνησαι γάρ, οἶμαι] Expressa est lectio *Meministi enim profecto, ut opinor:* verba *ut opinor* in optt. Edd. ut glossema deleta sunt.

4 *ὁ ἐμὸς — καθηγητὴς Σκαιόλας*] Glossema *magister meus* optt. Edd. deleverunt. *Καθηγητής* proprie *dux*, apud scriptores Christianos i. q. *praeceptor — magister.*

5 *Τῷ μὲν — ἐπιπολάζειν*] Cicer. verba non commode reddita sunt: *Genus autem hoc sermonum — plus nescio quo pacto videtur habere gravitatis.* Ἐπιπολάζω 1) in superficie esse, innatare.

τοιούτῳ τῶν λόγων εἴδει ἐκ τοῦ παλαιῶν ἀνδρῶν καὶ ἐπιφανῶν ἀξιώματος ὁρμωμένῳ οὐκ οἶδ' ὅπως πλέον τι φαίνεται σεμνότητος ἐπιπολάζειν. Οὐκοῦν τἀμὰ ἐπιλεγόμενος αὐτὸς οὕτως ἔστιν ὅτε διατίθεμαι, ὡς τὸν Κάτωνα, οὐκ ἐμὲ λέγειν ὑπολαμβάνειν. Ἀλλὰ καθάπερ τότε γέρων πρὸς γέροντα περὶ τοῦ γήρως, οὕτως ἐν ταύτῃ τῇ βίβλῳ πρὸς φίλον ἄνδρα φίλος μάλιστα περὶ φιλίας ἔγραψα. Καὶ τηνικαῦτα μὲν εἶπεν ὁ Κάτων, οὗ κατ' ἐκεῖνον τὸν καιρὸν οὐδεὶς πρεσβύτερος οὔτε μὴν φρονιμώτερος ἦν· τὸ δὲ νῦν ὁ Λαίλιος καὶ σοφός (τοιοῦτος γὰρ ἐνομίζετο) καὶ τῇ τῆς φιλίας δόξῃ ὑπέρλαμπρος ὢν περὶ τῆς φιλίας διαλέγεται. Ἐγὼ δέ σε μικρόν τι τέως ἐμοῦ τὴν διάνοιαν ἀποστρέφειν ἀξιῶ καὶ αὐτὸν λέγειν οἴεσθαι τὸν Λαίλιον. Ὁ γοῦν Φάννιος καὶ Κόϊντος Μούτιος πρὸς τὸν ἑαυτῶν πενθερὸν ἔρχονται μετὰ τὸν τοῦ Σκηπίωνος θάνατον· ἀπὸ τούτων ὁ λόγος ἄρχεται, ἀποκρίνεται ὁ Λαίλιος, οὗ πᾶσά ἐστι περὶ τῆς φιλίας ἡ διάλεξις, ἣν σὺ ἀναγινώσκων ἂν ἐπιγνοίης.

II. ΦΑΝΝΙΟΣ. Ἀληθῆ δὴ ταῦτα λέγεις, ὦ Λαίλιε· 6
οὐδὲ γὰρ Ἀφρικανοῦ βελτίων τις ἀνὴρ ἐγένετο πώποτε οὔτ' οὖν ἐπικυδέστερος· πλὴν οὕτω πεπεῖσθαί σε χρή, ὅτι πάντες εἰς σὲ λοιπὸν ὁρῶσι, μόνον τε σοφὸν καὶ ὀνομάζουσιν καὶ ὑπάρχειν οἴονταί σε. Καὶ δὴ Μάρκῳ Κάτωνι τοῦτο πρώην ἀπενενέμητο· καὶ Λεύκιον δὲ τὸν Ἀτίλιον οἴδαμεν παρὰ τοῖς ἡμετέροις πατράσι κληθῆναι σοφόν· ἀλλ' ἑκάτερος ἄλλως πως τοιούτου ἐπέτυχε τοῦ ὀνόματος. ὁ μὲν Ἀτίλιος, ὅτι δόξαν εἶχε τῆς ἐν τοῖς πολιτικοῖς νόμοις φρονήσεως· ὁ δὲ Κάτων, ὅτι ἐκ τῆς πολλῶν τῶν πραγμάτων τριβῆς ἐμπειρίαν ἐκέκτητο, καὶ συχνὰ

---

2) Multum — frequentem esse, invalescere, imminere. 3) Efferri, ferocire c. Dativ. vd. Steph. Thes. Schneider. Lexic. s. v. Dici poterat *τὸ μὲν τοιοῦτο τῶν λόγων εἶδος ἀνηρτημένον ἐκ — πλέον τι φαίνεται σεμνότητος ἔχειν.*

ἐπιλεγόμενος] Apud Herodotum hoc verbum significat *legere*, pro quo Attici *ἀναγιγνώσκειν* ponunt, quo infra usus est Petavius. Schweighaeus. Lex. Herodot. P. I. p. 259. *Ἀναλέγομαι* hac significatione laudat e Galeno et Luciano Steph. Thes. s. v.

ἣν — ἐπιγνοίης] Secutus est Petav. lect. *quam legens tu ipse cognosces:* optt. Edd. *tu te ipsum cognosces.*

Cap. II. *Ἀληθῆ δὴ ταῦτα λέγεις*] Secutus est Petavius lect. *Sunt ista vera, ut dicis*, at vulgo recte *Sunt ista* (*ἔστι ταῦτα* ap. Plat.). 6

οὔτ' οὖν] *Οὖν* abesse potest, nam ap. Cic. tantum *nec* exstat.

ὅτι — ὁρῶσι] Cum expressa sit lectio *omnium oculos in te esse coniectos*, nescio quid sibi velit *λοιπόν*. Gernhardus: *omnium oculos nunc in te esse coniectos;* rectius Beierus: *omnium in te oculos esse coniectos unum.*

οἴδαμεν — κληθῆναι] Reperitur pro forma usitatiore *ἴσμεν* apud Herodot. II, 17. Plat. Alcib. II. p. 141. E. St. vd. Matth. Gr. Gr. Vol. I. p. 450. Pro *κληθῆναι* Participium *κληθέντα* erat ponendum vd. Matth. Gr. Vol. II. §. 548. 2.

δ' ὑπ' αὐτοῦ ἔν τε τῇ συγκλήτῳ καὶ κατ' ἀγορὰν ἢ συνετῶς
προνενοημένα ἢ στεῤῥῶς πεπολιτευμένα ἢ μετὰ δριμύτητος
εἰρημένα ἐν ταῖς ἀποκρίσεσιν ἐφέρετο· ἀνθ' ὧν ἤδη αὐτῷ εἰς
γῆρας ἐληλακότι ἡ τοῦ σοφοῦ οἷον ἐπωνυμία περιετέθη. Σὲ
δὲ ἅπαντες καθ' ἕτερόν τινα τρόπον φάσκουσιν οὐ μόνον τῇ
φύσει καὶ τοῖς ἤθεσιν, ἀλλὰ καὶ τῇ περὶ τοὺς λόγους σπουδῇ
καὶ παιδείᾳ σοφὸν ὑπάρχειν· καὶ οὐχ ὥςπερ οἱ πολλοί, ἀλλ' ὡς
οἱ λόγιοι σοφὸν εἰώθασιν ἐπιφημίζειν, οἷον οὐδένα πω κατὰ
7 λοιπὴν Ἑλλάδα. Τοὺς γὰρ ἑπτὰ λεγομένους οἱ περὶ τῶν τοιού-
των ἀκριβέστερον ἐπιζητοῦντες τοῖς σοφοῖς ἐναριθμεῖσθαι δεῖν
οὔ φασιν. Ἀθήνησι μὲν οὖν ἕνα που παρελάβομεν, καὶ τοῦ-
τον δ' ὑπὸ χρῶντος τοῦ θεοῦ σοφώτατον κεκρίσθαι. Τοιαύ-
την οὖν προσεῖναί σοι σοφίαν ἅπαντες ὑπολαμβάνουσιν, ὡς
πάντα τὰ σὰ ἐν ἑαυτῷ κεῖσθαι νομίζειν, καὶ τὰ ἀνθρώπινα
δ' ἥττω ἀξιοῦν εἶναι τῆς ἀρετῆς. Διόπερ ἐμοῦ πυνθάνονται,
οὐδὲν ἧττον δ' ὡς οἶμαι τουτουῒ τοῦ Σκαιόλα, πῶς σὺ τὸν
τοῦ Ἀφρικανοῦ θάνατον ὑποφέρεις, καὶ τούτου δ' ἕνεκα μᾶλ-
λον ἐρωτῶσιν, ὅτι κατὰ τὰς ἔναγχος Νώνας εἰς τοὺς κήπους
Δεκίμου Βρούτου τοῦ οἰωνοσκόπου συνελθόντων ἡμῶν μελέ-
της χάριν, ὡς νενόμισται, αὐτὸς οὐ παρῆσθα, καίτοι πρὸς
ἐκείνην ἡμέραν καὶ τὴν λειτουργίαν ὡς ἐπιμελέστατα εἰωθὼς
8 ἀπαντᾶν. ΣΚΑΙΟΛΑΣ. Πλεῖστοι μέν, ὦ Λαίλιε, πυν-
θάνονται, ὡς εἶπε Φάννιος· ἀλλ' ἐγὼ τούτοις ἀποκρίνομαι,
ὅπερ καὶ παρεφυλαξάμην, σε μὲν ταύτην τὴν λύπην, ἣν ἐκ
τοῦ θανάτου ἀνδρὸς ἔλαβες μεγίστου καὶ προςφιλεστάτου,
μετρίως φέρειν· μὴ μέντοι παθεῖν τι οὐχ οἷόν τε γενέσθαι,
οὔτ' ἄλλως τῆς σῆς φιλανθρωπίας ἄξιον δοκεῖν. τοῦ δὲ μὴ
κατὰ τὰς Νώνας εἰς τὸν ἡμέτερον σύλλογον ἐλθεῖν αἰτίαν οὐ

Σὲ δὲ — φάσκουσιν] Expressit glossema *dicunt* in Codd. et plerisque Edd. omissum.

ἀλλ' ὡς — ἐπιφημίζειν] Verbo *ἐπιφημίζειν*, de quo cf. Schneider. et Passov. Lexx., non recte redditum est *appellare*, quod est *προςαγορεύειν — καλεῖν — ὀνομάζειν*.

κατὰ λοιπὴν Ἑλλάδα] *In reliqua Graecia*, Gernh. *in tota Graecia*, Beier. Orell. *in Graecia*.

7 *φασιν. Ἀθήνησι*] *φασιν* pro *φασι* exhibui. Buttmann. Gr. §. 103, 3. not. Gr. ampl, Vol. II. p. 275. Bornem. ad Xen. Mem. II, 9. praeferunt scripturam *Ἀθήνησι Θεοῦ*.

ὡς ἐπιμελέστατα εἰωθὼς ἀπαντᾶν] Omissum est *semper* a Beiero uncis inclusum. *Ἀπαντᾶν* aliaque verba in *ᾶν* sine iota subscripto exhibui.

οὐδὲν — Σκαιόλα] *Credo ex hoc item Scaevola;* Gernh. *credo item ex te, Scaevola;* Beier. et Orell. *credo item ex hoc [Scaevola]*.

8 *εἰς τὸν ἡμέτερον σύλλογον*] *In collegio nostro*, quod pleraeque Edd. etiam Orell. repraesentant; Gernh. et Beier. delent *nostro*.

*τὸ πένθος σχεῖν, ἀλλὰ τὴν τοῦ σώματος ἀνωμαλίαν. ΛΑΙ-
ΛΙΟΣ. Καλῶς μέν, ὦ Σκαιόλα, καὶ ἀληθῶς εἴρηταί σοι τοῦτο·
οὐδὲ γὰρ τοῦ καθήκοντος ἐκείνου, ὃ διὰ παντός, ὁπόταν ἐῤῥω-
μένος ἦν, ἐτήρησα, διὰ τὴν προςπεσοῦσαν ἐμοὶ συμφορὰν
ὤφειλον ὑστερεῖν· ἀλλ' οὐδὲ καθ' ὁποιανοῦν περίστασιν ἡγοῦ-
μαι συμβῆναι ἂν ἀνδρὶ εὐσταθεῖ ποιεῖσθαί τινα τοῦ καθή-
κοντος ἐγκοπήν. Σὺ δέ, Φάννιε, ὅτι τοσοῦτον ἀπονέμεσθαι* 9
*λέγεις ἐμοί, ὅσον οὔτ' αὐτὸς ἐπιγινώσκω οὔτ' ἀξιῶ, τὰ μὲν
φίλῳ πρέποντα ποιεῖς· οὐ μέντοι ὀρθῶς ἔμοιγε περὶ τοῦ Κά-
τωνος κρίνειν δοκεῖς. ἢ γὰρ οὐδεὶς πώποτε, ὃ καὶ μᾶλλον
πιστεύω, ἢ εἴτις ἦν ποτε, ἐκεῖνος μάλιστα γέγονε σοφός. Πῶς
γάρ (ἵνα τἄλλα παραλείπω) τὸν τοῦ παιδὸς ἤνεγκε θάνατον;
Μεμνημένος ἦν τοῦ Παύλου, τὸν Γάϊον ἑωράκειν, ἀλλ' οὗτοι
οὐδὲν ἦσαν πρὸς τὸν Κάτωνα, μέγιστον ἄνδρα τῷ ὄντι καὶ
λαμπρόν. Τοιγαροῦν ὅρα, μὴ τοῦ Κάτωνος κἂν αὐτὸν τοῦ-* 10
*τον προτιμῴης, ὅν, ὡς φῄς, ὁ θεὸς τῶν πάντων ἀπέφηνε σο-
φώτατον. καὶ γὰρ τούτου τὰ ἔργα, θατέρου δ' αὖ αἱ γνῶμαι
ἐπαίνου τυγχάνουσιν. Ἐμοῦ δὲ πέρι (ἵνα ἤδη πρὸς ἄμφω δια-
λέγωμαι) οὕτως ἔχετε.*

III. *Ἐὰν μὲν οὖν τῷ τοῦ Σκηπίωνος πόθῳ μὴ πλήττεσθαι ἔξαρνος ὦ, πῶς ἂν ὀρθῶς τοῦτο πάθοιμι, εἰδεῖεν αἱ σοφοί· ἐγὼ δὲ δηλαδὴ ψευσαίμην ἄν. Πλήττομαι γὰρ ἀτεχνῶς τοιούτου φίλου στερηθείς, οἷος οὐδεὶς ἐπίδοξός ἐστι γενήσεσθαι· ὡς δ' οὐκ ἐγένετό πω, κἂν δισχυρισαίμην. Πλὴν οὐκ ἰατρείας ἔχω χρείαν· παραμυθοῦμαι γὰρ αὐτὸς ἐμαυτόν, καὶ ταύτῃ χρώμενος μάλιστα τῇ παρηγορίᾳ, ὅτι τῆςδε τῆς πλάνης ἐξάντης εἰμί, δι' ἣν οἱ πλεῖστοι ἐπὶ τῷ θανάτῳ τῶν φίλων ἀδημονεῖν εἰώθασι. Καὶ γὰρ οὐδέν τι κακὸν προςπεσεῖν ἡγοῦ-*

τὴν τοῦ σώματος ἀνωμαλίαν] Vulg. *valetudinem*, Gernh. *invalitudinem.* Heliod. Aethiop. p. 340. hoc voc. sic usus est, usitatiora sunt *ἀῤῥωστία — ἀσθένεια.*

ὁπόταν ἐῤῥωμένος ἦν] *cum valerem:* ὁπότε est scribendum, cum ὅταν et ὁπόταν non apud bonos scriptores, sed posterioris Graecitatis cum Indicativo constructum reperiatur vd. Passov. Lex. s. ὅταν.

ὤφειλον ὑστερεῖν] *abduci — debui:* Aor. II. ὤφελον hac notione fere in usu est vd. Herm. ad Viger. p. 756 sq. Passov. Lex. s. ὀφείλω.

ὅτι τοσοῦτον πῶς] Textus latinus e regione interpretationis Graecae recte *qui* habet, sed Petavius videtur secutus lect. *quod*, minime damnandam vd. Beier. Pro πῶς corr. ὡς. 9

ἀλλ' οὗτοι — λαμπρόν] *Sed hi nec comparentur Catoni, maximo et spectato viro.* Lect. meliorem e Codd. receperunt optt. Edd. *Sed hi in pueris, Cato in perfecto et spectato viro.*

τυγχάνουσιν. Ἐμοῦ] *Τυγχάνουσιν* pr. τυγχάνουσι correxi ob seq. voc. 10

CAP. III. **εἰδεῖεν οἱ σοφοί**] *Viderint sapientes*, i. e. ἴδοιεν οἱ σοφοί,

μαι τῷ Σκηπίωνι· μᾶλλον δ' ἐμοὶ αὐτῷ ξυνέβη, εἴ τι καὶ ξυνέβη ποτέ. τὸ δ' ἐπὶ τοῖς αὐτοῦ δυςτυχήμασιν οὕτω δυςφορεῖσθαι οὐ τὸν φίλον, ἀλλ' ἑαυτὸν ἀγαπῶντος ἔργον ἐστί.
11 Τὰ δ' ἐκείνου τίς ἂν οὐκ ἐν καλῷ τεθεῖσθαι νομίζοι; Εἰ μὴ γὰρ τάχα που, ὅπερ οὐ διενοεῖτο, τὴν ἀθανασίαν δι' εὐχῆς ἔχειν ἠβούλετο· τίνος οὐκ ἐπέτυχεν, ὧν εὔξασθαι θέμις ἐστὶν ἀνθρώπῳ; ὅςτις τὴν μεγίστην ἐλπίδα τῶν πολιτῶν, ἣν αὐτοῦ πέρι παιδὸς ἔτι ὄντος εἶχον, αὐτίκα πάσης κρείττονι πίστεως ὑπερηκόντισεν ἀρετῇ· ὃς τὴν ὑπατείαν οὐ παρήγγειλε μὲν πώποτε, δὶς δ' ὕπατος ἀπεδείχθη· τὸ μὲν πρῶτον πρωϊαίτερον τοῦ νενομισμένου καιροῦ, δεύτερον δὲ ὡς πρὸς ἑαυτὸν ἐν ὥρᾳ, ἀλλ' ὡς πρὸς τὰ τῆς πόλεως πράγματα μικροῦ τοῦ δεόντος ὀψιαίτερον· ὃς δύο καταστρεψάμενος τῇ ἀρχῇ ἡμῶν ἐχθίστας πόλεις οὐ μόνον παρόντας, ἀλλὰ καὶ μέλλοντας ἄρδην ἀνεῖλε τοὺς πολέμους. Τί ἂν εἴποιμι περὶ τοῦ λίαν ἁπλοϊκοῦ καὶ ἀφελοῦς τῶν τρόπων, ἢ περὶ τῆς εἰς μητέρα στοργῆς, ἢ περὶ τοῦ ἐλευθερίου εἰς τὰς ἀδελφάς, καὶ τοῦ χρηστοῦ καὶ προςηνοῦς εἰς τοὺς οἰκείους καὶ τοῦ πρὸς ἅπαντας δικαίου; Ἀλλὰ τάδε γνώριμα μέν ἐστιν ὑμῖν· ἡλίκην δὲ πρὸς αὐτὸν ἀγάπην εἶχεν ἡ πόλις, τὸ κατὰ τὴν κηδείαν πένθος ἔδειξε. Τί τοίνυν ἐκεῖνος ὄνασθαι τῆς ὀλίγων ἐνιαυτῶν προσθήκης ἠδύνατο; Τὸ γὰρ γῆρας, εἰ καὶ βαρὺ οὐκ ἔστι, καθάπερ τὸν Κάτωνα μέμνημαι ἔτει πρότερον ἢ ἀπέθανεν ἐνὶ πρὸς ἐμέ τε καὶ τὸν Σκηπίωνα διαλέξασθαι· ἀλλ' ὅμως ἐκεῖνό, ἃ καὶ τότε προςῆν ἔτι τῷ Σκη-
12 πίωνι, τὸ χλωρὸν καὶ ἀκμαῖον ἀφαιρεῖ. Τοιγαροῦν ὁ μὲν βίος αὐτοῦ τοιοῦτος ἥ τε τύχη καὶ τὸ κλέος γεγένηται, οἷα μηδεμίαν δέξασθαι προςαγωγήν· τὴν δὲ τοῦ θανάτου αἴσθησιν τὸ ταχὺ καὶ ἀκαριαῖον ἔκλεψιν. ὁποῖος δ' ἄρα τουτουῒ τοῦ θανάτου τρόπος ὑπῆρξεν, ἔργον ἐστὶν εἰπεῖν· ὅ,τι δ' αὖ δι' ὑποψίας ἔχουσιν οἱ ἄνθρωποι, ὑμεῖς ὁρᾶτε. Τοῦτο μέντοι ἐπ' ἀληθείας λέγειν ἔξεστιν, ὅτι Ποπλίῳ Σκηπίωνι ἐκ τῶν πολλῶν ἡμερῶν, ἃς παρὰ πάντα τὸν βίον ἐπιφανεστάτας καὶ ποθεινοτάτας εἶδεν, ἐπισημοτάτη ἀνέτειλεν ἐκείνη, καθ' ἣν τῆς βουλῆς

---

11 καταστρεψάμενος — τρόπων] Non recte redditum est *de moribus facillimis: facilis* i. q. εὔκολος, *facilitas morum* i. q. εὐκολία τῶν τρόπων — εὐπροςηγορία — φιλοπροςηγορία. Rectius κατατρέψας.
Ἀλλὰ τάδε γνώριμα] *Haec nota sunt vobis:* optt. Edd. *Nota sunt vobis.*
εἰ καὶ βαρὺ οὐκ ἔστι] Corr. μή. De εἰ — οὐ vd. Pflugk. ad Eurip. Med. v. 88. Bernhardy wiss. Syntax p. 386.
διαλέξασθαι] Διαλεχθῆναι erat dicendum: διαλέξασθαι ap. Homer. i. q. *reputare*, *perpendere* vd. Buttm. Lexil. Vol. II. p. 90., apud Memn. in Phot. Myriob. p. 237. Polyaen. III, 9. 40. i. q. *colloqui*, vd. Poppon. de Graec. verb. med. etc. in Seebod. Archiv. 1829. nr. 59. p. 234. Sic infra Cap. 5, 17. διαλέξονται hac significatione exstat.

*ἀφεθείσης ὑπό τε τῶν συγκλητικῶν πατέρων καὶ τοῦ παντὸς
Ῥωμαίων δήμου τῶν τε συμμάχων καὶ τῶν Λατίνων τῇ προ-
τεραίᾳ τῆς τελευτῆς οἴκαδε προεπέμπετο περὶ δείλην ὀψίαν,
ὥςτε ἀφ᾽ οὕτως ὑψηλοῦ τῆς τιμῆς βαθμοῦ εἰς οὐρανὸν μᾶλ-
λον δοκεῖν ἢ εἰς ᾅδου μετασταθῆναι.*

IV. *Οὐ γάρ ἔγωγε τούτοις συγκαθείμην ἄν, οἳ τὰ τοιαῦτα* 13
*ἔναγχος ἤρξαντο διαθρυλλεῖν, ὅτι αὐταῖς ταῖς ψυχαῖς ἀποθνή-
σκει τὰ σώματα καὶ ὡς ἅπαντα συναφανίζεται τῷ θανάτῳ.
Ἀμέλει πλέον παρ᾽ ἐμοὶ δύναται ἡ τῶν παλαιῶν αὐθεντία, εἴτε
τῶν ἡμετέρων προγόνων, οἵτινες οὕτω σεμνὰ τὰ ὅσια τοῖς νε-
κροῖς ἀπένειμαν, οὐκ ἂν τοῦτο ποιήσαντες, εἰ μηδὲν αὐτοῖς
προςήκειν ᾤοντο· εἴτε τῶν χώραν τήνδε πάλαι κατασχόντων
καὶ τὴν μεγάλην λεγομένην Ἑλλάδα (τὴν νυνὶ μὲν ἀνάστατον
γεγενημένην, τηνικαῦτα δ᾽ ἀκμάζουσαν) τοῖς σφῶν διδάγμασι
καὶ παραγγέλμασι καταρτισάντων· εἴτ᾽ ἐκείνου, ὃν ἀνεῖλεν ὁ
θεὸς τῶν πάντων εἶναι σοφώτατον, ὃς οὐχὶ τοτὲ μὲν τοῦτο,
τοτὲ δ᾽ ἄλλο, ὡς τὰ πολλά, τὸ δ᾽ αὐτὸ ἔλεγεν ἀεί, θείας εἶναι
τὰς τῶν ἀνθρώπων ψυχὰς καὶ ταύταις μετὰ τὸ τοῦ σώματος
ἀπαλλαγῆναι τὴν εἰς οὐρανὸν ἐπάνοδον ἀναπεπτάσθαι καὶ τὴν
αὐτὴν ἑνὶ ἑκάστῳ τῶν ἄριστα καὶ δικαιότατα βεβιωκότων εὐχε-
ρεστάτην οὖσαν. Ὅπερ καὶ τῷ Σκηπίωνι ξυνεδόκει, ὅςτις οἱο-* 14
*νεὶ προμαντευόμενος πρὸ ὀλίγων πάνυ τοῦ θανάτου ἡμερῶν,
τοῦ τε Φίλου καὶ Μανιλίου καὶ πολλῶν ἑτέρων παρόντων καὶ
ἀμφοῖν ἡμῶν, ὦ Σκαιόλα, παραγενομένων, τρεῖς ὅλας ἡμέ-
ρας περὶ τῆς πολιτείας διελέχθη. καὶ αὕτη σχεδὸν ἡ διατριβὴ
εἰς τὸν περὶ τῆς τῶν ψυχῶν ἀθανασίας λόγον ἐτελεύτησε· καθὰ
νύκτωρ ἀναπαυόμενος ἔφη κατ᾽ ὄναρ ἀκηκοέναι λέγοντος Ἀφρι-
κανοῦ. Εἰ μὲν δὴ οὕτως ἔχει τὸ πρᾶγμα, ὡς τῶν ἀρίστων
ἑκάστου τὴν ψυχὴν ἐν τῷ θανάτῳ ῥᾷστα οἷον ἐκ φυλακῆς καὶ
δεσμῶν τοῦ σώματος ἀφίπτασθαι· τίνι ποτ᾽ εὐκολωτέραν
ἡγησόμεθα γενέσθαι ἢ τῷ Σκηπίωνι τὴν πρὸς τοὺς θεοὺς
ἀναδρομήν; Οὐκοῦν τοιαύτῃ τῇ συντυχίᾳ τἀνδρὸς ἐποδύρε-
σθαι δέδοικα μὴ φθονοῦντος μᾶλλον ἢ φιλοῦντος εἴη. Εἰ
δ᾽ αὖ τῆς ἀληθείας ἔχεται μᾶλλον τὸ τῶν τε ψυχῶν καὶ τῶν*

καὶ—προεπέμπετο] Expressa est lectio *populo Romano, sociis et Latinis* in plerisq. Edd. vd. Beier. Orell.; *populi Romani sociis* Gernh. Pro *προεπέμπετο* scribendum erat *προὐπέμφθη* i. e. *reductus est.* 12

Cap. IV. *συγκαθείμην*] Quum ap. Cic. sit *assentior*, Petavius aut minus recte *συγκαθίεσθαι* pro *συγκατατίθεσθαι* usurpavit, aut *συγκαθείμην* est mendum typographicum pro *συγκαταθείμην*. 13

ἤρξαντο διαθρυλλεῖν] *Disserere* ap. Cic. i. q. *διαλέγεσθαι—διαλογίζεσθαι.* Pro Infinitivo erat ponendum Partic.

ὡς τὰ πολλά] *Ut in plerisque* Beier. Orell. *ut plerique* Gernh.

τοτέ—ἔλεγεν ἀεί] *Dicebat* omis. Beier. Orell.; Petav. bis *τότε*.

σωμάτων ἕνα φάναι καὶ τὸν αὐτὸν ὄλεθρον εἶναι καὶ μηδεμίαν
παραμένειν αἴσθησιν· ἀκόλουθόν ἐστιν, ὥςπερ μηδὲν ἀγαθὸν
τῷ θανάτῳ, οὕτω καὶ κακὸν προςεῖναι μηδέν. Τῆς γὰρ αἰ-
σθήσεως ἀνῃρημένης παραπλήσιόν τι γίνεται, ὡςανεὶ ἁπλῶς
οὐκ ἐγεννήθη ποτέ· καίτοι γεννηθῆναι ἡμεῖς τε χαίρομεν ἐκεῖ-
15 νον ἥ τε πόλις, μέχρις οὗ ἂν περιέσται, χαρήσεται. Τού-
των δὴ ἕνεκα τὰ μὲν κατ' αὐτόν, καθάπερ ἔφην, ὡς βέλτιστα
διατέθειται· τὰ δὲ κατ' ἐμὲ ἀτοπώτερόν πως, ὃν εὐλογώτερον
ἦν δήπου εἰς τὸν βίον παρελθόντα πρότερον καὶ τούτου πρό-
τερον ἀπελθεῖν. Ὅμως μέντοι τῆς ἡμετέρας φιλίας οὕτως ἀπο-
λαύω, ὡς εὐδαιμόνως ζῆσαι δοκεῖν, ὅτι τῷ Σκηπίωνι συνέ-
ζησα, πρὸς ὃν ἐγὼ τὰς ὑπὲρ τῶν πολιτικῶν καὶ τῶν ἰδίων
πραγμάτων φροντίδας ἐμεριζόμην, καὶ τῆς οἰκίας αὐτῷ καὶ
στρατείας ἐκοινώνουν, καὶ ὃ πᾶσαν συνέχει τὴν τῆς φιλίας δύ-
ναμιν θαυμαστή τις ἀλλήλων μεταξὺ τῶν θελημάτων καὶ ἐπι-
τηδευμάτων καὶ γνωμῶν ἡ συμφωνία προςῆν. Τούτου δὴ χά-
ριν οὐ τοσοῦτον αὕτη ἐμὲ τῆς σοφίας ἡ φήμη, ἣν ἄρτι ὁ Φάν-
νιος ἔλεγεν, εὐφραίνει, καὶ ταῦτα ψευδὴς οὖσα, ὅσον ἀείμνη-
στον ἐλπίζειν ἔσεσθαι τὴν ἡμετέραν φιλίαν, ὃ καὶ ἐμοὶ παρὰ
τοῦτο μᾶλλον καταθύμιον ὑπάρχει, ὅτι ἐξ ἁπάντων αἰώνων
μόλις τρία ζεύγη ἢ τέσσαρά που τῶν φίλων ἀπομνημονεύον-
ται· καθὸ δηλονότι καὶ τὴν τοῦ Σκηπίωνος καὶ Λαιλίου φι-
λίαν ἐλπίζειν ἔπεισί μοι γνωρίμην ἂν τοῖς ὕστερον γενέσθαι.
16 ΦΑΝΝΙΟΣ. Τοῦτο μέν, ὦ Λαίλιε, ἀναγκαῖον οὕτως ἔχειν·
ἐπειδὴ δὲ περὶ τῆς φιλίας ἐμνήσθης καὶ ἄλλως δὲ σχολὴν ἄγο-
μεν, κεχαρισμένον ἐμοὶ μάλα τι ποιήσεις, ὡς δ' ἐλπίζω καὶ
τουτῳῒ τῷ Σκαιόλᾳ, εἰ, καθάπερ περὶ τῶν λοιπῶν εἴωθας,
περὶ ὧν ἄν σέ τις ἀνερωτᾷ, οὕτω καὶ περὶ τῆς φιλίας λέγειν
ἐθελήσειας, ὅπως τε φρονεῖς, καὶ ὁποίαν γνώμην ἔχεις, καὶ
εἴ τι καὶ ἐπιτάττειν ἀξιοῖς. ΣΚΑΙΟΛΑΣ. Ἀλλ' ἔμοιγε ἥδι-
στον ἂν εἴη τοῦτο· κἀμοῦ δὲ περὶ τῶν αὐτῶν μέλλοντός σοι
λόγον προςφέρειν, ἔφθασεν ὁ Φάννιος. Οὐκοῦν ἀμφοτέ-
ροις ἡμῖν εὖ μάλα χαριῇ.
17 V. ΛΑΙΛΙΟΣ. Ἀλλ' οὐκ ἂν τὸ πείθεσθαι ὑμῖν ἐβα-
ρυνόμην, εἰ ἐπεποίθειν ἐμαυτῷ. Καὶ γὰρ ἄξιόν τέ ἐστι τὸ
πρᾶγμα καὶ ἡμεῖς γε, ὡς ὁ Φάννιος εἶπε, σχολάζομεν.
Ἀλλὰ τίς εἰμι ἔγωγε; ἢ τίς τοῦ λόγου δύναμις ἔνεστιν ἐμοί;
Τῶν λογίων ἔθος ἐστὶ τοῦτο, μάλιστα δ' Ἑλλήνων, ὡς προ-
τίθεσθαι αὐτοσχεδίως ὁτιοῦν αὐτοῖς, περὶ οὗ αὐτοσχεδιά-
ζοντες μάλα διαλέξονται. Μέγα δὴ ἔργον τοῦτο καὶ οὐκ

---

14 χαρήσεται] Χαιρήσω apud Atticos in usu. Vd. Matth. Gr. Vol. I. §. 255.

15 ζῆσαι — συνέζησα] Attici Aor. II. verb. βιοῦν usurpant. γνωρίμην] Corr. γνώριμον pro mendoso γνωρίμην.

ὀλίγης ἀσκήσεως δεόμενον. Ὅσα τοίνυν περὶ τῆς φιλίας λέγεσθαι οἷά τέ ἐστι, παρὰ τῶν ἐπαγγελλομένων τὰ τοιαῦτα αἰτητέον ὑμῖν. ἐγὼ δὲ παρακελεύεσθαι μόνον ὑμῖν δύναμαι εἰς τὸ πάντων τῶν ἀνθρωπίνων φιλίαν προτιμᾶν· οὐδὲν γὰρ οὕτως ἁρμόζον ἐστὶ τῇ φύσει, οὔτ' ἐπιτήδειον οὕτω εἴτε πρὸς τὰς τοῦ βίου εὐπραξίας εἴτ' οὖν κακοπραξίας. Ἀλλὰ τὸ μὲν 18
πρῶτον οὕτω φρονῶ, οὐκ ἄλλως ἢ μεταξὺ τῶν ἀγαθῶν τὴν φιλίαν εἶναι δύνασθαι· οὐδὲ ταῦτά μοι πρὸς ἀκρίβειαν ἐξετάζειν πρόκειται νῦν, καθάπερ τοῖς περὶ τῶνδε λεπτολογεῖν ἐπιβαλομένοις, τάχα μὲν ἀληθῶς, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον οὐχ ἱκανῶς. οὐδένα γὰρ ἄνδρα φασὶν ἀγαθὸν εἶναι εἰ μὴ σοφόν. Ἔστω δὴ οὕτως· ἀλλ' ἐκείνην νοοῦσι τὴν σοφίαν, ἧς οὐδείς πω θνητὸς ἐπέτυχεν· ἡμεῖς δὲ τὰ ἐν χρήσει κοινῇ καὶ βίῳ ἐπιπολάζοντα, οὐ τὰ ὀνειροπολούμενα καὶ δι' εὐχῆς ὄντα μόνης ἐλπίζειν ὀφείλομεν. Ἀμέλει οὐκ ἐγώ ποτε Γάϊον Φαβρίκιον καὶ Μάνιον Κούριον καὶ Τίτον Κορουγκανόν, τοὺς ὑπὸ τῶν ἡμετέρων προγόνων ἐπικριθέντας σοφούς, ὡς πρὸς τὸν ἐκείνων κανόνα φαίην ἂν σοφοὺς ὑπάρξαι. Οὐκοῦν αὐτοὶ ἑαυτοῖς ἐχέτωσαν τὸ ἐπίφθονον τόδε καὶ ἄσημον ὄνομα τῆς σοφίας· κἀκείνους ἡμῖν συγχωρείτωσαν ἄνδρας ἀγαθοὺς γενέσθαι. Ἀλλ' οὐ τοῦτο δοῖεν ἄν· ἀρνήσονται δὲ μὴ ἑτέρῳ μηδενὶ πλὴν τοῦ σοφοῦ παραχωρεῖσθαι δεῖν. Τούτου γοῦν πέρι ἐν τύπῳ διορίσωμεν. Τοὺς δ' οὕτως ἀναστρεφομένους καὶ 19
βιοῦντας, ὡς τὴν πίστιν αὐτῶν καὶ καλοκἀγαθίαν καὶ εὐγνωμοσύνην καὶ ἐλευθερίαν ὑπὸ πάντων δοκιμάζεσθαι, μηδεμίαν τ' αὖ ἐκείνων ἐπιθυμίαν ἢ ἀκολασίαν ἢ θρασύτητα καταγνωσθῆναι, προςεῖναι δ' οὐχ ἥκιστα καὶ τὸ τῶν τρόπων εὐσταθές, οἷοί περ ἦσαν οἱ μικρῷ πρότερον ὀνομασθέντες· τούτους ἄντικρυς ἀγαθοὺς ἄνδρας, ὡς τότε διεφημίζοντο, καὶ δὴ χρῆναι λέγειν ὁμολογῶμεν, ἐπειδή, καθόσον ἀνθρώπῳ δυνατόν, τῇ φύσει παρακολουθοῦσι, βελτίστῃ βίου τοῦ ὀρθῶς ἔχοντος ἡγεμόνι. Ὧδε γάρ πως κατανοεῖν μοι δοκῶ, οὕτως

CAP. V. *κακοπραξίας*] Non est vocabulum Graecum, sed *κακοπραγία*: at *εὐπραγία* et *εὐπραξία* in usu sunt. Supra Petav. *ὅ, τι οὖν*. 17
ἐλπίζειν ὀφείλομεν] *Sperare* lect. deterior pro vulg. *spectare*. 18
Τίτον Κορουγκανόν] Secutus est scripturam malam *Coruncanum* pro *Coruncanium* vd. annotat. mea ad Caton. Mai. Cap. 6.
Τούτου — διορίσωμεν] Non expressa sunt verba *ut aiunt*, quae Beierus, quum in Cod. Oxon. *η* et Lips. *α*. omittantur, uncis inclusit. Recte Petavius interpretatus est verba *agamus pingui Minerva ἐν τύπῳ διορίσωμεν* (vd. de locutionibus *ἐν τύπῳ εἰπεῖν* Ast. ad Plat. Polit. p. 473. *λέγειν* etc Steph. Thes. L. Gr. T. IV. p. 1691.); nam h. l. *pingui Minerva* interprete Gernhardo est non subtili ac spinosa disputatione, sed ad vulgarem opinionem et populari oratione.
δοκῶ] Correxi pro *δωκῶ*. 19

ΜΑΡΚΟΥ ΤΟΥΛΛΙΟΥ ΤΟΥ ΚΙΚΕΡΩΝΟΣ

Λ Α Ι Λ Ι Ο Σ

Η ΠΕΡΙ ΦΙΛΙΑΣ

ΠΡΟΣ

ΤΙΤΟΝ ΠΟΜΠΩΝΙΟΝ ΤΟΝ ΑΤΤΙΚΟΝ.

Δ Ι Α Λ Ο Γ Ο Σ.

ΦΑΝΝΙΟΣ. ΣΚΑΙΟΛΑΣ. ΛΑΙΛΙΟΣ.

I. Κοΐντος Μούτιος Σκαιόλας ὁ οἰωνοσκόπος περὶ Γαΐου 1
Λαιλίου τοῦ ἑαυτοῦ πενθεροῦ πολλὰ μὲν εἰώθει καὶ μάλα ἡδέως
ἀπομνημονεύειν, οὐδ' ἐκεῖνον ὀκνεῖν ἐπὶ παντὸς λόγου σοφὸν
ὀνομάζειν. Ἐγὼ δὲ τῷ Σκαιόλᾳ προσαχθεὶς ὑπὸ τοῦ ἐμοῦ πα-
τρὸς μετὰ τὸ τὴν ἀνδρικὴν ἀμφιέσασθαι τήβεννον οὕτως
ἀπρὶξ εἰχόμην τοῦ πρεσβύτου, ὡς μηδέποτ' αὐτοῦ, καθόσον
οἷός τε ἤμην καὶ ἐξῆν, ἀποχωρεῖν. Τοιγαροῦν πάμπολλα φρο-
νίμως ὑπ' αὐτοῦ διειλημμένα, οὐκ ὀλίγα δὲ διὰ βραχέων καὶ
εὐχρήστως εἰρημένα εἰς μνήμην κατατιθέμενος τῆς ἐκείνου φρο-
νήσεως εἰς παιδείαν ὄνασθαι προὐθυμούμην. Οὗ δὴ ἀποθα-
νόντος, πρὸς τὸν ἀρχιερέα Σκαιόλαν μεταβὰς τούτῳ ἐμαυ-
τὸν ἐπέδωκα, ὃν ἔγωγε καθ' ἡμετέραν πόλιν ἕνα μάλιστα τῇ
τε ἀγχινοίᾳ καὶ τῇ δικαιοσύνῃ διενηνοχότα θαῤῥῶν ἂν ἀποφη-
ναίμην. Ἀλλὰ τούτων πέρι ἄλλοτε λεχθήσεται· νῦν δὲ πρὸς
τὸν οἰωνοσκόπον ἐπανιτέον ἐμοί. Οὗτος τοίνυν, ὡς ἑκάστοτε
πολλὰ διηγεῖτο, καὶ δὴ μέμνημαι, ὅπως οἴκοι ποτ' ἐφ' ἡμι- 2

Cap. I. *Μούτιος Σκαιόλας*] *Scaevola* ap. Cic. auctoritate optimorum Codd. omis. Graev. Facc. Ern. Gernh. Beier. Orell. Pro *Μούτιος* his hoc Cap. et *Μοίτιε* Cap. 27. scribendum *Μούκιος* — *Μούκιε*, quae est scriptura huius nominis Dion. Cass. XLV, 32. Cf. annot. meam ad Parad. I, 12. 1

μετὰ — τήβεννον] *Toga virilis* a Dion. Cass. XLV, 2. ἀνδρικὴ ἐσθής (ἐνδῦναι τὴν ἀνδρικὴν ἐσθῆτα — ἡ ἔνδυσις τοῦ ἀνδρικοῦ χιτῶνος), a Plutarch. (vd. Bud. Comm. s. v.) ἀνδρεῖον ἱμάτιον vocatur. Appian. Civ. IV, 30. *togam virilem sumere* dicit περιτίθεσθαι τὴν τῶν τελείων στολήν. De v. τήβεννος vd. Müller. Etrusker. P. I. p. 261. sq.

ὡς ἑκάστοτε πολλὰ διηγεῖτο] Petavius secutus est lectionem *quum saepe multa narraret; narraret* optt. Codd. et Edd. eiecerunt.

ἐφ' ἡμικύκλιον] Lectioni *hemicyclo* a Petav. expressae praeferenda est *hemicyclio* optt. Codd. et Edd. Ἡμικύκλιον Plutarch. 2

κύκλου, ὡς ἔθος εἶχε, καθεζόμενος, ἐμοῦ σὺν ὀλίγοις κομιδῆ
τῶν οἰκείων αὐτῷ παρόντος, εἰς τοιοῦτον τάχα τινά, ὃς καὶ πολ-
λοῖς τηνικαῦτα διὰ στόματος ἦν, τὸν λόγον ἐνέπεσε. Μέμνησαι
γάρ, οἶμαι, ὦ Ἀττικέ, καὶ τοσούτῳ πλέον, ὅσῳ Ποπλίῳ Σουλπι-
κίῳ πλεῖστα χρώμενος ἐτύγχανες, ἡνίκα δήμαρχος ὢν ἐκεῖνος
μετ᾽ ἰσχυρᾶς καὶ ἀκράτου τινὸς ἀπεχθείας πρὸς Κοΐντον Πομ-
πήϊον ὑπατεύοντα τότε διεφέρετο, καίτοι ὡς οἰκειότατα καὶ
φίλτατα τέως αὐτῷ συμβεβιωκώς, ἡλίκη ἐπὶ τῷδε τῶν ἀνθρώ-
3 πων ἔκπληξις καὶ ἀγανάκτησις ἐγένετο. Οὐκοῦν εἰς τῶν τοιού-
των μνείαν τότε ὑπενεχθεὶς ὁ Σκαιόλας λόγον ἡμῖν ἐξέθετό
τινα περὶ τῆς φιλίας, ὃν ὅγε Λαίλιος πρώην εἰρήκει κοινολο-
γούμενος ἑαυτῷ τε καὶ ἑτέρῳ γαμβρῷ Γαΐῳ Φαννίῳ τῷ Μάρ-
κου, οὐ πρὸ πολλῶν ἡμερῶν ἤδη ἀποθανόντος Ἀφρικανοῦ.
Ταύτης ἔγωγε τῆς ὁμιλίας τὰ κεφάλαια εἰς τόδε τὸ βιβλίον ἐγκα-
τεθέμην· ἀλλ᾽ ὃν τρόπον βέλτιον ἔχειν ἔδοξέ μοι. Καὶ γὰρ
ἐκείνους οἱονεὶ πρὸς ἀλλήλους αὐτοπροσώπως διαλεγομένους
παρήγαγον εἰς μέσον, ἵνα μὴ τόδε ἦν δ᾽ ἐγώ, ἢ τὸ ἦ δ᾽ ὅς
παρεμβάλλειν πολλάκις ἀναγκασθείην. καὶ τούτου δ᾽ ἕνεκεν
οὕτως ἐποίησα, ὅπως οἷα δὴ παρόντες ἔμπροσθεν εἰς λόγους
4 ἐλθεῖν δοκῶσι. Ἐπειδὴ γὰρ πολλάκις, ὦ Ἀττικέ, ἐδεήθης
ἐμοῦ περὶ τῆς φιλίας συγγράψασθαι, αὐτὸ δὴ τὸ πρᾶγμα τῆς
θ᾽ ἁπάντων γνώσεως καὶ τῆς ἡμετέρας φιλίας οὐκ ἀνάξιον ἐφαί-
νετο. Καὶ δῆτα τοιούτῳ τινὶ οὐκ ἄκων ἐνεχείρησα, ἐφ᾽ ᾧ
ταύτην ἐκ τῆς σῆς παρακλήσεως ἀφορμὴν ἔχων ὅτι πλείστους
ὠφελεῖν. Ἀλλ᾽ ὥσπερ ἐν Κάτωνι τῷ μείζονι, ὃ δὴ σύνταγμά
σοι περὶ γήρως ἐπεγραψάμην, διαλεγόμενον εἰςῆγον Κάτωνα
πρεσβύτην ἄνδρα, ἐπειδὴ οὐδὲν ἐδόκει μοι πρόσωπον ἀξιόχρεων
εἶναι μᾶλλον ἐκείνης περὶ τῆς ἡλικίας λόγον ποιεῖσθαι, ἢ τοῦ
πλεῖστον ἤδη ἐν τῷ γήρᾳ διατελέσαντος χρόνον καὶ τούτῳ δὲ
μάλιστα παρὰ τοὺς λοιποὺς ἀκμάσαντος· παραπλησίως δὴ ἄρα
καὶ ἡμῖν παρὰ τῶν πατέρων ἀκηκοόσιν ὀνομαστὴν καὶ διαβόη-
τον οὐχ ἥκιστα γενέσθαι τὴν Γαΐου Λαιλίου καὶ Ποπλίου Σκη-
πίωνος φιλίαν ἐπιτήδειον ἐφάνη τοῦ Λαιλίου τὸ πρόσωπον εἰς
τὸ περὶ φιλίας τὰ αὐτὰ διαλέγεσθαι, ἃ ὑπ᾽ ἐκείνου πάλαι διει-
5 λημμένα ὁ ἐμὸς ἐμέμνητο καθηγητὴς Σκαιόλας. Τῷ μὲν οὖν

Nic. 12. Alcib. 17. ibiq. Bähr. Pro ἐφ᾽ ἡμικύκλου rectius dixisset ἐν ἡμικύκλῳ vd. Nic. l. l.

Μέμνησαι γάρ, οἶμαι] Expressa est lectio *Meministi enim profecto, ut opinor:* verba *ut opinor* in optt. Edd. ut glossema deleta sunt.

4 ὁ ἐμὸς — καθηγητὴς Σκαιόλας] Glossema *magister meus* optt. Edd. deleverunt. Καθηγητής proprie *dux*, apud scriptores Christianos i. q. *praeceptor — magister.*

5 Τῷ μὲν — ἐπιπολάζειν] Cicer. verba non commode reddita sunt: *Genus autem hoc sermonum — plus nescio quo pacto videtur habere gravitatis.* Ἐπιπολάζω 1) in superficie esse, innatare.

τοιούτῳ τῶν λόγων εἴδει ἐκ τοῦ παλαιῶν ἀνδρῶν καὶ ἐπιφανῶν ἀξιώματος ὁρμωμένῳ οὐκ οἶδ' ὅπως πλέον τι φαίνεται σεμνότητος ἐπιπολάζειν. Οὐκοῦν τἀμὰ ἐπιλεγόμενος αὐτὸς οὕτως ἔστιν ὅτε διατίθεμαι, ὡς τὸν Κάτωνα, οὐκ ἐμὲ λέγειν ὑπολαμβάνειν. Ἀλλὰ καθάπερ τότε γέρων πρὸς γέροντα περὶ τοῦ γήρως, οὕτως ἐν ταύτῃ τῇ βίβλῳ πρὸς φίλον ἄνδρα φίλος μάλιστα περὶ φιλίας ἔγραψα. Καὶ τηνικαῦτα μὲν εἶπεν ὁ Κάτων, οὗ κατ' ἐκεῖνον τὸν καιρὸν οὐδεὶς πρεσβύτερος οὔτε μὴν φρονιμώτερος ἦν· τὸ δὲ νῦν ὁ Λαίλιος καὶ σοφός (τοιοῦτος γὰρ ἐνομίζετο) καὶ τῇ τῆς φιλίας δόξῃ ὑπέρλαμπρος ὢν περὶ τῆς φιλίας διαλέγεται. Ἐγὼ δέ σε μικρόν τι τέως ἐμοῦ τὴν διάνοιαν ἀποστρέφειν ἀξιῶ καὶ αὐτὸν λέγειν οἴεσθαι τὸν Λαίλιον. Ὁ γοῦν Φάννιος καὶ Κόϊντος Μούτιος πρὸς τὸν ἑαυτῶν πενθερὸν ἔρχονται μετὰ τὸν τοῦ Σκηπίωνος θάνατον· ἀπὸ τούτων ὁ λόγος ἄρχεται, ἀποκρίνεται ὁ Λαίλιος, οὗ πᾶσά ἐστι περὶ τῆς φιλίας ἡ διάλεξις, ἣν σὺ ἀναγινώσκων ἂν ἐπιγνοίης.

II. *ΦΑΝΝΙΟΣ. Ἀληθῆ δὴ ταῦτα λέγεις, ὦ Λαίλιε·* 6
οὐδὲ γὰρ Ἀφρικανοῦ βελτίων τις ἀνὴρ ἐγένετο πώποτε οὔτ' οὖν ἐπικυδέστερος· πλὴν οὕτω πεπεῖσθαί σε χρή, ὅτι πάντες εἰς σὲ λοιπὸν ὁρῶσι, μόνον τε σοφὸν καὶ ὀνομάζουσιν καὶ ὑπάρχειν οἴονταί σε. Καὶ δὴ Μάρκῳ Κάτωνι τοῦτο πρώην ἀπενενέμητο· καὶ Λεύκιον δὲ τὸν Ἀτίλιον οἴδαμεν παρὰ τοῖς ἡμετέροις πατράσι κληθῆναι σοφόν· ἀλλ' ἑκάτερος ἄλλως πως τοιούτου ἐπέτυχε τοῦ ὀνόματος. ὁ μὲν Ἀτίλιος, ὅτι δόξαν εἶχε τῆς ἐν τοῖς πολιτικοῖς νόμοις φρονήσεως· ὁ δὲ Κάτων, ὅτι ἐκ τῆς πολλῶν τῶν πραγμάτων τριβῆς ἐμπειρίαν ἐκέκτητο, καὶ συχνὰ

---

2) Multum — frequentem esse, invalescere, imminere. 3) Efferri, ferocire c. Dativ. vd. Steph. Thes. Schneider. Lexic. s. v. Dici poterat *τὸ μὲν τοιοῦτο τῶν λόγων εἶδος ἀνηρτημένον ἐκ — πλέον τι φαίνεται σεμνότητος ἔχειν.*

ἐπιλεγόμενος] Apud Herodotum hoc verbum significat *legere*, pro quo Attici *ἀναγιγνώσκειν* ponunt, quo infra usus est Petavius. Schweighaeus. Lex. Herodot. P. I. p. 259. *Ἀναλέγομαι* hac significatione laudat e Galeno et Luciano Steph. Thes. s. v.

ἣν — ἐπιγνοίης] Secutus est Petav. lect. *quam legens tu ipse cognosces*: optt. Edd. *tu te ipsum cognosces.*

Cap. II. *Ἀληθῆ δὴ ταῦτα λέγεις*] Secutus est Petavius lect. *Sunt ista vera, ut dicis*, at vulgo recte *Sunt ista* (*ἔστι ταῦτα* ap. Plat.). 6

οὔτ' οὖν] *Οὖν* abesse potest, nam ap. Cic. tantum *nec* exstat.

ὅτι — ὁρῶσι] Cum expressa sit lectio *omnium oculos in te esse coniectos*, nescio quid sibi velit *λοιπόν*. Gernhardus: *omnium oculos nunc in te esse coniectos*; rectius Beierus: *omnium in te oculos esse coniectos unum.*

οἴδαμεν — κληθῆναι] Reperitur pro forma usitatiore *ἴσμεν* apud Herodot. II, 17. Plat. Alcib. II. p. 141. E. St. vd. Matth. Gr. Gr. Vol. I. p. 450. Pro *κληθῆναι* Participium *κληθέντα* erat ponendum vd. Matth. Gr. Vol. II. §. 548. 2.

δ' ὑπ' αὐτοῦ ἔν τε τῇ συγκλήτῳ καὶ κατ' ἀγορὰν ἢ συνετῶς
προνενοημένα ἢ στεῤῥῶς πεπολιτευμένα ἢ μετὰ δριμύτητος
εἰρημένα ἐν ταῖς ἀποκρίσεσιν ἐφέρετο· ἀνθ' ὧν ἤδη αὐτῷ εἰς
γῆρας ἐληλακότι ἡ τοῦ σοφοῦ οἷον ἐπωνυμία περιετέθη. Σὲ
δὲ ἅπαντες καθ' ἕτερόν τινα τρόπον φάσκουσιν οὐ μόνον τῇ
φύσει καὶ τοῖς ἤθεσιν, ἀλλὰ καὶ τῇ περὶ τοὺς λόγους σπουδῇ
καὶ παιδείᾳ σοφὸν ὑπάρχειν· καὶ οὐχ ὥςπερ οἱ πολλοί, ἀλλ' ὡς
οἱ λόγιοι σοφὸν εἰώθασιν ἐπιφημίζειν, οἷον οὐδένα πω κατὰ
7 λοιπὴν Ἑλλάδα. Τοὺς γὰρ ἑπτὰ λεγομένους οἱ περὶ τῶν τοιούτων
ἀκριβέστερον ἐπιζητοῦντες τοῖς σοφοῖς ἐναριθμεῖσθαι δεῖν
οὔ φασιν. Ἀθήνησι μὲν οὖν ἕνα που παρελάβομεν, καὶ τοῦτον
δ' ὑπὸ χρῶντος τοῦ θεοῦ σοφώτατον κεκρίσθαι. Τοιαύτην
οὖν προςεῖναί σοι σοφίαν ἅπαντες ὑπολαμβάνουσιν, ὡς
πάντα τὰ σὰ ἐν ἑαυτῷ κεῖσθαι νομίζειν, καὶ τὰ ἀνθρώπινα
δ' ἥττω ἀξιοῦν εἶναι τῆς ἀρετῆς. Διόπερ ἐμοῦ πυνθάνονται,
οὐδὲν ἧττον δ' ὡς οἶμαι τουτουῒ τοῦ Σκαιόλα, πῶς σὺ τὸν
τοῦ Ἀφρικανοῦ θάνατον ὑποφέρεις, καὶ τούτου δ' ἕνεκα μᾶλλον
ἐρωτῶσιν, ὅτι κατὰ τὰς ἔναγχος Νώνας εἰς τοὺς κήπους
Δεκίμου Βρούτου τοῦ οἰωνοσκόπου συνελθόντων ἡμῶν μελέτης
χάριν, ὡς νενόμισται, αὐτὸς οὐ παρῆσθα, καίτοι πρὸς
ἐκείνην ἡμέραν καὶ τὴν λειτουργίαν ὡς ἐπιμελέστατα εἰωθὼς
8 ἀπαντᾶν. ΣΚΑΙΟΛΑΣ. Πλεῖστοι μέν, ὦ Λαίλιε, πυνθάνονται,
ὡς εἶπε Φάννιος· ἀλλ' ἐγὼ τούτοις ἀποκρίνομαι,
ὅπερ καὶ παρεφυλαξάμην, σε μὲν ταύτην τὴν λύπην, ἣν ἐκ
τοῦ θανάτου ἀνδρὸς ἔλαβες μεγίστου καὶ προςφιλεστάτου,
μετρίως φέρειν· μὴ μέντοι παθεῖν τι οὐχ οἷόν τε γενέσθαι,
οὔτ' ἄλλως τῆς σῆς φιλανθρωπίας ἄξιον δοκεῖν. τοῦ δὲ μὴ
κατὰ τὰς Νώνας εἰς τὸν ἡμέτερον σύλλογον ἐλθεῖν αἰτίαν οὐ

Σὲ δὲ — φάσκουσιν] Expressit glossema *dicunt* in Codd. et plerisque Edd. omissum.

ἀλλ' ὡς — ἐπιφημίζειν] Verbo *ἐπιφημίζειν*, de quo cf. Schneider, et Passov. Lexx., non recte redditum est *appellare*, quod est *προςαγορεύειν — καλεῖν — ὀνομάζειν*.

κατὰ λοιπὴν Ἑλλάδα] *In reliqua Graecia*, Gernh. *in tota Graecia*, Beier. Orell. *in Graecia*.

7 *φασιν. Ἀθήνησι*] *φασιν* pro *φασι* exhibui. Buttmann. Gr. §. 103, 3. not. Gr. ampl. Vol. II. p. 275. Bornem. ad Xen. Mem. II, 9. praeferunt scripturam *Ἀθήνησι Θεοῦ*.

ὡς ἐπιμελέστατα εἰωθὼς ἀπαντᾶν] Omissum est *semper* a Beiero uncis inclusum. *Ἀπαντᾶν* aliaque verba in *ᾶν* sine iota subscripto exhibui.

οὐδὲν — Σκαιόλα] *Credo ex hoc item Scaevola;* Gernh. *credo item ex te, Scaevola;* Beier. et Orell. *credo item ex hoc [Scaevola]*.

8 *εἰς τὸν ἡμέτερον σύλλογον*] *In collegio nostro*, quod pleraeque Edd. etiam Orell. repraesentant; Gernh. et Beier. delent *nostro*.

τὸ πένθος σχεῖν, ἀλλὰ τὴν τοῦ σώματος ἀνωμαλίαν. ΛΑΙ-
ΛΙΟΣ. Καλῶς μέν, ὦ Σκαιόλα, καὶ ἀληθῶς εἴρηταί σοι τοῦτο·
οὐδὲ γὰρ τοῦ καθήκοντος ἐκείνου, ὃ διὰ παντός, ὁπόταν ἐῤῥω-
μένος ἦν, ἐτήρησα, διὰ τὴν προσπεσοῦσαν ἐμοὶ συμφορὰν
ὤφειλον ὑστερεῖν· ἀλλ' οὐδὲ καθ' ὁποιανοῦν περίστασιν ἡγοῦ-
μαι συμβῆναι ἂν ἀνδρὶ εὐσταθεῖ ποιεῖσθαί τινα τοῦ καθή-
κοντος ἐγκοπήν. Σὺ δέ, Φάννιε, ὅτι τοσοῦτον ἀπονέμεσθαι 9
λέγεις ἐμοί, ὅσον οὔτ' αὐτὸς ἐπιγινώσκω οὔτ' ἀξιῶ, τὰ μὲν
φίλῳ πρέποντα ποιεῖς· οὐ μέντοι ὀρθῶς ἔμοιγε περὶ τοῦ Κά-
τωνος κρίνειν δοκεῖς. ἢ γὰρ οὐδεὶς πώποτε, ὃ καὶ μᾶλλον
πιστεύω, ἢ εἴτις ἦν ποτε, ἐκεῖνος μάλιστα γέγονε σοφός. Πῶς
γάρ (ἵνα τἄλλα παραλείπω) τὸν τοῦ παιδὸς ἤνεγκε θάνατον;
Μεμνημένος ἦν τοῦ Παύλου, τὸν Γάϊον ἑωράκειν, ἀλλ' οὗτοι
οὐδὲν ἦσαν πρὸς τὸν Κάτωνα, μέγιστον ἄνδρα τῷ ὄντι, καὶ
λαμπρόν. Τοιγαροῦν ὅρα, μὴ τοῦ Κάτωνος κἂν αὐτὸν τοῦ- 10
τον προτιμώῃς, ὅν, ὡς φῄς, ὁ θεὸς τῶν πάντων ἀπέφηνε σο-
φώτατον. καὶ γὰρ τούτου τὰ ἔργα, θατέρου δ' αὖ αἱ γνῶμαι
ἐπαίνου τυγχάνουσιν. Ἐμοῦ δὲ πέρι (ἵνα ἤδη πρὸς ἄμφω δια-
λέγωμαι) οὕτως ἔχετε.

III. Ἐὰν μὲν οὖν τῷ τοῦ Σκηπίωνος πόθῳ μὴ πλήττεσθαι ἔξαρνος ὦ, πῶς ἂν ὀρθῶς τοῦτο πάθοιμι, εἰδεῖεν αἱ σοφοί· ἐγὼ δὲ δηλαδὴ ψευσαίμην ἄν. Πλήττομαι γὰρ ἀτεχνῶς τοιούτου φίλου στερηθείς, οἷος οὐδεὶς ἐπίδοξός ἐστι γενήσεσθαι· ὡς δ' οὐκ ἐγένετό πω, κἂν δυσχυρισαίμην. Πλὴν οὐκ ἰατρείας ἔχω χρείαν· παραμυθοῦμαι γὰρ αὐτὸς ἐμαυτόν, καὶ ταύτῃ χρώμενος μάλιστα τῇ παρηγορίᾳ, ὅτι τῆσδε τῆς πλάνης ἐξάντης εἰμί, δι' ἣν οἱ πλεῖστοι ἐπὶ τῷ θανάτῳ τῶν φίλων ἀδημονεῖν εἰώθασι. Καὶ γὰρ οὐδέν τι κακὸν προσπεσεῖν ἡγοῦ-

---

τὴν τοῦ σώματος ἀνωμαλίαν] Vulg. *valetudinem*, Gernh. *invalitudinem*. Heliod. Aethiop. p. 340. hoc voc. sic usus est, usitatiora sunt ἀῤῥωστία — ἀσθένεια.

ὁπόταν ἐῤῥωμένος ἦν] *cum valerem*: ὁπότε est scribendum, cum ὅταν et ὁπόταν non apud bonos scriptores, sed posterioris Graecitatis cum Indicativo constructum reperiatur vd. Passov. Lex. s. ὅταν.

ὤφειλον ὑστερεῖν] *abduci — debui*: Aor. II. ὤφειλον hac notione fere in usu est vd. Herm. ad Viger. p. 756 sq. Passov. Lex. s. ὀφείλω.

ὅτι τοσοῦτον πῶς] Textus latinus e regione interpretationis Grae- 9
cae recte *qui* habet, sed Petavius videtur secutus lect. *quod*, minime damnandam vd. Beier. Pro πῶς corr. ὡς.

ἀλλ' οὗτοι — λαμπρόν] *Sed hi nec comparentur Catoni, maximo et spectato viro.* Lect. meliorem e Codd. receperunt optt. Edd. *Sed hi in pueris, Cato in perfecto et spectato viro.*

τυγχάνουσιν. Ἐμοῦ] *Τυγχάνουσιν* pr. τυγχάνουσι correxi ob seq. 10
voc.

CAP. III. εἰδεῖεν οἱ σοφοί] *Viderint sapientes*, i. e. ἴδοιεν οἱ σοφοί,

μαι τῷ Σκηπίωνι· μᾶλλον δ' ἐμοὶ αὐτῷ ξυνέβη, εἴ τι καὶ ξυνέβη ποτέ. τὸ δ' ἐπὶ τοῖς αὐτοῦ δυςτυχήμασιν οὕτω δυςφορεῖσθαι οὐ τὸν φίλον, ἀλλ' ἑαυτὸν ἀγαπῶντος ἔργον ἐστί.
11 Τὰ δ' ἐκείνου τίς ἂν οὐκ ἐν καλῷ τεθεῖσθαι νομίζοι; Εἰ μὴ γὰρ τάχα που, ὅπερ οὐ διενοεῖτο, τὴν ἀθανασίαν δι' εὐχῆς ἔχειν ἠβούλετο· τίνος οὐκ ἐπέτυχεν, ὧν εὔξασθαι θέμις ἐστὶν ἀνθρώπῳ; ὅςτις τὴν μεγίστην ἐλπίδα τῶν πολιτῶν, ἣν αὐτοῦ πέρι παιδὸς ἔτι ὄντος εἶχον, αὐτίκα πάσης κρείττονι πίστεως ὑπερηκόντισεν ἀρετῇ· ὃς τὴν ὑπατείαν οὐ παρήγγειλε μὲν πώποτε, δὶς δ' ὕπατος ἀπεδείχθη· τὸ μὲν πρῶτον πρωϊαίτερον τοῦ νενομισμένου καιροῦ, δεύτερον δὲ ὡς πρὸς ἑαυτὸν ἐν ὥρᾳ, ἀλλ' ὡς πρὸς τὰ τῆς πόλεως πράγματα μικροῦ τοῦ δεόντος ὀψιαίτερον· ὃς δύο καταστρεψάμενος τῇ ἀρχῇ ἡμῶν ἐχθίστας πόλεις οὐ μόνον παρόντας, ἀλλὰ καὶ μέλλοντας ἄρδην ἀνεῖλε τοὺς πολέμους. Τί ἂν εἴποιμι περὶ τοῦ λίαν ἁπλοϊκοῦ καὶ ἀφελοῦς τῶν τρόπων, ἢ περὶ τῆς εἰς μητέρα στοργῆς, ἢ περὶ τοῦ ἐλευθερίου εἰς τὰς ἀδελφάς, καὶ τοῦ χρηστοῦ καὶ προςηνοῦς εἰς τοὺς οἰκείους καὶ τοῦ πρὸς ἅπαντας δικαίου; Ἀλλὰ τάδε γνώριμα μέν ἐστιν ὑμῖν· ἡλίκην δὲ πρὸς αὐτὸν ἀγάπην εἶχεν ἡ πόλις, τὸ κατὰ τὴν κηδείαν πένθος ἔδειξε. Τί τοίνυν ἐκεῖνος ὄνασθαι τῆς ὀλίγων ἐνιαυτῶν προσθήκης ἠδύνατο; Τὸ γὰρ γῆρας, εἰ καὶ βαρὺ οὐκ ἔστι, καθάπερ τὸν Κάτωνα μέμνημαι ἔτει πρότερον ἢ ἀπέθανεν ἐνὶ πρὸς ἐμέ τε καὶ τὸν Σκηπίωνα διαλέξασθαι· ἀλλ' ὅμως ἐκεῖνό, ἃ καὶ τότε προςῆν ἔτι τῷ Σκη-
12 πίωνι, τὸ χλωρὸν καὶ ἀκμαῖον ἀφαιρεῖ. Τοιγαροῦν ὁ μὲν βίος αὐτοῦ τοιοῦτος ἥ τε τύχη καὶ τὸ κλέος γεγένηται, οἷα μηδεμίαν δέξασθαι προςαγωγήν· τὴν δὲ τοῦ θανάτου αἴσθησιν τὸ ταχὺ καὶ ἀκαριαῖον ἔκλεψιν. ὁποῖος δ' ἄρα τουτουῒ τοῦ θανάτου τρόπος ὑπῆρξεν, ἔργον ἐστὶν εἰπεῖν· ὅ,τι δ' αὖ δι' ὑποψίας ἔχουσιν οἱ ἄνθρωποι, ὑμεῖς ὁρᾶτε. Τοῦτο μέντοι ἐπ' ἀληθείας λέγειν ἔξεστιν, ὅτι Ποπλίῳ Σκηπίωνι ἐκ τῶν πολλῶν ἡμερῶν, ἃς παρὰ πάντα τὸν βίον ἐπιφανεστάτας καὶ ποθεινοτάτας εἶδεν, ἐπισημοτάτη ἀνέτειλεν ἐκείνη, καθ' ἣν τῆς βουλῆς

---

11 *καταστρεψάμενος — τρόπων*] Non recte redditum est *de moribus facillimis: facilis* i. q. *εὔκολος*, *facilitas morum* i. q. *εὐκολία τῶν τρόπων — εὐπροςηγορία — φιλοπροςηγορία.* Rectius *καταστρέψας.*

Ἀλλὰ τάδε γνώριμα] *Haec nota sunt vobis:* optt. Edd. *Nota sunt vobis.*

εἰ καὶ βαρὺ οὐκ ἔστι] Corr. *μή*. De *εἰ — οὐ* vd. Pflugk. ad Eurip. Med. v. 88. Bernhardy wiss. Syntax p. 886.

διαλέξασθαι] *Διαλεχθῆναι* erat dicendum: *διαλέξασθαι* ap. Homer. i. q. *reputare*, *perpendere* vd. Buttm. Lexil. Vol. II. p. 90., apud Memn. in Phot. Myriob. p. 237. Polyaen. III, 9. 40. i. q. *colloqui*, vd. Poppon. de Graec. verb. med. etc. in Seebod. Archiv. 1829. nr. 59. p. 234. Sic infra Cap. 5, 17. *διαλέξονται* hac significatione exstat.

ἀφεθείσης ὑπό τε τῶν συγκλητικῶν πατέρων καὶ τοῦ παντὸς
Ῥωμαίων δήμου τῶν τε συμμάχων καὶ τῶν Λατίνων τῇ προ-
τεραίᾳ τῆς τελευτῆς οἴκαδε προεπέμπετο περὶ δείλην ὀψίαν,
ὥστε ἀφ' οὕτως ὑψηλοῦ τῆς τιμῆς βαθμοῦ εἰς οὐρανὸν μᾶλ-
λον δοκεῖν ἢ εἰς ᾅδου μετασταθῆναι.

IV. *Οὐ γὰρ ἔγωγε τούτοις συγκαθείμην ἄν, οἳ τὰ τοιαῦτα* 13
ἔναγχος ἤρξαντο διαθρυλλεῖν, ὅτι αὐταῖς ταῖς ψυχαῖς ἀποθνή-
σκει τὰ σώματα καὶ ὡς ἅπαντα συναφανίζεται τῷ θανάτῳ.
Ἀμέλει πλέον παρ' ἐμοὶ δύναται ἡ τῶν παλαιῶν αὐθεντία, εἴτε
τῶν ἡμετέρων προγόνων, οἵτινες οὕτω σεμνὰ τὰ ὅσια τοῖς νε-
κροῖς ἀπένειμαν, οὐκ ἂν τοῦτο ποιήσαντες, εἰ μηδὲν αὐτοῖς
προσήκειν ᾤοντο· εἴτε τῶν χώραν τήνδε πάλαι κατασχόντων
καὶ τὴν μεγάλην λεγομένην Ἑλλάδα (τὴν νυνὶ μὲν ἀνάστατον
γεγενημένην, τηνικαῦτα δ' ἀκμάζουσαν) τοῖς σφῶν διδάγμασι
καὶ παραγγέλμασι καταρτισάντων· εἴτ' ἐκείνου, ὃν ἀνεῖλεν ὁ
θεὸς τῶν πάντων εἶναι σοφώτατον, ὃς οὐχὶ τοτὲ μὲν τοῦτο,
τοτὲ δ' ἄλλο, ὡς τὰ πολλά, τὸ δ' αὐτὸ ἔλεγεν ἀεί, θείας εἶναι
τὰς τῶν ἀνθρώπων ψυχὰς καὶ ταύταις μετὰ τὸ τοῦ σώματος
ἀπαλλαγῆναι τὴν εἰς οὐρανὸν ἐπάνοδον ἀναπεπτάσθαι καὶ τὴν
αὐτὴν ἑνὶ ἑκάστῳ τῶν ἄριστα καὶ δικαιότατα βεβιωκότων εὐχε-
ρεστάτην οὖσαν. Ὅπερ καὶ τῷ Σκηπίωνι ξυνεδόκει, ὅστις οἱο- 14
νεὶ προμαντευόμενος πρὸ ὀλίγων πάνυ τοῦ θανάτου ἡμερῶν,
τοῦ τε Φίλου καὶ Μανιλίου καὶ πολλῶν ἑτέρων παρόντων καὶ
ἀμφοῖν ἡμῶν, ὦ Σκαιόλα, παραγενομένων, τρεῖς ὅλας ἡμέ-
ρας περὶ τῆς πολιτείας διελέχθη. καὶ αὕτη σχεδὸν ἡ διατριβὴ
εἰς τὸν περὶ τῆς τῶν ψυχῶν ἀθανασίας λόγον ἐτελεύτησε· καθὰ
νύκτωρ ἀναπαυόμενος ἔφη κατ' ὄναρ ἀκηκοέναι λέγοντος Ἀφρι-
κανοῦ. Εἰ μὲν δὴ οὕτως ἔχει τὸ πρᾶγμα, ὡς τῶν ἀρίστων
ἑκάστου τὴν ψυχὴν ἐν τῷ θανάτῳ ῥᾷστα οἷον ἐκ φυλακῆς καὶ
δεσμῶν τοῦ σώματος ἀφίπτασθαι· τίνι ποτ' εὐκολωτέραν
ἡγησόμεθα γενέσθαι ἢ τῷ Σκηπίωνι τὴν πρὸς τοὺς θεοὺς
ἀναδρομήν; Οὐκοῦν τοιαύτῃ τῇ συντυχίᾳ τἀνδρὸς ἐποδύρε-
σθαι δέδοικα μὴ φθονοῦντος μᾶλλον ἢ φιλοῦντος εἴη. Εἰ
δ' αὖ τῆς ἀληθείας ἔχεται μᾶλλον τὸ τῶν τε ψυχῶν καὶ τῶν

καὶ—προεπέμπετο] Expressa est lectio *populo Romano, sociis* 12
et Latinis in plerisq. Edd. vd. Beier. Orell.; *populi Romani sociis*
Gernh. Pro *προεπέμπετο* scribendum erat *προὐπέμφθη* i. e. *re-*
ductus est.

CAP. IV. *συγκαθείμην*] Quum ap. Cic. sit *assentior*, Petavius 13
aut minus recte *συγκαθίεσθαι* pro *συγκατατίθεσθαι* usurpavit,
aut *συγκαθείμην* est mendum typographicum pro *συγκαταθείμην*.

ἤρξαντο διαθρυλλεῖν] *Disserere* ap. Cic. i. q. *διαλέγεσθαι—δια-*
λογίζεσθαι. Pro Infinitivo erat ponendum Partic.

ὡς τὰ πολλά] *Ut in plerisque* Beier. Orell. *ut plerique* Gernh.

τοτὲ—ἔλεγεν ἀεί] *Dicebat* omis. Beier. Orell.; Petav. bis *τότε*.

σωμάτων ἕνα φάναι καὶ τὸν αὐτὸν ὄλεθρον εἶναι καὶ μηδεμίαν
παραμένειν αἴσθησιν· ἀκόλουθόν ἐστιν, ὥςπερ μηδὲν ἀγαθὸν
τῷ θανάτῳ, οὕτω καὶ κακὸν προςεῖναι μηδέν. Τῆς γὰρ αἰ-
σθήσεως ἀνῃρημένης παραπλήσιόν τι γίνεται, ὡςανεὶ ἁπλῶς
οὐκ ἐγεννήθη ποτέ: καίτοι γεννηθῆναι ἡμεῖς τε χαίρομεν ἐκεῖ-
15 νον ἥ τε πόλις, μέχρις οὗ ἂν περιέσται, χαρήσεται. Τού-
των δὴ ἕνεκα τὰ μὲν κατ' αὐτόν, καθάπερ ἔφην, ὡς βέλτιστα
διατέθειται· τὰ δὲ κατ' ἐμὲ ἀτοπώτερόν πως, ὃν εὐλογώτερον
ἦν δήπου εἰς τὸν βίον παρελθόντα πρότερον καὶ τούτου πρό-
τερον ἀπελθεῖν. Ὅμως μέντοι τῆς ἡμετέρας φιλίας οὕτως ἀπο-
λαύω, ὡς εὐδαιμόνως ζῆσαι δοκεῖν, ὅτι τῷ Σκηπίωνι συνέ-
ζησα, πρὸς ὃν ἐγὼ τὰς ὑπὲρ τῶν πολιτικῶν καὶ τῶν ἰδίων
πραγμάτων φροντίδας ἐμεριζόμην, καὶ τῆς οἰκίας αὐτῷ καὶ
στρατείας ἐκοινώνουν, καὶ ὃ πᾶσαν συνέχει τὴν τῆς φιλίας δύ-
ναμιν θαυμαστή τις ἀλλήλων μεταξὺ τῶν θελημάτων καὶ ἐπι-
τηδευμάτων καὶ γνωμῶν ἡ συμφωνία προςῆν. Τούτου δὴ χά-
ριν οὐ τοσοῦτον αὕτη ἐμὲ τῆς σοφίας ἡ φήμη, ἣν ἄρτι ὁ Φάν-
νιος ἔλεγεν, εὐφραίνει, καὶ ταῦτα ψευδὴς οὖσα, ὅσον ἀείμνη-
στον ἐλπίζειν ἔσεσθαι τὴν ἡμετέραν φιλίαν, ὃ καὶ ἐμοὶ παρὰ
τοῦτο μᾶλλον καταθύμιον ὑπάρχει, ὅτι ἐξ ἁπάντων αἰώνων
μόλις τρία ζεύγη ἢ τέσσαρά που τῶν φίλων ἀπομνημονεύον-
ται· καθὸ δηλονότι καὶ τὴν τοῦ Σκηπίωνος καὶ Λαιλίου φι-
λίαν ἐλπίζειν ἔπεισί μοι γνωρίμην ἂν τοῖς ὕστερον γενέσθαι.
16 ΦΑΝΝΙΟΣ. Τοῦτο μέν, ὦ Λαίλιε, ἀναγκαῖον οὕτως ἔχειν·
ἐπειδὴ δὲ περὶ τῆς φιλίας ἐμνήσθης καὶ ἄλλως δὲ σχολὴν ἄγο-
μεν, κεχαρισμένον ἐμοὶ μάλα τι ποιήσεις, ὡς δ' ἐλπίζω καὶ
τουτῳῒ τῷ Σκαιόλᾳ, εἰ, καθάπερ περὶ τῶν λοιπῶν εἴωθας,
περὶ ὧν ἄν σέ τις ἀνερωτᾷ, οὕτω καὶ περὶ τῆς φιλίας λέγειν
ἐθελήσειας, ὅπως τε φρονεῖς, καὶ ὁποίαν γνώμην ἔχεις, καὶ
εἴ τι καὶ ἐπιτάττειν ἀξιοῖς. ΣΚΑΙΟΛΑΣ. Ἀλλ' ἔμοιγε ἥδι-
στον ἂν εἴη τοῦτο· κἀμοῦ δὲ περὶ τῶν αὐτῶν μέλλοντός σοι
λόγον προςφέρειν, ἔφθασεν ὁ Φάννιος. Οὐκοῦν ἀμφοτέ-
ροις ἡμῖν εὖ μάλα χαριῇ.
17 V. ΛΑΙΛΙΟΣ. Ἀλλ' οὐκ ἂν τὸ πείθεσθαι ὑμῖν ἐβα-
ρυνόμην, εἰ ἐπεποίθειν ἐμαυτῷ. Καὶ γὰρ ἄξιόν τέ ἐστι τὸ
πρᾶγμα καὶ ἡμεῖς γε, ὡς ὁ Φάννιος εἶπε, σχολάζομεν.
Ἀλλὰ τίς εἰμι ἔγωγε; ἢ τίς τοῦ λόγου δύναμις ἔνεστιν ἐμοί;
Τῶν λογίων ἔθος ἐστὶ τοῦτο, μάλιστα δ' Ἑλλήνων, ὡς προ-
τίθεσθαι αὐτοσχεδίως ὁτιοῦν αὐτοῖς, περὶ οὗ αὐτοσχεδιά-
ζοντες μάλα διαλέξονται. Μέγα δὴ ἔργον τοῦτο καὶ οὐκ

---

14 χαρήσεται] Χαιρήσω apud Atticos in usu. Vd. Matth. Gr. Vol. I. §. 255.

15 ζῆσαι — συνέζησα] Attici Aor. II. verb. βιοῦν usurpant. γνωρίμην] Corr. γνώριμον pro mendoso γνωρίμην.

ὀλίγης ἀσκήσεως δεόμενον. Ὅσα τοίνυν περὶ τῆς φιλίας λέ-
γεσθαι οἷά τέ ἐστι, παρὰ τῶν ἐπαγγελλομένων τὰ τοιαῦτα αἰτη-
τέον ὑμῖν. ἐγὼ δὲ παρακελεύεσθαι μόνον ὑμῖν δύναμαι εἰς
τὸ πάντων τῶν ἀνθρωπίνων φιλίαν προτιμᾶν· οὐδὲν γὰρ οὕ-
τως ἁρμόζον ἐστὶ τῇ φύσει, οὔτ' ἐπιτήδειον οὕτω εἴτε πρὸς
τὰς τοῦ βίου εὐπραξίας εἴτ' οὖν κακοπραξίας. Ἀλλὰ τὸ μὲν 18
πρῶτον οὕτω φρονῶ, οὐκ ἄλλως ἢ μεταξὺ τῶν ἀγαθῶν τὴν
φιλίαν εἶναι δύνασθαι· οὐδὲ ταὐτά μοι πρὸς ἀκρίβειαν ἐξετά-
ζειν πρόκειται νῦν, καθάπερ τοῖς περὶ τῶνδε λεπτολογεῖν ἐπι-
βαλομένοις, τάχα μὲν ἀληθῶς, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον
οὐχ ἱκανῶς. οὐδένα γὰρ ἄνδρα φασὶν ἀγαθὸν εἶναι εἰ μὴ σο-
φόν. Ἔστω δὴ οὕτως· ἀλλ' ἐκείνην νοοῦσι τὴν σοφίαν, ἧς
οὐδείς πω θνητὸς ἐπέτυχεν· ἡμεῖς δὲ τὰ ἐν χρήσει κοινῇ καὶ
βίῳ ἐπιπολάζοντα, οὐ τὰ ὀνειροπολούμενα καὶ δι' εὐχῆς ὄντα
μόνης ἐλπίζειν ὀφείλομεν. Ἀμέλει οὐκ ἐγώ ποτε Γάϊον Φα-
βρίκιον καὶ Μάνιον Κούριον καὶ Τίτον Κορουγκανόν, τοὺς
ὑπὸ τῶν ἡμετέρων προγόνων ἐπικριθέντας σοφούς, ὡς πρὸς
τὸν ἐκείνων κανόνα φαίην ἂν σοφοὺς ὑπάρξαι. Οὐκοῦν αὐτοὶ
ἑαυτοῖς ἐχέτωσαν τὸ ἐπίφθονον τόδε καὶ ἄσημον ὄνομα τῆς
σοφίας· κἀκείνους ἡμῖν συγχωρείτωσαν ἄνδρας ἀγαθοὺς γενέ-
σθαι. Ἀλλ' οὐ τοῦτο δοῖεν ἄν· ἀρνήσονται δὲ μὴ ἑτέρῳ μη-
δενὶ πλὴν τοῦ σοφοῦ παραχωρεῖσθαι δεῖν. Τούτου γοῦν πέρι
ἐν τύπῳ διορίσωμεν. Τοὺς δ' οὕτως ἀναστρεφομένους καὶ 19
βιοῦντας, ὡς τὴν πίστιν αὐτῶν καὶ καλοκἀγαθίαν καὶ εὐγνω-
μοσύνην καὶ ἐλευθερίαν ὑπὸ πάντων δοκιμάζεσθαι, μηδε-
μίαν τ' αὖ ἐκείνων ἐπιθυμίαν ἢ ἀκολασίαν ἢ θρασύτητα
καταγνωσθῆναι, προςεῖναι δ' οὐχ ἥκιστα καὶ τὸ τῶν τρόπων
εὐσταθές, οἷοί περ ἦσαν οἱ μικρῷ πρότερον ὀνομασθέντες·
τούτους ἄντικρυς ἀγαθοὺς ἄνδρας, ὡς τότε διεφημίζοντο, καὶ
δὴ χρῆναι λέγειν ὁμολογῶμεν, ἐπειδή, καθόσον ἀνθρώπῳ δυ-
νατόν, τῇ φύσει παρακολουθοῦσι, βελτίστῃ βίου τοῦ ὀρθῶς
ἔχοντος ἡγεμόνι. Ὧδε γάρ πως κατανοεῖν μοι δοκῶ, οὕτως

Cap. V. *κακοπραξίας*] Non est vocabulum Graecum, sed *κακο-* 17
πραγία: at *εὐπραγία* et *εὐπραξία* in usu sunt. Supra Petav. *ὅ, τι οὖν*,
ἐλπίζειν ὀφείλομεν] *Sperare* lect. deterior pro vulg. *spectare*. 18
Τίτον Κορουγκανόν] Secutus est scripturam malam *Coruncanum*
pro *Coruncanium* vd. annotat. mea ad Caton. Mai. Cap. 6.

Τούτου — διορίσωμεν] Non expressa sunt verba *ut aiunt*, quae Beierus, quum in Cod. Oxon. *η* et Lips. *α*. omittantur, uncis inclusit. Recte Petavius interpretatus est verba *agamus pingui Minerva ἐν τύπῳ διορίσωμεν* (vd. de locutionibus *ἐν τύπῳ εἰπεῖν* Ast. ad Plat. Polit. p. 478. *λέγειν* etc Steph. Thes. L. Gr. T. IV. p. 1691.); nam h. l. *pingui Minerva* interprete Gernhardo est non subtili ac spinosa disputatione, sed ad vulgarem opinionem et populari oratione.

δοκῶ] Correxi pro *δωκῶ*. 19

ἡμᾶς πεφυκέναι, ὡς πάντων μεταξὺ ἑταιρείαν ἐνυπάρχειν τινά, καὶ ταύτῃ μείζονα, ᾗ ἐγγυτέρω τις προςήκει. Ὅθεν ἀκόλουθόν ἐστι τοὺς πολίτας προκρίνεσθαι δεῖν τῶν ξένων, καὶ τῶν ἀλλοτρίων τοὺς οἰκείους· ἐπειδὴ ξὺν τούτοις τὴν φιλίαν ἡ φύσις ἀπέτεκεν· οὐ μέντοι ἱκανὸν αὕτη τὸ βέβαιον ἔχει. ἡ γὰρ φιλία τῆς οἰκειότητος κατὰ τοῦτο διενήνοχεν, ὅτι τῆς μὲν οἰκειότητος ἐνδέχεται χωρίζεσθαι τὴν εὔνοιαν, τῆς δὲ φιλίας οὐκ ἔνι· δῆλον γὰρ ὅτι περιῃρημένης τῆς εὐνοίας οἴχεται τὸ τῆς
20 φιλίας ὄνομα, μένει δὲ τὸ τῆς οἰκειότητος. Ὁπόση δὲ τῆς φιλίας ἐστὶ δύναμις, ἐντεῦθεν μάλιστα καταμανθάνειν ἔξεστιν, ὅτι ἐξ ἀπείρου καὶ οὐχ ὡρισμένης τινὸς ἑταιρείας τοῦ γένους ἀνθρωπίνου, ἣν ἡ φύσις αὐτὴ συνέστησεν, οὕτω συνῆρηται τὸ πρᾶγμα καὶ εἰς τὸ στενὸν περιέστη, ὡς πᾶσαν τὴν ἀγάπην ἢ δυεῖν μεταξὺ ἢ ὀλίγων συνάπτεσθαι.

VI. Ἔστι δὲ ἄλλο μηδὲν ἡ φιλία πλὴν ἁπάντων τῶν τε θείων καὶ τῶν ἀνθρωπίνων μετ' εὐνοίας καὶ ἀγάπης ἡ μεγίστη συμφωνία· ἧς οὐκ οἶδ' ὅ, τι βέλτιον, μόνης ἐξαιρομένης τῆς σοφίας, ὑπὸ τῶν θεῶν τοῖς ἀνθρώποις δεδώρηται. Οἱ μέν τινες προτιμῶσι τὸν πλοῦτον, ἄλλοι δὲ τὴν εὐεξίαν, ἕτεροι δ' αὖ τὴν δύναμιν, οἱ δὲ τὰς τιμάς, οἱ δὲ πολλοὶ τὰς ἡδονάς. Ἀλλὰ τὸ ἔσχατον τουτὶ τῶν κτηνῶν ἐστι μᾶλλον ἴδιον, τὰ δὲ πρὸ αὐτοῦ εὐμετάπτωτα τυγχάνει ὄντα καὶ ἀστάθμητα, οὐ τοσοῦτον ἐν τῇ ἡμῶν εὐβουλίᾳ, ὅσον ἐν τῷ προπετεῖ τῆς τύχης καὶ ἀγχιστρόφῳ κείμενα. Οἱ δὲ τὸ τῶν ἀγαθῶν ἀκρότατον ἐν τῇ ἀρετῇ τιθέμενοι κάλλιστα μὲν οὗτοι φιλοσοφοῦσι· πλὴν ἡ αὐτὴ τὴν φιλίαν ἀρετὴ γεννᾶν οἶδε καὶ συγκροτεῖν·
21 οὐδὲ γὰρ ἀρετῆς δίχα συστῆναι τὴν φιλίαν ἐνδέχεται. Ἀλλ' ἡμεῖς ἀρετὴν δὴ ταύτην ἐκ τῆς τοῦ βίου συνηθείας καὶ τῆς ἐπιχωριαζούσης παρ' ἡμῖν λέξεως ἐξηγώμεθα· μήτ' αὐτήν, καθὶ τῶν ἐλλογίμων τινές, τῇ τῶν ῥημάτων σεμνότητι μετρεῖν ἀξιῶ-

---

ὑπὸ πάντων δοκιμάζεσθαι] Apud Ciceronem non est ὑπὸ πάντων.

20 Ὁπόση δὲ τῆς φιλίας κτλ.] Aristot. Eth. VIII, 7. *Πολλοῖς δ' εἶναι φίλον κατὰ τὴν φιλίαν οὐκ ἐνδέχεται, ὥςπερ οὐδ' ἐρᾶν πολλῶν ἅμα.* IX, 10. *Οὐ γίγνονται γὰρ φίλοι πολλοὶ κατὰ τὴν ἑταιρικὴν φιλίαν· αἱ δ' ὑμνούμεναι ἐν δυσὶ λέγονται.* Correxi συνέστησεν pr. συνέστησαν.

Cap. VI. Ἔστι — μηδέν] Corr. οὐδέν.

οἱ δὲ πολλοί] *Πολλοὶ δὲ* erat dicendum: differunt enim *οἱ πολλοί* et *πολλοί* vd. Passov. Lex. Vol. II. p. 513. f). Matth. Gr. gr. Vol. II. §. 266.

τὰ δὲ πρὸ αὐτοῦ] *Illa autem superiora* interpretare τὰ δ' ἐπάνω — ὄπισθεν vd. Lobeck. ad Phryn. p. 11.

τὸ τῶν ἀγαθῶν ἀκρότατον] *Summum bonum* a Stoicis dicitur τὸ τέλος vd. Tennemann. Gesch. d. Philos. Vol. IV. p. 78.

21 ἀρετὴν δὴ ταύτην] Apud Ciceronem tantum exstat *virtutem:* τὴν ante ἀρετήν erat addendum.

μεν· καὶ δῆτα ἄνδρας ἀγαθοὺς τοὺς ὑπὸ πάντων ἐγκρινομένους ἀριθμῶμεν, τοὺς Παύλους, Κάτωνας, Γάλλους, Σκηπίωνας, Φίλους· τοιούτοις γὰρ ὁ κοινὸς ἀρκεῖται βίος· ἐκείνους δὲ παραλείπωμεν, οὓς πάντας οὐδαμοῦ ἂν εὑρεῖν ἔχοις. Τοιούτων οὖν ἀνδρῶν ἡ πρὸς ἀλλήλους φιλία τοσαύτας παρέχει τὰς ὠφελείας, ὅσας οὐ δύναμαι τῷ λόγῳ περιλαβεῖν. Καὶ 22
ἵνα ἐντεῦθεν ἄρξωμαι, τίνι ποτὲ βιωτὸς ἂν ὁ βίος εἴη, ὥς φησιν Ἔννιος, ὃς τῇ ἐξ ἀμοιβῆς εὐνοίᾳ φίλου τινὸς οὐκ ἐπαναπαύεται; Τί γλυκιόν ἐστιν ἢ κτήσασθαί τινα, πρὸς ὃν ἐκφέροις ἂν ἀδεῶς ἅπαντα τῷ λόγῳ οὐχ᾽ ἧττον ἢ πρὸς ἑαυτόν; Ποῦ δ᾽ ἂν εἴη τοσαύτη ἐν ταῖς εὐτυχίαις ἡδονή, μὴ παρόντος τοῦ συνησθησομένου ταύταις ἐξ ἴσου σεαυτῷ; Τῶν δὲ δυστυχιῶν ἦν ἂν χαλεπὸν ἀνέχεσθαι ἄνευ τοῦ κἂν βαρύτερόν σου ταύτας ἐνεγκεῖν παρεσκευασμένου. Τὸ δὲ τελευταῖον ἐπὶ μὲν τῶν λοιπῶν, ὧν ὀρέγονται οἱ ἄνθρωποι, τὰ καθ᾽ ἕκαστα σχεδὸν πρὸς ἕκαστ᾽ ἄττα συμφέρει μόνον· οἷον δὴ λέγω· ὁ πλοῦτος πρὸς τὸ χρήσασθαι· ἡ περιουσία εἰς τὸ θεραπείας τυχεῖν· αἱ τιμαὶ πρὸς τὸ εὐφημεῖσθαι· αἱ ἡδοναὶ πρὸς τὴν εὐφροσύνην· ἡ ὑγίεια, ὅπως ἐκφεύγῃς τὴν ἀλγηδόνα καὶ τὸ σῶμα ἐνεργὸν ἔχῃς· ἡ δὲ φιλία πολλὰς χρείας παρέχεται· ὅπῃ γὰρ ἂν σὺ τραπῇ, πάρεστιν· οὐδεὶς αὐτὴν ἀποτειχίζει τόπος· οὐκ ἄκαιρός ἐστί ποτε οὔτ᾽ ἀηδής. Οὔκουν ὕδατι οὐδὲ πυρί, ὥς φασιν, χρώμεθ᾽ ἐπὶ πλέον ἢ φιλίᾳ. φιλίαν δ᾽ ὅταν λέγω, οὐ τὴν δημώδη φημί, οὐδὲ τὴν μετρίαν, καίτοι σὺν ὠφελείᾳ τέρψιν φέρουσαν καὶ αὐτήν, ἀλλὰ τὴν ἀληθινὴν καὶ τελείαν, ὁποία τινῶν κομιδῇ εὐαριθμήτων γέγονε. Τάς τε γὰρ ἀγαθὰς τύχας ἡ φιλία λαμπροτέρας ποιεῖ καὶ τὰς ἐναντίας διὰ τοῦ μερίζεσθαι καὶ κοινωνεῖν ἐλαφροτέρας.

VII. Ἐκ πολλῶν μέντοι καὶ μεγίστων ὀνήσεων, ἃς ἡ φι- 23
λία χορηγεῖν εἴωθε, περὶ πλείστου ποιητέα ἐστὶν ἥδε, ὅτι χρηστὴν ἐλπίδα εἰς ὕστερον ὑποφαίνει οὔτε καθυφίεσθαι τὸν θυμὸν ἐᾷ καὶ ἀποκάμνειν. Ὁ γὰρ εἰς τὸν ἀληθινὸν φίλον ὁρῶν οἷον ἑαυτοῦ παράδειγμα θεωρεῖ. Τοιγαροῦν καὶ ἀπόντες πάρεισι καὶ ἐνδεεῖς ὄντες πλεονάζουσι καὶ ἀσθενοῦντες ἐῤῥωμένοι εἰσὶ καὶ (ὃ τῷ λόγῳ δυσχερέστερόν ἐστι) ζῶσιν ἀποθανόντες. Τοσαύτη γοῦν ἐκείνοις τιμὴ καὶ μνήμη καὶ πόθος τῶν φίλων παρέπεται. ὅθεν κἀκείνων μακαριστὸς ὁ θάνατος καὶ τούτων ὁ βίος ἐπαίνου ἄξιος δοκεῖ. Ἐὰν δ᾽ ἄρα τις ἐκ τῆς

Ποῦ — ἡδονή] Secutus est Petav. lectionem *qui* a Beiero quoque receptam, quem vide; alii, ut Gernhard. Orell., *quis*. 22

περιουσία] *Opes* h. l. non sunt divitiae, sed potentia, auctoritas et gratia, i. e. *δύναμις — ἀξίωμα*.

Cap. VII. *Ὁ γὰρ — ὁρῶν*] Secutus est Petav. lect. *verum etenim;* Gernh. *verum etiam*, recte Beierus et Orell. *verum enim*. *Intueri* h. l. i. q. *ἀποβλέπειν*. Infra post *δοκεῖ* erata ddendum *εἶναι*. 23

*θυμον, ἀπείη δὲ πάντως ἡ μέλλησις· ὅπως τε τἀληθῆ ξυμ-
βουλεύοντες καὶ μετὰ παῤῥησίας χαίρωμεν. Πλεῖστον μὲν δὴ
τὸ ἀξιόπιστον ἐχέτω ἡ τῶν φίλων αὐθεντία τὰ δέοντα ὑποτι-
θεμένων· καὶ ταύτῃ δὲ χρησώμεθα εἰς τὸ νουθετεῖν οὐ μόνον
προφανῶς, ἀλλὰ καὶ δριμέως, ὅπῃ παρείκοι· καὶ χρωμένων
45 πείθωνται. Ἤδη γὰρ ἐνίοις, οὓς ἐν τῇ Ἑλλάδι πυνθάνομαι
τοῖς σοφοῖς ἐγκεκρίσθαι, ἔστιν ἃ νομίζω δεδόχθαι θαυμαστὰ
ὅσα καὶ παράδοξα (οὐδὲν γάρ ἐστιν, ᾧ μὴ τοῖς ἑαυτῶν λεπτο-
λογήμασιν ἐπεξέρχωνται)· ταῦτα δέ ἐστι· πῇ μὲν τὰς πολλὰς
ἄγαν φιλίας παραιτεῖσθαι δεῖν, μὴ ἀναγκαῖον ᾖ ἕνα ὑπὲρ πολ-
λῶν μεριμνᾶν· ἀρκεῖν γὰρ τῶν ἰδίων ἑκάστῳ πραγμάτων ἐπι-
μέλειαν· τοῖς δ' ἀλλοτρίοις λίαν ἐμπλέκεσθαι ὀχληρὸν εἶναι·
συμφέρειν δ' οὐχ ἥκιστα κεχαλασμένας εὖ μάλα τῆς φιλίας
ἔχειν τὰς ἡνίας, ὡς ἀναλαμβάνειν ἢ ἀνιέναι δύνασθαι, ὅπως
ἂν ἐθελήσειας. κεφάλαιον γὰρ εἶναι εἰς τὸ εὐδαιμόνως ζῆν τὴν
εὐθυμίαν, ἧς ἀπολαύειν οὐκ ἐνδέχεται τὴν μίαν ὡς εἰπεῖν
46 πολλῶν ὕπερ ὠδίνουσαν ψυχήν. Τοὺς δ' αὖ ἑτέρους ἀπαν-
θρωπότερον ἔτι φάσκειν λέγουσιν (οὕτινος τόπου τοὺς βρα-
χέων καὶ ἀκροθιγῶς μικρῷ πρότερον ἡψάμην), ὡς ἀσφαλείας
καὶ βοηθείας χάριν, οὐκ εὐνοίας δὲ καὶ ἀγάπης μᾶλλον μετιέ-
ναι χρὴ τὰς φιλίας. Οὐκοῦν ὅσῳ τις ἔλαττον τὸ βέβαιον καὶ
τὸ δυνατὸν ἔχει, τοσούτῳ μάλιστα τῶν φιλιῶν ὀρέγεται· ὅθεν
καὶ τὰ γύναια τῶν ἀνδρῶν μᾶλλον τὰς τῶν φιλιῶν ἐπικουρίας
μεταδιώκειν, καὶ τῶν πλουσίων οἱ ἐνδεεῖς, καὶ οἱ συμφορᾷ
47 χρησάμενοι τῶν δοκούντων εὐδαιμονεῖν. Φεῦ τῆς ἀξιαγάστου*

ὅπως — χαίρωμεν] Ineptam lectionem *verum* pro *vero* secutus est Petavius. Beierus *vero* ut insiticium uncis inclusit. Si lectionem a Beiero et Orell. e Codd., probatam quoque Gernhardo et Goerenzio, receptam *audeamus* pro *gaudeamus* praeferendam censemus, pro *χαίρωμεν* scribendum erit *τολμῶμεν*, vd. Gernh.

ὅπῃ παρείκοι] *Si res postulabit*, accuratius *ἐὰν ἀναγκαῖον ᾖ — δέῃ*.

καὶ χρωμένων πείθωνται] De structura insolentiore verbi *πείθεσθαι* cum Genitivo vd. Matth. Gr. gr. Vol. II. §. 362. Schweighaeus. Lex. Herodot. s. v. Bernhardy wiss. Syntax. p. 176.

45 *θαυμαστὰ ὅσα καὶ παράδοξα*] Sufficeret *παράδοξα*, quum Cicero tantum *mirabilia quaedam* exhibeat, de cuius Adiectivi significatione vd. Beier. Infra corr. *ὃ — ἐπεξέρχονται — πῄ*.

ἀρκεῖν — ἐπιμέλειαν] Petavius reddidit lect. *satis superque esse sibi suarum cuique rerum curam*: in optt. Edd. est *satis superque esse suarum cuique rerum*.

46 *Οὐκοῦν — ὀρέγεται*] Corrige *μᾶλλον*, nam Cicero scripsit *ut quisque minimum — ita — maxime*.

καὶ — εὐδαιμονεῖν] Expressa est lectio Orellio probata *et calamitosi, quam ii, qui putantur beati*. Beierus: *et calamitosi, quam ii, qui videntur beati*; Gernhardus *quam beati* eiectis vv. *ii, qui putantur*. Pro *μεταδιώκειν* corr. *μεταδιώκει*.

νὸς δεόμεθα τῆς τοῦ σοῦ λόγου κατασκευῆς. *ΣΚΑΙΟΛΑΣ.* Μᾶλλον μὲν οὐκ οὕτως ἂν φαίης, ὦ Φάννιε, εἰ πρώην εἰς τοὺς Σκηπίωνος κήπους παρεγένου, ὁπηνίκα περὶ τῆς πολιτείας διατριβή τις γέγονεν. Οἷος τότε τῆς δικαιοσύνης συνήγορος πέφηνε πρὸς τὸν ἀκριβῆ τοῦ Φίλου λόγον ἀντιταττόμενος! *ΦΑΝΝΙΟΣ.* Οὐ γὰρ ἔργον ἦν δῆτα τῷ δικαιοτάτῳ ἀνδρὶ ὑπὲρ δικαιοσύνης ἀπολογήσασθαι. *ΣΚΑΙΟΛΑΣ.* Τί γοῦν ὑπὲρ φιλίας; πῶς οὐκ εὔκολον ἔσται τούτῳ περὶ αὐτῆς εἰπεῖν, ὃς τοῦδε ἕνεκεν, ὅτι μετὰ τῆς ἐνδεχομένης πίστεως καὶ καρτερίας καὶ δικαιοσύνης ἐκείνης ἀντιπεποίηται, εἰς ὑπερφυῆ τινα παρὰ πᾶσιν ἔφθασεν εὐδοξίαν;

VIII. *ΛΑΙΛΙΟΣ.* Ἀλλὰ τοῦτο ἄντικρύς ἐστιν ἀνάγ- 26
κην προσάγειν. Τί γὰρ διαφέρει, ὁποῖον ἐμὲ βιάζεσθε τρόπον; βιάζεσθε μὲν οὖν. Καὶ γὰρ πρὸς τὰς τῶν γαμβρῶν σπουδάς, μάλιστα δὲ περὶ καλόν τι γενομένας, ἀντιτείνειν οὐ μόνον χαλεπόν ἐστιν, ἀλλ' οὐδὲ δίκαιον. Ἐμοὶ τοίνυν τὰ περὶ τῆς φιλίας πλειστάκις ἐνθυμουμένῳ πρὸ πάντων ἐκεῖνο σκέπτεσθαι δεῖν ἐπῆλθε, πότερον διὰ τὴν ἀσθένειαν καὶ ἔνδειαν ἐξ ἀρχῆς ἐπόθησαν οἱ ἄνθρωποι τὴν φιλίαν, ὅπως διδόντες καὶ δεξάμενοι παρ' ἀλλήλων τὰς εὐεργεσίας τοῦθ' ἕκαστός τις, ὃ μὴ δι' ἑαυτοῦ πάντως ἠδύνατο, παρ' ἑτέρου λαβὼν ἔχοι καὶ ἐν μέρει ἀντιδιδῴη· πότερον δὲ μᾶλλον ἴδιον μέν ἐστι καὶ τοῦτο τῆς φιλίας· οὐ μὴν ἀλλὰ πρεσβυτέρα καὶ καλλίων παρὰ πολὺ καὶ ἀπὸ τῆς φύσεως προσεχέστερον ὡρμημένη αἰτία τις ὕπεστιν. Τὸ γὰρ φιλεῖν, ὅθεν ὀνομάζεται ἡ φιλία, εἰς τὴν τῆς εὐνοίας σύζευξιν προηγεῖται. Τὰς μὲν γὰρ ὠφελείας ὡς τὰ πολλὰ κἂν ἀπ' ἐκείνων καρπώσασθαι δυνατόν, οἵτινες προσποιήσει φιλίας θεραπεύονται καὶ δι' αἰδοῦς ἄγονται τοῦ καιροῦ ἕνεκα·

Ἀλλ' ἡμεῖς—κατασκευῆς] Expressa est lectio Orellio quoque probata: *Nos autem a te potius: quanquam etiam ab istis quaesivi saepe, et audivi non invitus equidem: sed aliud quoddam expetimus filum orationis tuae.* Gernhardus: *—potius: —audivi: non invitus equidem, sed aliud quoddam est filum orationis.* Beierus: *Nos autem a te potius. Quamquam etiam ab istis saepe quaesivi; et audivi non invitus equidem. Sed aliud quoddam filum orationis tuae.*

ὑπερφυῆ] Apud Atticos horum Adiectivv. Accusativus fere terminatur in ᾶ, licet terminationis in ῆ exempla apud optimos scriptores reperiantur vd. Matth. Gr. Vol. I. §. 113. not. 1. Bornem. ad Xen. Memor. 1, 6, 13.

Cap. VIII. ὁποῖον—τρόπον] *Qua me ratione cogatis*, sic 26
Beier. Orell. *qua me rogatione* Gernh.

ἀντιδιδῴη] De hac forma deteriore scriptoribus posterioribus usitata pro ἀντιδιδοίη cf. Buttmann. Gr. ampl. T. I. p. 526. Lobeck. ad Phryn. p. 343. accuratissime exponentem.

ἐν τῇ φιλίᾳ δὲ οὐδὲν ἔνεστι πλαστὸν οὔτε προςποιητόν· πᾶν
27 *δὲ τὸ αὐτῇ προςὸν ἀληθινόν τε καὶ ἑκούσιον ὑπάρχει. Διὸ*
ἀπὸ τῆς φύσεως μᾶλλον ἢ ἀπὸ τῆς ἐνδείας ἐμοὶ προελθεῖν
ἡ φιλία δοκεῖ διά τε ψυχικῆς προςβολῆς μετὰ καὶ ἀγαπητι-
κῆς τινος διαθέσεως θᾶττον ἢ διὰ τοιούτου τοῦ λογισμοῦ,
ὁπόση ἐκεῖθεν ὠφέλεια μέλλει γενήσεσθαι. Ὃ δὴ κἂν τοῖς ἀλό-
γοις τισὶ ζώοις ὅπως ἔχει πάρεστιν ἰδεῖν, ἃ τὰ σφῶν ἔκγονα
ἀγαπῶσιν οὕτως ἄχρι τινὸς καὶ ἀγαπῶνται ὑπ᾽ αὐτῶν, ὡς
ῥᾳδίως εἶναι καταφανῆ τὴν ἐκείνων αἴσθησιν. Τοῦτο δ᾽ ἐν
τῷ ἀνθρώπῳ ἐστὶ καταδηλότερον· πρῶτον μὲν διὰ τῆς ἐγγινο-
μένης τοῖς τε τέκνοις καὶ τοῖς τεκοῦσι πρὸς ἀλλήλους στοργῆς
ἣ καὶ διαλύεσθαι εἰ μὴ δι᾽ ἄγους μυσαροῦ τινος οὐχὶ δύναται.
ἔπειτα δέ, ὅταν φιλική τις ὁμοία διάθεσις ἐνεφύη, εἴ τινα που
εὕροιμεν, οὗ τοῖς τρόποις καὶ τῇ φύσει προςαρμοζόμεθα, ὅτι
φῶς ἐν αὐτῷ τι καλοκἀγαθίας καὶ ἀρετῆς ἐνορᾶν δοκοῦμεν.
28 *Οὐδὲν γὰρ ἐρασμιώτερόν ἐστι τῆς ἀρετῆς· οὐδὲν πρὸς τὸ φι-*
λεῖν τοὺς ἀνθρώπους ἐπισπώμενον μᾶλλον· ἐπειδήπερ τῆς ἀρε-
τῆς καὶ καλοκἀγαθίας ἕνεκα καὶ τῶν οὐδέποτε ὀφθέντων ἡμῖν
ὅμως ἐρῶμεν. Τίς γοῦν Γαΐου Φαβρικίου ἢ Μανίου Κου-
ρίου μὴ μετ᾽ ἀγάπης καὶ εὐνοίας τινὸς μνήμην ποιεῖται, κἂν
μηδέποτ᾽ ἐκείνους ἰδών; τοὐναντίον δὲ τίς οὐ Ταρκύνιον τὸν
Ὑπερήφανον ἢ Σπορίους ἄμφω τόν τε Κάσσιον καὶ τὸν Μί-
λιον μισεῖ; Πρὸς δύο στρατηγοὺς περὶ τῆς ἀρχῆς κατὰ τὴν
Ἰταλίαν ἀγὼν ἡμῖν ἐγένετο, Πύῤῥον καὶ Ἀννίβαν· καὶ θατέ-
ρου μὲν διὰ τὴν εὐγνωμοσύνην αὐτοῦ οὐκ ἀλλοτρίως εἰςέτι νῦν
ἔχομεν· τὸν δ᾽ ἕτερον διὰ τὴν ἐκείνου ὠμότητα διὰ παντὸς ἡ
πόλις ἥδε μισήσει.

---

27 *πᾶν — προςόν*] *Quidquid in ea est*, sic vulgo: *quicquid est* Beier. *quidquid est* Orell.

διά τε τῆς — θᾶττον] Non satis commode reddita sunt verba Ciceronis *applicatione animi*, quae locutio translata est a racemis vitis se admoventis ad ulmos, recte observante Beiero. *Προςβολή* est *incursus*, *accessus violentior*, *impetus*, *appulsus* vd. Lexica. *Applicare se* (vd. infra Cap. 9. 14. 21.) i. q. *προςπλέκεσθαι — περιπλέκεσθαι — προςάπτειν αὐτόν — προςαρμόζειν αὐτόν.* Pro *θᾶττον* i. e. *magis* corr. *μᾶλλον*.

ὅταν — ἐνεφύη] De Aor. II. Passiv. *ἐφύην*, quo Hippocrates et scriptores posteriores (Christiani quoque Lucas VIII, 6. 8.) usi sunt, vd. Buttmann. Gr. ampl. Vol. II. p. 252. De structura soloeca v. *ὅταν* c. Indic. supra iam monuimus.

28 *Μανίου Κουρίου*] Beierus auctoritate Cod. Lips. *a.*, in quo additum est *Coruncani*, post *M'. Curi* interposuit *Ti. Coruncani*, ut tres boni viri opponerentur totidem improbis. Mihi fides huius lectionis in Cod. chartaceo saec. XVI. suspecta videtur, item Orellio.

Μίλιον] scribe *Μαίλιον*. Vd. annot. ad Cat. cp. 16.

IX. Τοσαύτην οὖν ἐχούσης ἰσχὺν τῆς καλοκἀγαθίας, 29
ὥςτε ταύτης κἂν τοῖς οὐδεπώποθ᾽ ὁραθεῖσιν, ἢ καὶ ἐν τῷ πολεμίῳ, ὃ μεῖζον εἶναι δοκεῖ, ἡμᾶς ἐρασθῆναι· τί χρὴ θαυμάζειν, εἴ τι πάσχουσιν αἱ ψυχαί, ὅτε τούτων, οἷς ἂν συνάπτονται, τὴν ἀρετὴν καὶ χρηστότητα κατανοεῖν δοκοῦσι; Καίτοι κρατύνεται ἡ ἀγάπησις ἐξ ὧν ἢ εὐεργετήθη τις ἢ τὴν ἑτέρου περὶ ἑαυτὸν ἐπέγνω σπουδήν, ἐὰν καὶ ἐπιμιξία προςγένοιτο. Τούτων οὖν τῇ πρώτῃ ἐκείνῃ κινήσει ψυχῆς καὶ φίλτρου προςτεθέντων, ὑπερβάλλον τι μέγεθος τῆς εὐνοίας ἐξάπτεται. Ἣν εἴ τις ἐξ ἀσθενείας ὁρμᾶσθαι οἴεται, ὅπως εἴη δηλαδή, δι᾽ ἧς τοῦ ποθουμένου ἐφικέσθαι δυνηθῇ· ταπεινὴν ὄντως καὶ οὐχὶ γενναίαν, ἵνα οὕτως εἴπω, τῆς φιλίας προβολὴν ἀπολείπει, ἣν ἐξ ἐνδείας καὶ πτωχείας φῦναι βούλεται. Εἰ δὴ οὕτως ἔχοι τὸ πρᾶγμα· ἀκόλουθον ἦν, ὅπως ἄν τις ἐλάχιστα κεχορηγημένον νομίζοι ἐκ πάντων ἑαυτόν, κατὰ τοῦτο πρὸς τὴν φιλίαν ἐπιτηδειότατον εἶναι· ἀλλά τοι τοὐναντίον ἐστὶν ἀληθές. Ὅσῳ 30
γὰρ ἄν τις ἑαυτῷ μάλιστα πέποιθε καὶ τῇ ἀρετῇ τε καὶ σοφίᾳ μάλιστα περιπέφρακται, ὡς μηδενὸς ἐνδεᾶ γενέσθαι καὶ ἐν ἑαυτῷ πάντα τὰ ἑαυτοῦ κεῖσθαι νομίζειν· τόσῳ δὴ πρὸς τὸ μετιέναι τὰς φιλίας καὶ περιέπειν πάντων κράτιστα παρεσκεύασται. Τί γάρ; μῶν ὁ Ἀφρικανὸς ἐμοῦ ἐνδεῶς εἶχεν; οὐ μὲν οὖν, μὰ τὸν Ἡρακλέα· ἀλλ᾽ οὐδ᾽ ἐκείνου ἐδεόμην ἐγώ· ἐκ δὲ τοῦ τὴν αὐτοῦ θαυμάζειν ἀρετὴν ἐμέ, κἀκεῖνον δὲ ἔστιν ἥντινα περὶ τῶν ἐμῶν ὑπόληψιν λαβεῖν, ἐφίλησεν ἐμέ, καὶ ἡ συνήθεια τὴν εὔνοιαν ἐπηύξησεν. Ἀλλ᾽ εἰ καὶ πολλαὶ καὶ μεγάλαι ὠφέλειαι ἐντεῦθεν ἠκολούθησαν· οὐ μέντοι ἐκ τῆς τούτων ἐλπίδος αἱ τοῦ φιλεῖν συνέστησαν ἀφορμαί. Καθάπερ γὰρ ἡμεῖς 31

IX. ὁραθεῖσιν] Hic Aoristus obtinet apud posteriores scriptores pro ὀφθεῖσιν. 29

ἐρασθῆναι] *Diligere* i. q. φιλεῖν vd. Passov. Lex. et Rost. Lex. Germ. Graec. s. *Lieben.*

οἷς ἂν συνάπτονται] Ἂν cum Indicativo Praesentis strui nequit vd. Matth. Gr. gr. Vol. II. §. 599. 2. e.; h. l. συνάπτοιντο Petavio erat scribendum, cum *quibuscum usu coniuncti esse possint* exhibeat pro vulgata *possunt:* omisit *usu.* Equidem convertendum censeo οἷς συνηθείᾳ συνάπτεσθαι δύνανται.

ἐὰν — προςγένοιτο] De hac soloeca constructione vd. nos supra. De sententia vd. Plutarch. de multit. amicor. Vol. VII. p. 290. Hutten.: ἡ ἀληθινὴ φιλία τρία ζητεῖ μάλιστα, τὴν ἀρετήν, ὡς καλόν, καὶ τὴν συνήθειαν, ὡς ἡδύ, καὶ τὴν χρείαν, ὡς ἀναγκαῖον.

προβολὴν — πτωχείας] *Ortus* apud Cic. non est προβολή, sed γένεσις. *Inopia et indigentia* i. q. ἔνδεια καὶ πενία. Πτωχεία est *mendicitas.* Vd. de hoc discrimine Stallb. ad Plat. Apolog. cp. 9. ed. Gothan.

Ὅσῳ γὰρ ἄν τις — πέποιθε] Ἂν et ob verba Latina et ob structuram cum Indicativo ferri nequit, sed eiiciendum est. 30

Καθάπερ — ἐλάχομεν] Petavius, recte, ut Beierus, verba Cice- 31

*μαι τῷ Σκηπίωνι· μᾶλλον δ' ἐμοὶ αὐτῷ ξυνέβη, εἴ τι καὶ ξυν-
έβη ποτέ. τὸ δ' ἐπὶ τοῖς αὐτοῦ δυςτυχήμασιν οὕτω δυςφο-
ρεῖσθαι οὐ τὸν φίλον, ἀλλ' ἑαυτὸν ἀγαπῶντος ἔργον ἐστί.
11 Τὰ δ' ἐκείνου τίς ἂν οὐκ ἐν καλῷ τεθεῖσθαι νομίζοι; Εἰ μὴ
γὰρ τάχα που, ὅπερ οὐ διενοεῖτο, τὴν ἀθανασίαν δι' εὐχῆς
ἔχειν ἠβούλετο· τίνος οὐκ ἐπέτυχεν, ὧν εὔξασθαι θέμις ἐστὶν
ἀνθρώπῳ; ὅςτις τὴν μεγίστην ἐλπίδα τῶν πολιτῶν, ἣν αὐτοῦ
πέρι παιδὸς ἔτι ὄντος εἶχον, αὐτίκα πάσης κρείττονι πίστεως
ὑπερηκόντισεν ἀρετῇ· ὃς τὴν ὑπατείαν οὐ παρήγγειλε μὲν πώ-
ποτε, δὶς δ' ὕπατος ἀπεδείχθη· τὸ μὲν πρῶτον πρωϊαίτερον
τοῦ νενομισμένου καιροῦ, δεύτερον δὲ ὡς πρὸς ἑαυτὸν ἐν ὥρᾳ,
ἀλλ' ὡς πρὸς τὰ τῆς πόλεως πράγματα μικροῦ τοῦ δέοντος
ὀψιαίτερον· ὃς δύο καταστρεψάμενος τῇ ἀρχῇ ἡμῶν ἐχθίστας
πόλεις οὐ μόνον παρόντας, ἀλλὰ καὶ μέλλοντας ἄρδην ἀνεῖλε
τοὺς πολέμους. Τί ἂν εἴποιμι περὶ τοῦ λίαν ἁπλοϊκοῦ καὶ ἀφε-
λοῦς τῶν τρόπων, ἢ περὶ τῆς εἰς μητέρα στοργῆς, ἢ περὶ τοῦ
ἐλευθερίου εἰς τὰς ἀδελφάς, καὶ τοῦ χρηστοῦ καὶ προςηνοῦς
εἰς τοὺς οἰκείους καὶ τοῦ πρὸς ἅπαντας δικαίου; Ἀλλὰ τάδε
γνώριμα μέν ἐστιν ὑμῖν· ἡλίκην δὲ πρὸς αὐτὸν ἀγάπην εἶχεν ἡ
πόλις, τὸ κατὰ τὴν κηδείαν πένθος ἔδειξε. Τί τοίνυν ἐκεῖνος
ὄνασθαι τῆς ὀλίγων ἐνιαυτῶν προςθήκης ἠδύνατο; Τὸ γὰρ γῆ-
ρας, εἰ καὶ βαρὺ οὐκ ἔστι, καθάπερ τὸν Κάτωνα μέμνημαι
ἔτει πρότερον ἢ ἀπέθανεν ἑνὶ πρὸς ἐμέ τε καὶ τὸν Σκηπίωνα
διαλέξασθαι· ἀλλ' ὅμως ἐκεῖνο, ἃ καὶ τότε προςῆν ἔτι τῷ Σκη-
12 πίωνι, τὸ χλωρὸν καὶ ἀκμαῖον ἀφαιρεῖ. Τοιγαροῦν ὁ μὲν βίος
αὐτοῦ τοιοῦτος ἥ τε τύχη καὶ τὸ κλέος γεγένηται, οἷα μηδε-
μίαν δέξασθαι προςαγωγήν· τὴν δὲ τοῦ θανάτου αἴσθησιν τὸ
ταχὺ καὶ ἀκαριαῖον ἔκλεψεν. ὁποῖος δ' ἄρα τουτουῒ τοῦ θανά-
του τρόπος ὑπῆρξεν, ἔργον ἐστὶν εἰπεῖν· ὅ,τι δ' αὖ δι' ὑπο-
ψίας ἔχουσιν οἱ ἄνθρωποι, ὑμεῖς ὁρᾶτε. Τοῦτο μέντοι ἐπ' ἀλη-
θείας λέγειν ἔξεστιν, ὅτι Ποπλίῳ Σκηπίωνι ἐκ τῶν πολλῶν ἡμε-
ρῶν, ἃς παρὰ πάντα τὸν βίον ἐπιφανεστάτας καὶ ποθεινοτάτας
εἶδεν, ἐπισημοτάτη ἀνέτειλεν ἐκείνη, καθ' ἣν τῆς βουλῆς*

---

11 *καταστρεψάμενος — τρόπων*] Non recte redditum est *de moribus facillimis: facilis* i. q. *εὔκολος*, *facilitas morum* i. q. *εὐκολία τῶν τρόπων — εὐπροςηγορία — φιλοπροςηγορία.* Rectius *καταστρέψας*.

Ἀλλὰ τάδε γνώριμα] *Haec nota sunt vobis:* optt. Edd. *Nota sunt vobis.*

εἰ καὶ βαρὺ οὐκ ἔστι] Corr. *μή*. De *εἰ — οὐ* vd. Pflugk. ad Eurip. Med. v. 88. Bernhardy wiss. Syntax p. 386.

διαλέξασθαι] *Διαλεχθῆναι* erat dicendum: *διαλέξασθαι* ap. Homer. i. q. *reputare*, *perpendere* vd. Buttm. Lexil. Vol. II. p. 90., apud Memn. in Phot. Myriob. p. 237, Polyaen. III, 9. 40. i. q. *colloqui*, vd. Poppon. de Graec. verb. med. etc. in Seebod. Archiv. 1829. nr. 59. p. 234. Sic infra Cap. 5, 17. *διαλέξονται* hac significatione exstat.

*ἀφεθείσης ὑπό τε τῶν συγκλητικῶν πατέρων καὶ τοῦ παντὸς
Ῥωμαίων δήμου τῶν τε συμμάχων καὶ τῶν Λατίνων τῇ προ-
τεραίᾳ τῆς τελευτῆς οἴκαδε προεπέμπετο περὶ δείλην ὀψίαν,
ὥςτε ἀφ' οὕτως ὑψηλοῦ τῆς τιμῆς βαθμοῦ εἰς οὐρανὸν μᾶλ-
λον δοκεῖν ἢ εἰς ᾅδου μετασταθῆναι.*

IV. *Οὐ γὰρ ἔγωγε τούτοις συγκαθείμην ἄν, οἳ τὰ τοιαῦτα* 13
*ἔναγχος ἤρξαντο διαθρυλλεῖν, ὅτι αὐταῖς ταῖς ψυχαῖς ἀποθνή-
σκει τὰ σώματα καὶ ὡς ἅπαντα συναφανίζεται τῷ θανάτῳ.
Ἀμέλει πλέον παρ' ἐμοὶ δύναται ἡ τῶν παλαιῶν αὐθεντία, εἴτε
τῶν ἡμετέρων προγόνων; οἵτινες οὕτω σεμνὰ τὰ ὅσια τοῖς νε-
κροῖς ἀπένειμαν, οὐκ ἂν τοῦτο ποιήσαντες, εἰ μηδὲν αὐτοῖς
προςήκειν ᾤοντο· εἴτε τῶν χώραν τήνδε πάλαι κατασχόντων
καὶ τὴν μεγάλην λεγομένην Ἑλλάδα (τὴν νυνὶ μὲν ἀνάστατον
γεγενημένην, τηνικαῦτα δ' ἀκμάζουσαν) τοῖς σφῶν διδάγμασι
καὶ παραγγέλμασι καταρτισάντων· εἴτ' ἐκείνου, ὃν ἀνεῖλεν ὁ
θεὸς τῶν πάντων εἶναι σοφώτατον, ὃς οὐχὶ τοτὲ μὲν τοῦτο,
τοτὲ δ' ἄλλο, ὡς τὰ πολλά, τὸ δ' αὐτὸ ἔλεγεν ἀεί, θείας εἶναι
τὰς τῶν ἀνθρώπων ψυχὰς καί ταύταις μετὰ τὸ τοῦ σώματος
ἀπαλλαγῆναι τὴν εἰς οὐρανὸν ἐπάνοδον ἀναπεπτάσθαι καὶ τὴν
αὐτὴν ἑνὶ ἑκάστῳ τῶν ἄριστα καὶ δικαιότατα βεβιωκότων εὐχε-
ρεστάτην οὖσαν. Ὅπερ καὶ τῷ Σκηπίωνι ξυνεδόκει, ὅςτις οἱο-* 14
*νεὶ προμαντευόμενος πρὸ ὀλίγων πάνυ τοῦ θανάτου ἡμερῶν,
τοῦ τε Φίλου καὶ Μανιλίου καὶ πολλῶν ἑτέρων παρόντων καὶ
ἀμφοῖν ἡμῶν, ὦ Σκαιόλα, παραγενομένων, τρεῖς ὅλας ἡμέ-
ρας περὶ τῆς πολιτείας διελέχθη. καὶ αὕτη σχεδὸν ἡ διατριβὴ
εἰς τὸν περὶ τῆς τῶν ψυχῶν ἀθανασίας λόγον ἐτελεύτησε· καθὰ
νύκτωρ ἀναπαυόμενος ἔφη κατ' ὄναρ ἀκηκοέναι λέγοντος Ἀφρι-
κανοῦ. Εἰ μὲν δὴ οὕτως ἔχει τὸ πρᾶγμα, ὡς τῶν ἀρίστων
ἑκάστου τὴν ψυχὴν ἐν τῷ θανάτῳ ῥᾷστα οἷον ἐκ φυλακῆς καὶ
δεσμῶν τοῦ σώματος ἀφίπτασθαι· τίνι ποτ' εὐκολωτέραν
ἡγησόμεθα γενέσθαι ἢ τῷ Σκηπίωνι τὴν πρὸς τοὺς θεοὺς
ἀναδρομήν; Οὐκοῦν τοιαύτῃ τῇ συντυχίᾳ τἀνδρὸς ἐποδύρε-
σθαι δέδοικα μὴ φθονοῦντος μᾶλλον ἢ φιλοῦντος εἴη. Εἰ
δ' αὖ τῆς ἀληθείας ἔχεται μᾶλλον τὸ τῶν τε ψυχῶν καὶ τῶν*

καὶ—προεπέμπετο] Expressa est lectio *populo Romano, sociis et Latinis* in plerisq. Edd. vd. Beier. Orell.; *populi Romani sociis* Gernh. Pro *προεπέμπετο* scribendum erat *προὐπέμφθη* i. e. *reductus est.* 12

CAP. IV. *συγκαθείμην*] Quum ap. Cic. sit *assentior*, Petavius aut minus recte *συγκαθίεσθαι* pro *συγκατατίθεσθαι* usurpavit, aut *συγκαθείμην* est mendum typographicum pro *συγκαταθείμην*. 13

ἤρξαντο διαθρυλλεῖν] *Disserere* ap. Cic. i. q. *διαλέγεσθαι—διαλογίζεσθαι*. Pro Infinitivo erat ponendum Partic.

ὡς τὰ πολλά] *Ut in plerisque* Beier. Orell. *ut plerique* Gernh.

τοτέ—ἔλεγεν ἀεί] *Dicebat* omis. Beier. Orell.; Petav. bis *τότε*.

σωμάτων ἕνα φάναι καὶ τὸν αὐτὸν ὄλεθρον εἶναι καὶ μηδεμίαν
παραμένειν αἴσθησιν· ἀκόλουθόν ἐστιν, ὥςπερ μηδὲν ἀγαθὸν
τῷ θανάτῳ, οὕτω καὶ κακὸν προςεῖναι μηδέν. Τῆς γὰρ αἰ-
σθήσεως ἀνῃρημένης παραπλήσιόν τι γίνεται, ὡςανεὶ ἁπλῶς
οὐκ ἐγεννήθη ποτέ· καίτοι γεννηθῆναι ἡμεῖς τε χαίρομεν ἐκεῖ-
15 νον ἥ τε πόλις, μέχρις οὗ ἂν περιέσται, χαρήσεται. Τού-
των δὴ ἕνεκα τὰ μὲν κατ' αὐτόν, καθάπερ ἔφην, ὡς βέλτιστα
διατέθειται· τὰ δὲ κατ' ἐμὲ ἀτοπώτερόν πως, ὃν εὐλογώτερον
ἦν δήπου εἰς τὸν βίον παρελθόντα πρότερον καὶ τούτου πρό-
τερον ἀπελθεῖν. Ὅμως μέντοι τῆς ἡμετέρας φιλίας οὕτως ἀπο-
λαύω, ὡς εὐδαιμόνως ζῆσαι δοκεῖν, ὅτι τῷ Σκηπίωνι συνέ-
ζησα, πρὸς ὃν ἐγὼ τὰς ὑπὲρ τῶν πολιτικῶν καὶ τῶν ἰδίων
πραγμάτων φροντίδας ἐμεριζόμην, καὶ τῆς οἰκίας αὐτῷ καὶ
στρατείας ἐκοινώνουν, καὶ ὃ πᾶσαν συνέχει τὴν τῆς φιλίας δύ-
ναμιν θαυμαστή τις ἀλλήλων μεταξὺ τῶν θελημάτων καὶ ἐπι-
τηδευμάτων καὶ γνωμῶν ἡ συμφωνία προςῆν. Τούτου δὴ χά-
ριν οὐ τοσοῦτον αὕτη ἐμὲ τῆς σοφίας ἡ φήμη, ἣν ἄρτι ὁ Φάν-
νιος ἔλεγεν, εὐφραίνει, καὶ ταῦτα ψευδὴς οὖσα, ὅσον ἀείμνη-
στον ἐλπίζειν ἔσεσθαι τὴν ἡμετέραν φιλίαν, ὃ καὶ ἐμοὶ παρὰ
τοῦτο μᾶλλον καταθύμιον ὑπάρχει, ὅτι ἐξ ἁπάντων αἰώνων
μόλις τρία ζεύγη ἢ τέσσαρά που τῶν φίλων ἀπομνημονεύον-
ται· καθὸ δηλονότι καὶ τὴν τοῦ Σκηπίωνος καὶ Λαιλίου φι-
λίαν ἐλπίζειν ἔπεισί μοι γνωρίμην ἂν τοῖς ὕστερον γενέσθαι.
16 ΦΑΝΝΙΟΣ. Τοῦτο μέν, ὦ Λαίλιε, ἀναγκαῖον οὕτως ἔχειν·
ἐπειδὴ δὲ περὶ τῆς φιλίας ἐμνήσθης καὶ ἄλλως δὲ σχολὴν ἄγο-
μεν, κεχαρισμένον ἐμοὶ μάλα τι ποιήσεις, ὡς δ' ἐλπίζω καὶ
τουτῳῒ τῷ Σκαιόλᾳ, εἰ, καθάπερ περὶ τῶν λοιπῶν εἴωθας,
περὶ ὧν ἄν σέ τις ἀνερωτᾷ, οὕτω καὶ περὶ τῆς φιλίας λέγειν
ἐθελήσειας, ὅπως τε φρονεῖς, καὶ ὁποίαν γνώμην ἔχεις, καὶ
εἴ τι καὶ ἐπιτάττειν ἀξιοῖς. ΣΚΑΙΟΛΑΣ. Ἀλλ' ἔμοιγε ἥδι-
στον ἂν εἴη τοῦτο· κἀμοῦ δὲ περὶ τῶν αὐτῶν μέλλοντός σοι
λόγον προςφέρειν, ἔφθασεν ὁ Φάννιος. Οὐκοῦν ἀμφοτέ-
ροις ἡμῖν εὖ μάλα χαριῇ.
17 V. ΛΑΙΛΙΟΣ. Ἀλλ' οὐκ ἂν τὸ πείθεσθαι ὑμῖν ἐβα-
ρυνόμην, εἰ ἐπεποίθειν ἐμαυτῷ. Καὶ γὰρ ἄξιόν τέ ἐστι τὸ
πρᾶγμα καὶ ἡμεῖς γε, ὡς ὁ Φάννιος εἶπε, σχολάζομεν.
Ἀλλὰ τίς εἰμι ἔγωγε; ἢ τίς τοῦ λόγου δύναμις ἔνεστιν ἐμοί;
Τῶν λογίων ἔθος ἐστὶ τοῦτο, μάλιστα δ' Ἑλλήνων, ὡς προ-
τίθεσθαι αὐτοσχεδίως ὁτιοῦν αὐτοῖς, περὶ οὗ αὐτοσχεδιά-
ζοντες μάλα διαλέξονται. Μέγα δὴ ἔργον τοῦτο καὶ οὐκ

---

14 χαρήσεται] Χαιρήσω apud Atticos in usu. Vd. Matth. Gr. Vol. I. §. 255.

15 ζῆσαι — συνέζησα] Attici Aor. II. verb. βιοῦν usurpant. γνωρίμην] Corr. γνώριμον pro mendoso γνωρίμην.

ὀλίγης ἀσκήσεως δεόμενον. Ὅσα τοίνυν περὶ τῆς φιλίας λέγεσθαι οἷά τέ ἐστι, παρὰ τῶν ἐπαγγελλομένων τὰ τοιαῦτα αἰτητέον ὑμῖν. ἐγὼ δὲ παρακελεύεσθαι μόνον ὑμῖν δύναμαι εἰς τὸ πάντων τῶν ἀνθρωπίνων φιλίαν προτιμᾶν· οὐδὲν γὰρ οὕτως ἁρμόζον ἐστὶ τῇ φύσει, οὔτ' ἐπιτήδειον οὕτω εἴτε πρὸς τὰς τοῦ βίου εὐπραξίας εἴτ' οὖν κακοπραξίας. Ἀλλὰ τὸ μὲν 18
πρῶτον οὕτω φρονῶ, οὐκ ἄλλως ἢ μεταξὺ τῶν ἀγαθῶν τὴν φιλίαν εἶναι δύνασθαι· οὐδὲ ταῦτά μοι πρὸς ἀκρίβειαν ἐξετάζειν πρόκειται νῦν, καθάπερ τοῖς περὶ τῶνδε λεπτολογεῖν ἐπιβαλομένοις, τάχα μὲν ἀληθῶς, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον οὐχ ἱκανῶς. οὐδένα γὰρ ἄνδρα φασὶν ἀγαθὸν εἶναι εἰ μὴ σοφόν. Ἔστω δὴ οὕτως· ἀλλ' ἐκείνην νοοῦσι τὴν σοφίαν, ἧς οὐδείς πω θνητὸς ἐπέτυχεν· ἡμεῖς δὲ τὰ ἐν χρήσει κοινῇ καὶ βίῳ ἐπιπολάζοντα, οὐ τὰ ὀνειροπολούμενα καὶ δι' εὐχῆς ὄντα μόνης ἐλπίζειν ὀφείλομεν. Ἀμέλει οὐκ ἐγώ ποτε Γάϊον Φαβρίκιον καὶ Μάνιον Κούριον καὶ Τίτον Κορουγκανόν, τοὺς ὑπὸ τῶν ἡμετέρων προγόνων ἐπικριθέντας σοφούς, ὡς πρὸς τὸν ἐκείνων κανόνα φαίην ἂν σοφοὺς ὑπάρξαι. Οὐκοῦν αὐτοὶ ἑαυτοῖς ἐχέτωσαν τὸ ἐπίφθονον τόδε καὶ ἄσημον ὄνομα τῆς σοφίας· κἀκείνους ἡμῖν συγχωρείτωσαν ἄνδρας ἀγαθοὺς γενέσθαι. Ἀλλ' οὐ τοῦτο δοῖεν ἄν· ἀρνήσονται δὲ μὴ ἑτέρῳ μηδενὶ πλὴν τοῦ σοφοῦ παραχωρεῖσθαι δεῖν. Τούτου γοῦν πέρι ἐν τύπῳ διορίσωμεν. Τοὺς δ' οὕτως ἀναστρεφομένους καὶ 19
βιοῦντας, ὡς τὴν πίστιν αὐτῶν καὶ καλοκἀγαθίαν καὶ εὐγνωμοσύνην καὶ ἐλευθερίαν ὑπὸ πάντων δοκιμάζεσθαι, μηδεμίαν τ' αὖ ἐκείνων ἐπιθυμίαν ἢ ἀκολασίαν ἢ θρασύτητα καταγνωσθῆναι, προσεῖναι δ' οὐχ ἥκιστα καὶ τὸ τῶν τρόπων εὐσταθές, οἷοί περ ἦσαν οἱ μικρῷ πρότερον ὀνομασθέντες· τούτους ἄντικρυς ἀγαθοὺς ἄνδρας, ὡς τότε διεφημίζοντο, καὶ δὴ χρῆναι λέγειν ὁμολογῶμεν, ἐπειδή, καθόσον ἀνθρώπῳ δυνατόν, τῇ φύσει παρακολουθοῦσι, βελτίστῃ βίου τοῦ ὀρθῶς ἔχοντος ἡγεμόνι. Ὧδε γάρ πως κατανοεῖν μοι δοκῶ, οὕτως

CAP. V. *κακοπραξίας*] Non est vocabulum Graecum, sed *κακοπραγία*: at *εὐπραγία* et *εὐπραξία* in usu sunt. Supra Petav. ὅ, τι οὖν. 17
ἐλπίζειν ὀφείλομεν] *Sperare* lect. deterior pro vulg. *spectare*. 18
Τίτον Κορουγκανόν] Secutus est scripturam malam *Coruncanum* pro *Coruncanium* vd. annotat. mea ad Caton. Mai. Cap. 6.
Τούτου — διορίσωμεν] Non expressa sunt verba *ut aiunt*, quae Beierus, quum in Cod. Oxon. η et Lips. α. omittantur, uncis inclusit. Recte Petavius interpretatus est verba *agamus pingui Minerva ἐν τύπῳ διορίσωμεν* (vd. de locutionibus *ἐν τύπῳ εἰπεῖν* Ast. ad Plat. Polit. p. 473. *λέγειν* etc Steph. Thes. L. Gr. T. IV. p. 1691.); nam h. l. *pingui Minerva* interprete Gernhardo est non subtili ac spinosa disputatione, sed ad vulgarem opinionem et populari oratione.
δοκῶ] Correxi pro *δωκῶ*. 19

ἡμᾶς πεφυκέναι, ὡς πάντων μεταξὺ ἑταιρεῖαν ἐνυπάρχειν τινά,
καὶ ταύτῃ μείζονα, ᾗ ἐγγυτέρω τις προςήκει. Ὅθεν ἀκόλου-
θόν ἐστι τοὺς πολίτας προκρίνεσθαι δεῖν τῶν ξένων, καὶ τῶν
ἀλλοτρίων τοὺς οἰκείους· ἐπειδὴ ξὺν τούτοις τὴν φιλίαν ἡ φύ-
σις ἀπέτεκεν· οὐ μέντοι ἱκανὸν αὕτη τὸ βέβαιον ἔχει. ἡ γὰρ
φιλία τῆς οἰκειότητος κατὰ τοῦτο διενήνοχεν, ὅτι τῆς μὲν οἰ-
κειότητος ἐνδέχεται χωρίζεσθαι τὴν εὔνοιαν, τῆς δὲ φιλίας οὐκ
ἔνι· δῆλον γὰρ ὅτι περιῃρημένης τῆς εὐνοίας οἴχεται τὸ τῆς
20 φιλίας ὄνομα, μένει δὲ τὸ τῆς οἰκειότητος. Ὁπόση δὲ τῆς φι-
λίας ἐστὶ δύναμις, ἐντεῦθεν μάλιστα καταμανθάνειν ἔξεστιν,
ὅτι ἐξ ἀπείρου καὶ οὐχ ὡρισμένης τινὸς ἑταιρείας τοῦ γένους
ἀνθρωπίνου, ἣν ἡ φύσις αὐτὴ συνέστησεν, οὕτω συνῄρηται τὸ
πρᾶγμα καὶ εἰς τὸ στενὸν περιέστη, ὡς πᾶσαν τὴν ἀγάπην ἢ
δυεῖν μεταξὺ ἢ ὀλίγων συνάπτεσθαι.

VI. Ἔστι δὲ ἄλλο μηδὲν ἡ φιλία πλὴν ἁπάντων τῶν
τε θείων καὶ τῶν ἀνθρωπίνων μετ' εὐνοίας καὶ ἀγάπης ἡ με-
γίστη συμφωνία· ἧς οὐκ οἶδ' ὅ, τι βέλτιον, μόνης ἐξαιρομένης
τῆς σοφίας, ὑπὸ τῶν θεῶν τοῖς ἀνθρώποις δεδώρηται. Οἱ
μέν τινες προτιμῶσι τὸν πλοῦτον, ἄλλοι δὲ τὴν εὐεξίαν, ἕτεροι
δ' αὖ τὴν δύναμιν, οἱ δὲ τὰς τιμάς, οἱ δὲ πολλοὶ τὰς ἡδονάς.
Ἀλλὰ τὸ ἔσχατον τουτὶ τῶν κτηνῶν ἐστι μᾶλλον ἴδιον, τὰ δὲ
πρὸ αὐτοῦ εὐμετάπτωτα τυγχάνει ὄντα καὶ ἀστάθμητα, οὐ
τοσοῦτον ἐν τῇ ἡμῶν εὐβουλίᾳ, ὅσον ἐν τῷ προπετεῖ τῆς τύ-
χης καὶ ἀγχιστρόφῳ κείμενα. Οἱ δὲ τὸ τῶν ἀγαθῶν ἀκρότα-
τον ἐν τῇ ἀρετῇ τιθέμενοι κάλλιστα μὲν οὗτοι φιλοσοφοῦσι·
πλὴν ἡ αὐτὴ τὴν φιλίαν ἀρετὴ γεννᾶν οἶδε καὶ συγκροτεῖν·
21 οὐδὲ γὰρ ἀρετῆς δίχα συστῆναι τὴν φιλίαν ἐνδέχεται. Ἀλλ' ἡ-
μεῖς ἀρετὴν δὴ ταύτην ἐκ τῆς τοῦ βίου συνηθείας καὶ τῆς ἐπι-
χωριαζούσης παρ' ἡμῖν λέξεως ἐξηγώμεθα· μήτ' αὐτήν, καθὶ
τῶν ἐλλογίμων τινές, τῇ τῶν ῥημάτων σεμνότητι μετρεῖν ἀξιῶ-

ὑπὸ πάντων δοκιμάζεσθαι] Apud Ciceronem non est ὑπὸ πάν-
των.
20 Ὁπόση δὲ τῆς φιλίας κτλ.] Aristot. Eth. VIII, 7. Πολλοῖς δ' εἶναι
φίλον κατὰ τὴν φιλίαν οὐκ ἐνδέχεται, ὥςπερ οὐδ' ἐρᾶν πολλῶν ἅμα.
IX, 10. Οὐ γίγνονται γὰρ φίλοι πολλοὶ κατὰ τὴν ἑταιρικὴν φιλίαν· αἱ
δ' ὑμνούμεναι ἐν δυσὶ λέγονται. Correxi συνέστησεν pr. συνέστησου.
CAP. VI. Ἔστι — μηδέν] Corr. οὐδὲν.
οἱ δὲ πολλοί] Πολλοὶ δέ erat dicendum: differunt enim οἱ πολ-
λοί et πολλοί vd. Passov. Lex. Vol. II. p. 513. f). Matth. Gr.
gr. Vol. II. §. 266.
τὰ δὲ πρὸ αὐτοῦ] *Illa autem superiora* interpretare τὰ δ' ἐπά-
νω — ὄπισθεν vd. Lobeck. ad Phryn. p. 11.
τὸ τῶν ἀγαθῶν ἀκρότατον] *Summum bonum* a Stoicis dicitur τὸ
τέλος vd. Tennemann. Gesch. d. Philos. Vol. IV. p. 78.
21 ἀρετὴν δὴ ταύτην] Apud Ciceronem tantum exstat *virtutem*:
τὴν ante ἀρετήν erat addendum.

*μεν· καὶ δῆτα ἄνδρας ἀγαθοὺς τοὺς ὑπὸ πάντων ἐγκρινομέ-
νους ἀριθμῶμεν, τοὺς Παύλους, Κάτωνας, Γάλλους, Σκη-
πίωνας, Φίλους· τοιούτοις γὰρ ὁ κοινὸς ἀρκεῖται βίος· ἐκεί-
νους δὲ παραλείπωμεν, οὓς πάντας οὐδαμοῦ ἂν εὑρεῖν ἔχοις.
Τοιούτων οὖν ἀνδρῶν ἡ πρὸς ἀλλήλους φιλία τοσαύτας παρέ-
χει τὰς ὠφελείας, ὅσας οὐ δύναμαι τῷ λόγῳ περιλαβεῖν. Καὶ* 22
*ἵνα ἐντεῦθεν ἄρξωμαι, τίνι ποτὲ βιωτὸς ἂν ὁ βίος εἴη, ὥς φη-
σιν Ἔννιος, ὃς τῇ ἐξ ἀμοιβῆς εὐνοίᾳ φίλου τινὸς οὐκ ἐπανα-
παύεται; Τί γλύκιόν ἐστιν ἢ κτήσασθαί τινα, πρὸς ὃν ἐκφέ-
ροις ἂν ἀδεῶς ἅπαντα τῷ λόγῳ οὐχ᾽ ἧττον ἢ πρὸς ἑαυτόν;
Ποῦ δ᾽ ἂν εἴη τοσαύτη ἐν ταῖς εὐτυχίαις ἡδονή, μὴ παρόντος
τοῦ συνησθησομένου ταύταις ἐξ ἴσου σεαυτῷ; Τῶν δὲ δυστυ-
χιῶν ἣν ἂν χαλεπὸν ἀνέχεσθαι ἄνευ τοῦ κἂν βαρύτερόν σου ταύ-
τας ἐνεγκεῖν παρεσκευασμένου. Τὸ δὲ τελευταῖον ἐπὶ μὲν τῶν
λοιπῶν, ὧν ὀρέγονται οἱ ἄνθρωποι, τὰ καθ᾽ ἕκαστα σχεδὸν
πρὸς ἕκαστ᾽ ἄττα συμφέρει μόνον· οἷον δὴ λέγω· ὁ πλοῦτος
πρὸς τὸ χρήσασθαι· ἡ περιουσία εἰς τὸ θεραπείας τυχεῖν· αἱ
τιμαὶ πρὸς τὸ εὐφημεῖσθαι· αἱ ἡδοναὶ πρὸς τὴν εὐφροσύνην·
ἡ ὑγίεια, ὅπως ἐκφεύγῃς τὴν ἀλγηδόνα καὶ τὸ σῶμα ἔνεργον
ἔχῃς· ἡ δὲ φιλία πολλὰς χρείας παρέχεται· ὅπῃ γὰρ ἂν σὺ
τραπῇ, πάρεστιν· οὐδεὶς αὐτὴν ἀποτειχίζει τόπος· οὐκ ἄκαι-
ρός ἐστί ποτε οὔτ᾽ ἀηδής. Οὐκουν ὕδατι οὐδὲ πυρί, ὥς
φασιν, χρώμεθ᾽ ἐπὶ πλέον ἢ φιλίᾳ. φιλίαν δ᾽ ὅταν λέγω,
οὐ τὴν δημώδη φημί, οὐδὲ τὴν μετρίαν, καίτοι σὺν ὠφελείᾳ
τέρψιν φέρουσαν καὶ αὐτήν, ἀλλὰ τὴν ἀληθινὴν καὶ τελείαν,
ὁποία τινῶν κομιδῇ εὐαριθμήτων γέγονε. Τάς τε γὰρ ἀγα-
θὰς τύχας ἡ φιλία λαμπροτέρας ποιεῖ καὶ τὰς ἐναντίας διὰ
τοῦ μερίζεσθαι καὶ κοινωνεῖν ἐλαφροτέρας.*

VII. *Ἐκ πολλῶν μέντοι καὶ μεγίστων ὀνήσεων, ἃς ἡ φι-* 23
*λία χορηγεῖν εἴωθε, περὶ πλείστου ποιητέα ἐστὶν ἥδε, ὅτι χρη-
στὴν ἐλπίδα εἰς ὕστερον ὑποφαίνει οὔτε καθυφίεσθαι τὸν θυ-
μὸν ἐᾷ καὶ ἀποκάμνειν. Ὁ γὰρ εἰς τὸν ἀληθινὸν φίλον ὁρῶν
οἷον ἑαυτοῦ παράδειγμα θεωρεῖ. Τοιγαροῦν καὶ ἀπόντες πάρ-
εισι καὶ ἐνδεεῖς ὄντες πλεονάζουσι καὶ ἀσθενοῦντες ἐῤῥω-
μένοι εἰσὶ καὶ (ὃ τῷ λόγῳ δυσχερέστερόν ἐστι) ζῶσιν ἀποθα-
νόντες. Τοσαύτη γοῦν ἐκείνοις τιμὴ καὶ μνήμη καὶ πόθος τῶν
φίλων παρέπεται. ὅθεν κἀκείνων μακαριστὸς ὁ θάνατος καὶ
τούτων ὁ βίος ἐπαίνου ἄξιος δοκεῖ. Ἐὰν δ᾽ ἄρα τις ἐκ τῆς*

Ποῦ — ἡδονή] Secutus est Petav. lectionem *qui* a Beiero quo- 22
que receptam, quem vide; alii, ut Gernhard. Orell., *quis*.

περιουσία] *Opes* h. l. non sunt divitiae, sed potentia, auctoritas et gratia, i. e. *δύναμις — ἀξίωμα*.

Cap. VII. *Ὁ γὰρ — ὁρῶν*] Secutus est Petav. lect. *verum ete-* 23
nim; Gernh. *verum etiam*, recte Beierus et Orell. *verum enim*.
Intueri h. l. i. q. *ἀποβλέπειν*. Infra post *δοκεῖ* erata ddendum *εἶναι*.

τῶν ὄντων φύσεως τὴν κατ' εὔνοιαν συνάφειαν ἐξαιρῇ· μηδεμία μήτ' οἰκία μήτε πόλις στῆναι δυνήσεται, ἀλλ' οὐδ' ἡ γεωργία παραμενεῖ. Τοῦτο δ' ἦν τις οὔπω ξυνίεναι οἷός τε ᾖ, ὅσην ἔχει δύναμιν ἡ φιλία καὶ ὁμόνοια, ἐκ τῶν στάσεων καὶ διχονοιῶν ἔστι καταγινώσκειν. Τίς γὰρ οὕτω καλῶς ἐρηρεισμένος οἶκος ἢ ἀσφαλὴς οὕτω πόλις, ἣ μὴ δι' ἀπεχθειῶν καὶ διαφωνιῶν πρόῤῥιζος ἂν ἀνατραπῇ; Ἔνθεν, ὅσον ἐν τῇ
24 φιλίᾳ τἀγαθὸν ἔνεστι, ῥᾴδιον ἂν εἴη διακρίνειν. Ἀκραγαντῖνον μὲν οὖν τινά φασι λόγιον ἄνδρα δι' ἑλληνικῶν ἐπῶν μαντεύσασθαι, πάντα τὰ ἐν τῇ φύσει καὶ ἐν ὅλῳ τῷ κόσμῳ συνεστῶτα καὶ κινούμενα ὑπό τε τῆς φιλίας εἰς ἓν συνάγεσθαι, καὶ ὑπὸ τοῦ νείκους διασκεδάννυσθαι. Καὶ τοῦτο δὴ πάντες ξυνιᾶσιν οἱ ἄνθρωποι καὶ πιστοῦνται οἷς πράττουσιν. Αὐτίκα γάρ, εἴ τι φίλου κατόρθωμα παρεισάγεται, ἐν ᾧ τοὺς κινδύνους ὑποστῆναι ἢ τούτων συμμετέχειν τινί· τίς οὐχὶ διὰ τῆς γενομένης εὐφημίας ἄγει τὸ πραχθέν; Οἵαι διὰ τῶν ἑδωλίων ἀναβοήσεις πρώην ἐχώρουν ἐν τῷ θεάτρῳ τοῦ ξένου ἐμοῦ καὶ φίλου Μάρκου τοῦ Πακουίου, ὅτε δρᾶμα νέον ἐδιδάσκετο, ἡνίκα βασιλέως ἀγνοοῦντος, ὁπότερος ἦν ἀμφοῖν ὁ Ὀρέστης, ὁ μὲν Πυλάδης Ὀρέστης εἶναι δυσχυρίζετο, ὅπως ἀντ' αὐτοῦ κτείνοιτο, ὁ δ' Ὀρέστης, ὥσπερ καὶ ἦν ἀληθῶς, Ὀρέστην ἑαυτὸν διετέλει φάσκων εἶναι! Οἱ δὲ θεαταὶ ἑστῶτες ἐκρότουν ἐπὶ τῷ μηδέποτε γενομένῳ πράγματι. Τί γοῦν οἰώμεθ' ἂν ἐπ' ἀληθεῖ πράξειν αὐτούς; Τότε ῥᾳδίως ἡ φύσις αὐτὴ τὴν ἑαυτῆς ἰσχὺν ἐνεδείκνυ, ὁπόταν οἱ ἄνθρωποι, ἃ δι' ἑαυτῶν πράττειν οὐκ ἠδύναντο, τοῦτο καλῶς πράττεσθαι ἐφ' ἑτέρου ἔκρινον. Μέχρι τούτου περὶ τῆς φιλίας ὅ,τι περ ἐφρόνουν μάλιστα, διεξελθεῖν μοι δοκῶ. Εἰ δὲ πέρα τῶν εἰρημένων λοιπόν τί ἐστι (πολλὰ δ' εἶναι νομίζω)· παρὰ τῶν διαλέγεσθαι περὶ τῶν τοιούτων ἐπαγγελλομένων, εἰ δοκεῖ ὑμῖν, ἐπιζητεῖτε. ΦΑΝ-
25 ΝΙΟΣ. Ἀλλ' ἡμεῖς γε παρά σου μᾶλλον. καίτοι πολλάκις κἀκείνους ᾐτησάμην· καὶ οὐκ ἀηδῶς μὲν ἤκουσα· πλὴν ἑτέρας τι-

---

ὅσον — τἀγαθόν] *Quantum boni*, scribe ὅσον — ἀγαθόν.

24 Ἀκραγαντῖνον — ἐπῶν] Empedoclis Agrigentini versus sunt ap. Sext. Empir. adv. Phys. IX, 10.

Πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ ἠέρος ἤπιον ὕψος
Νεῖκός τ' οὐλόμενον δίχα τῶν ἀτάλαντον ἁπάντη,
Καὶ φιλότης μετὰ τοῖσιν ἴσον μῆκός τε πλάτος τε.

ἐνεδείκνυ] Vd. nos de hac forma Imperf. ad Cic. Somn. Scip. Cap. 2

ὁπόταν — ἔκρινον] Ὁπότε erat scribendum.

εἰ δοκεῖ ὑμῖν] Vulgo *si videbitur*, sed Petav. secutus est lect. *si videtur.*

25 παρά σου] *Παρὰ σοῦ* erat exhibendum vd. Matth. Gr. Vol. I. p. 87.; aliter statuit ib. Reisig. Coniect. in Aristoph. p. 56.

γὸς δεόμεθα τῆς τοῦ σοῦ λόγου κατασκευῆς. ΣΚΑΙΟΛΑΣ. Μᾶλλον μὲν οὖν οὕτως ἂν φαίης, ὦ Φάννιε, εἰ πρώην εἰς τοὺς Σκηπίωνος κήπους παρεγένου, ὁπηνίκα περὶ τῆς πολιτείας διατριβή τις γέγονεν. Οἷος τότε τῆς δικαιοσύνης συνήγορος πέφηνε πρὸς τὸν ἀκριβῆ τοῦ Φίλου λόγον ἀντιταττόμενος! ΦΑΝΝΙΟΣ. Οὐ γὰρ ἔργον ἦν δῆτα τῷ δικαιοτάτῳ ἀνδρὶ ὑπὲρ δικαιοσύνης ἀπολογήσασθαι. ΣΚΑΙΟΛΑΣ. Τί γοῦν ὑπὲρ φιλίας; πῶς οὐκ εὔκολον ἔσται τούτῳ περὶ αὐτῆς εἰπεῖν, ὃς τοῦδε ἕνεκεν, ὅτι μετὰ τῆς ἐνδεχομένης πίστεως καὶ καρτερίας καὶ δικαιοσύνης ἐκείνης ἀντιπεποίηται, εἰς ὑπερφυῆ τινα παρὰ πᾶσιν ἔφθασεν εὐδοξίαν;

VIII. *ΛΑΙΛΙΟΣ. Ἀλλὰ τοῦτο ἄντικρύς ἐστιν ἀνάγ-* 26
κην προσάγειν. Τί γὰρ διαφέρει, ὁποῖον ἐμὲ βιάζεσθε τρόπον; βιάζεσθε μὲν οὖν. Καὶ γὰρ πρὸς τὰς τῶν γαμβρῶν σπουδάς, μάλιστα δὲ περὶ καλόν τι γενομένας, ἀντιτείνειν οὐ μόνον χαλεπόν ἐστιν, ἀλλ' οὐδὲ δίκαιον. Ἐμοὶ τοίνυν τὰ περὶ τῆς φιλίας πλειστάκις ἐνθυμουμένῳ πρὸ πάντων ἐκεῖνο σκέπτεσθαι δεῖν ἐπῆλθε, πότερον διὰ τὴν ἀσθένειαν καὶ ἔνδειαν ἐξ ἀρχῆς ἐπόθησαν οἱ ἄνθρωποι τὴν φιλίαν, ὅπως διδόντες καὶ δεξάμενοι παρ' ἀλλήλων τὰς εὐεργεσίας τοῦθ' ἕκαστός τις, ὃ μὴ δι' ἑαυτοῦ πάντως ἠδύνατο, παρ' ἑτέρου λαβὼν ἔχοι καὶ ἐν μέρει ἀντιδιδῴη· πότερον δὲ μᾶλλον ἴδιον μέν ἐστι καὶ τοῦτο τῆς φιλίας· οὐ μὴν ἀλλὰ πρεσβυτέρα καὶ καλλίων παρὰ πολὺ καὶ ἀπὸ τῆς φύσεως προσεχέστερον ὡρμημένη αἰτία τις ὕπεστιν. Τὸ γὰρ φιλεῖν, ὅθεν ὀνομάζεται ἡ φιλία, εἰς τὴν τῆς εὐνοίας σύζευξιν προηγεῖται. Τὰς μὲν γὰρ ὠφελείας ὡς τὰ πολλὰ κἂν ἀπ' ἐκείνων καρπώσασθαι δυνατόν, οἵτινες προσποιήσει φιλίας θεραπεύονται καὶ δι' αἰδοῦς ἄγονται τοῦ καιροῦ ἕνεκα·

Ἀλλ' ἡμεῖς—κατασκευῆς] Expressa est lectio Orellio quoque probata: *Nos autem a te potius: quanquam etiam ab istis quaesivi saepe, et audivi non invitus equidem: sed aliud quoddam expetimus filum orationis tuae.* Gernhardus: *—potius: —audivi: non invitus equidem, sed aliud quoddam est filum orationis.* Beierus: *Nos autem a te potius. Quamquam etiam ab istis saepe quaesivi; et audivi non invitus equidem. Sed aliud quoddam filum orationis tuae.*

ὑπερφυῆ] Apud Atticos horum Adiectivv. Accusativus fere terminatur in ᾶ, licet terminationis in ῆ exempla apud optimos scriptores reperiantur vd. Matth. Gr. Vol. I. §. 113. not. 1. Bornem. ad Xen. Memor. 1, 6, 13.

CAP. VIII. *ὁποῖον—τρόπον*] *Qua me ratione cogatis*, sic 26
Beier. Orell. *qua me rogatione* Gernh.

ἀντιδιδῴη] De hac forma deteriore scriptoribus posterioribus usitata pro *ἀντιδιδοίη* cf. Buttmann. Gr. ampl. T. I. p. 526. Lobeck. ad Phryn. p. 343. accuratissime exponentem.

ἐν τῇ φιλίᾳ δὲ οὐδὲν ἔνεστι πλαστὸν οὔτε προςποιητόν· πᾶν
27 δὲ τὸ αὐτῇ προςὸν ἀληθινόν τε καὶ ἑκούσιον ὑπάρχει. Διὸ
ἀπὸ τῆς φύσεως μᾶλλον ἢ ἀπὸ τῆς ἐνδείας ἐμοὶ προελθεῖν
ἡ φιλία δοκεῖ διά τε ψυχικῆς προςβολῆς μετὰ καὶ ἀγαπητι-
κῆς τινος διαθέσεως θᾶττον ἢ διὰ τοιούτου τοῦ λογισμοῦ,
ὁπόση ἐκεῖθεν ὠφέλεια μέλλει γενήσεσθαι. Ὁ δὴ κἀν τοῖς ἀλό-
γοις τισὶ ζώοις ὅπως ἔχει πάρεστιν ἰδεῖν, ἃ τὰ σφῶν ἔκγονα
ἀγαπῶσιν οὕτως ἄχρι τινὸς καὶ ἀγαπῶνται ὑπ᾽ αὐτῶν, ὡς
ῥᾳδίως εἶναι καταφανῆ τὴν ἐκείνων αἴσθησιν. Τοῦτο δ᾽ ἐν
τῷ ἀνθρώπῳ ἐστὶ καταδηλότερον· πρῶτον μὲν διὰ τῆς ἐγγινο-
μένης τοῖς τε τέκνοις καὶ τοῖς τεκοῦσι πρὸς ἀλλήλους στοργῆς
ἣ καὶ διαλύεσθαι εἰ μὴ δι᾽ ἄγους μυσαροῦ τινος οὐχὶ δύναται.
ἔπειτα δέ, ὅταν φιλική τις ὁμοία διάθεσις ἐνεφύη, εἴ τινα που
εὕροιμεν, οὗ τοῖς τρόποις καὶ τῇ φύσει προσαρμοζόμεθα, ὅτι
φῶς ἐν αὐτῷ τι καλοκἀγαθίας καὶ ἀρετῆς ἐνορᾶν δοκοῦμεν.
28 Οὐδὲν γὰρ ἐρασμιώτερόν ἐστι τῆς ἀρετῆς· οὐδὲν πρὸς τὸ φι-
λεῖν τοὺς ἀνθρώπους ἐπισπώμενον μᾶλλον· ἐπειδήπερ τῆς ἀρε-
τῆς καὶ καλοκἀγαθίας ἕνεκα καὶ τῶν οὐδέποτε ὀφθέντων ἡμῖν
ὅμως ἐρῶμεν. Τίς γοῦν Γαΐου Φαβρικίου ἢ Μανίου Κου-
ρίου μὴ μετ᾽ ἀγάπης καὶ εὐνοίας τινὸς μνήμην ποιεῖται, κἂν
μηδέποτ᾽ ἐκείνους ἰδών; τοὐναντίον δὲ τίς οὐ Ταρκύνιον τὸν
Ὑπερήφανον ἢ Σπορίους ἄμφω τόν τε Κάσσιον καὶ τὸν Μέ-
λιον μισεῖ; Πρὸς δύο στρατηγοὺς περὶ τῆς ἀρχῆς κατὰ τὴν
Ἰταλίαν ἀγὼν ἡμῖν ἐγένετο, Πύῤῥον καὶ Ἀννίβαν· καὶ θατέ-
ρου μὲν διὰ τὴν εὐγνωμοσύνην αὐτοῦ οὐκ ἀλλοτρίως εἰςέτι νῦν
ἔχομεν· τὸν δ᾽ ἕτερον διὰ τὴν ἐκείνου ὠμότητα διὰ παντὸς ἡ
πόλις ἥδε μισήσει.

---

27 *πᾶν — προςόν*] *Quidquid in ea est*, sic vulgo: *quicquid est* Beier. *quidquid est* Orell.

διά τε τῆς — θᾶττον] Non satis commode reddita sunt verba Ciceronis *applicatione animi*, quae locutio translata est a racemis vitis se admoventis ad ulmos, recte observante Beiero. *Προςβολή* est *incursus*, *accessus violentior*, *impetus*, *appulsus* vd. Lexica. *Applicare se* (vd. infra Cap. 9. 14. 21.) i. q. *προςπλέκεσθαι — περιπλέκεσθαι — προςάπτειν αὐτόν — προςαρμόζειν αὐτόν*. Pro *θᾶττον* i. e. *magis* corr. *μᾶλλον*.

ὅταν — ἐνεφύη] De Aor. II. Passiv. *ἐφύην*, quo Hippocrates et scriptores posteriores (Christiani quoque Lucas VIII, 6. 8.) usi sunt, vd. Buttmann. Gr. ampl. Vol. II. p. 252. De structura soloeca v. *ὅταν* c. Indic. supra iam monuimus.

28 *Μανίου Κουρίου*] Beierus auctoritate Cod. Lips. *a.*, in quo additum est *Coruncani*, post *M'. Curi* interposuit *Ti. Coruncani*, ut tres boni viri opponerentur totidem improbis. Mihi fides huius lectionis in Cod. chartaceo saec. XVI. suspecta videtur, item Orellio.

Μέλιον] scribe *Μαίλιον*. Vd. annot. ad Cat. cp. 16.

IX. *Τοσαύτην οὖν ἐχούσης ἰσχὺν τῆς καλοκἀγαθίας,* 29
ὥςτε ταύτης κἂν τοῖς οὐδεπώποθ᾽ ὁραθεῖσιν, ἢ καὶ ἐν τῷ πο-
λεμίῳ, ὃ μεῖζον εἶναι δοκεῖ, ἡμᾶς ἐρασθῆναι· τί χρὴ θαυμά-
ζειν, εἴ τι πάσχουσιν αἱ ψυχαί, ὅτε τούτων, οἷς ἂν συνάπτον-
ται, τὴν ἀρετὴν καὶ χρηστότητα κατανοεῖν δοκοῦσι; Καίτοι
κρατύνεται ἡ ἀγάπησις ἐξ ὧν ἢ εὐεργετήθη τις ἢ τὴν ἑτέρου
περὶ ἑαυτὸν ἐπέγνω σπουδήν, ἐὰν καὶ ἐπιμιξία προςγένοιτο.
Τούτων οὖν τῇ πρώτῃ ἐκείνῃ κινήσει ψυχῆς καὶ φίλτρου προς-
τεθέντων, ὑπερβάλλον τι μέγεθος τῆς εὐνοίας ἐξάπτεται. Ἣν
εἴ τις ἐξ ἀσθενείας ὁρμᾶσθαι οἴεται, ὅπως εἴη δηλαδή, δι᾽ ἧς
τοῦ ποθουμένου ἐφικέσθαι δυνηθῇ· ταπεινὴν ὄντως καὶ οὐχὶ
γενναίαν, ἵνα οὕτως εἴπω, τῆς φιλίας προβολὴν ἀπολείπει,
ἣν ἐξ ἐνδείας καὶ πτωχείας φῦναι βούλεται. Εἰ δὴ οὕτως ἔχοι
τὸ πρᾶγμα· ἀκόλουθον ἦν, ὅπως ἂν τις ἐλάχιστα κεχορηγη-
μένον νομίζοι ἐκ πάντων ἑαυτόν, κατὰ τοῦτο πρὸς τὴν φιλίαν
ἐπιτηδειότατον εἶναι· ἀλλά τοι τοὐναντίον ἐστὶν ἀληθές. Ὅσῳ 30
γὰρ ἄν τις ἑαυτῷ μάλιστα πέποιθε καὶ τῇ ἀρετῇ τε καὶ σοφίᾳ
μάλιστα περιπέφρακται, ὡς μηδενὸς ἐνδεᾶ γενέσθαι καὶ ἐν
ἑαυτῷ πάντα τὰ ἑαυτοῦ κεῖσθαι νομίζειν· τόσῳ δὴ πρὸς τὸ
μετιέναι τὰς φιλίας καὶ περιέπειν πάντων κράτιστα παρεσκεύα-
σται. Τί γάρ; μῶν ὁ Ἀφρικανὸς ἐμοῦ ἐνδεῶς εἶχεν; οὐ μὲν
οὖν, μὰ τὸν Ἡρακλέα· ἀλλ᾽ οὐδ᾽ ἐκείνου ἐδεόμην ἐγώ· ἐκ δὲ
τοῦ τὴν αὐτοῦ θαυμάζειν ἀρετὴν ἐμέ, κἀκεῖνον δὲ ἔστιν ἥντινα
περὶ τῶν ἐμῶν ὑπόληψιν λαβεῖν, ἐφίλησεν ἐμέ, καὶ ἡ συνή-
θεια τὴν εὔνοιαν ἐπηύξησεν. Ἀλλ᾽ εἰ καὶ πολλαὶ καὶ μεγάλαι
ὠφέλειαι ἐντεῦθεν ἠκολούθησαν· οὐ μέντοι ἐκ τῆς τούτων ἐλ-
πίδος αἱ τοῦ φιλεῖν συνέστησαν ἀφορμαί. Καθάπερ γὰρ ἡμεῖς 31

IX. *ὁραθεῖσιν*] His Aoristus obtinet apud posteriores scriptores pro *ὀφθεῖσιν*. 29

ἐρασθῆναι] *Diligere* i. q. *φιλεῖν* vd. Passov. Lex. et Rost. Lex. Germ. Graec. s. *Lieben*.

οἷς ἂν συνάπτονται] *Ἂν* cum Indicativo Praesentis strui nequit vd. Matth. Gr. gr. Vol. II. §. 599. 2. e.; h. l. *συνάπτοιντο* Petavio erat scribendum, cum *quibuscum usu coniuncti esse possint* exhibeat pro vulgata *possunt:* omisit *usu*. Equidem convertendum censeo *οἷς συνηθείᾳ συνάπτεσθαι δύνανται*.

ἐὰν — προςγένοιτο] De hac soloeca constructione vd. nos supra. De sententia vd. Plutarch. de multit. amicor. Vol. VII. p. 290. Hutten.: *ἡ ἀληθινὴ φιλία τρία ζητεῖ μάλιστα, τὴν ἀρετήν, ὡς καλόν, καὶ τὴν συνήθειαν, ὡς ἡδύ, καὶ τὴν χρείαν, ὡς ἀναγκαῖον.*

προβολὴν — πτωχείας] *Ortus* apud Cic. non est *προβολή*, sed *γένεσις*. *Inopia et indigentia* i. q. *ἔνδεια καὶ πενία*. *Πτωχεία* est *mendicitas*. Vd. de hoc discrimine Stallb. ad Plat. Apolog. cp. 9. ed. Gothan.

Ὅσῳ γὰρ ἄν τις — πέποιθε] *Ἂν* et ob verba Latina et ob structuram cum Indicativo ferri nequit, sed eiiciendum est. 30

Καθάπερ — ἐλάχομεν] Petavius, recte, ut Beierus, verba Cice- 31

εὐεργετητικοὶ καὶ ἐλευθέριοί ἐσμεν, οὐχ ἵνα τὴν χάριν εἰςπράττωμεν (οὐδὲ γὰρ τὴν εὐεργεσίαν δανείζομεν), ἀλλ᾽ ὅτι πρὸς τὴν ἐλευθεριότητα τὸ ἐπιῤῥεπὲς ἐκ φύσεως ἐλάχομεν· οὕτω καὶ τῆς φιλίας οὐκ ἐλπίδι μισθοῦ δελεασθέντες, ἀλλ᾽ ὅτι πᾶσα ἐκείνης ἡ ἀπόλαυσις ἐν αὐτῷ ἔνεστι τῷ ἀγαπᾶν, ἡγούμεθα ἀν-
32 τιποιεῖσθαι δεῖν ἡμῖν. Τοιγαροῦν τοῖς βοσκημάτων δίκην ἅπαντα πρὸς τὴν ἡδονὴν ἀναφέρουσιν ἡλίκον ὅσον διαφωνοῦμεν· καὶ θαυμαστὸν οὐδέν. Οὐδὲν γὰρ ὑψηλὸν οὐδὲ μεγαλοπρεπὲς οὐδὲ θεῖον ἀναθεωρεῖν δύνανται οἱ πάντας τοὺς σφῶν λογισμοὺς πρὸς χαμαιπετὲς καὶ εὐκαταφρόνητον οὕτω πρᾶγμα καταβάλλοντες. Τούτους τοίνυν τοῦδε λόγου μακρὸν ἀφορίσωμεν· ἡμεῖς δ᾽ ἐκεῖνο μᾶλλον γινώσκωμεν, ὑπὸ τῆς φύσεως γεννᾶσθαι τὴν φιλικὴν διάθεσιν καὶ εὐνοϊκὴν ἀγάπησιν, ὅταν ἡ καλοκἀγαθία πως ἐπισημαίνει· ἧς οἱ ἐφιέμενοι προςάπτουσι σφᾶς αὐτοὺς καὶ ἐγγυτέρω προςάγουσιν, ὅπως τῆς τε συνηθείας καὶ τῶν ἠθῶν ὄναιντο τούτου, ὃν φιλεῖν ἤρξαντο· καὶ ἐν τῷ ἐρᾶν ἴσοι καὶ ὅμοιοι τυγχάνοιεν, πρός τε τὸ εὖ ποιεῖν ἢ πρὸς τὸ ἀπαιτεῖν προθυμότεροι, καὶ τοιαύτην πρὸς ἀλλήλους καλλίστην τὴν ἅμιλλαν ἐνστήσαιντο. Οὕτως ὑπερβαλλούσας τινὰς ὠφελείας ἀπὸ τῆς φιλίας καρπωσόμεθα· καὶ ταύτης ἡ γένεσις ἐκ τῆς φύσεως ἢ ἐκ τῆς ἐνδείας σεμνοτέρα τε καὶ ἀληθεστέρα ξυμβήσεται. Εἰ γὰρ τὰς φιλίας ξυνεκόλλα τὸ χρήσιμον, τὸ αὐτὸ μεταπεσὸν ἐκείνας ἂν διέλυεν. Ἐπειδὴ δ᾽ ἀμετάπτωτος ἡ φύσις ἐστί, διὰ τοῦτο ἀΐδιοί εἰσιν αἱ ἀληθιναὶ φιλίαι. Τὴν μὲν οὖν γένεσιν τῆς φιλίας ἐκ τού-

---

ronis *neque enim beneficium feneramur* parenthesi inclusit, at Gernhardus et Orell. *neque enim beneficium feneramur, sed natura propensi ad liberalitatem sumus.* Ceterum Petav. *ἀλλ᾽ ὅτι* interpretatus est, quasi supplesset *quia* post *sed*, quod Ern. addendum est visum.

32 *Τοιγαροῦν — διαφωνοῦμεν*] Expressa est lectio *Ab iis — dissentimus:* optt. Edd. *At ii — dissentiunt.*

χαμαιπετὲς — καταβάλλοντες] De *οὕτω* a scriptoribus Graecis postposito, frequenter a Plutarcho, vd. Baehr. ad Plut. Philop. cp. 13. p. 48. Pro *καταβάλλοντες* ponendum erat *καταβαλόντες*, cum Cicero *abiecerunt* scripserit.

τοῦδε λόγου] Scribe *τοῦδε τοῦ λόγου.*

ὅταν — ἐπισημαίνει] Scribe *ἐπισημαίνῃ.*

τῆς — τούτου] Plutarch. de multit. amicor. Vol. VII. p. 293. Hutten. *καὶ μὴν ἀπόλαυσίς ἐστιν ἡ συνήθεια τῆς φιλίας καὶ τὸ ἥδιστον ἐν τῷ συνεῖναι καὶ συνημερεύειν.*

ξυνεκόλλα] Hoc verbum respondere verbo *conglutinandi* docent loci a Beiero laudati Plutarch. de multit. amicor. Vol. VII. p. 293. Hutt. *κόλλησιν εὐνοίας ἐν τῇ συνηθείᾳ περιχυθείσῃ καὶ παγείσῃ.* Themist. or. XXII. p. 268. a. *ὁ δοκιμαζόμενος ἔστω φιλόστοργος.... καὶ φύσει τόδε τὸ κέντρον ἔχων ὡς παραίτιον τῆς συγκολλήσεως.*

ἀΐδιοι — φιλίαι] Isocrat. ad Demonic. cp. 1. *τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν.*

των ὁρᾶτε· εἰ μή. πυυ περαιτέρω τι μαθεῖν ἐθέλετε. *ΦΑΝ-
ΝΙΟΣ.* Σὺ τοίνυν, ὦ Λαίλιε, τοῖς ἑξῆς ἐπέξιθι. ὑπὲρ γὰρ
τούτου ἅτε νεωτέρου ὄντος δίκαιος ἂν εἴην ἀποκρίνασθαι.
ΣΚΑΙΟΛΑΣ. Ἀλλὰ σὺ ὀρθῶς εἶπες· οὐκοῦν ἀκούσωμεν. 33
X. *ΛΑΙΛΙΟΣ.* Ἀκούετε γοῦν, ἄνδρες ἄριστοι, ἃ
πρὸς ἀλλήλους ἔγωγε καὶ ὁ Σκηπίων πολλάκις φιλίας ὕπερ διε-
λεγόμεθα. Καίτοι μηδὲν ἐκεῖνος χαλεπώτερον ἔφασκεν εἶναι
ἢ τὴν φιλίαν ἄχρι τελευταίας διαμεῖναι τῆς ἡμέρας. συμβαίνειν
γὰρ ὡς τὰ πολλὰ ἢ τὸ αὐτὸ μὴ συμφέρειν ἀμφοτέροις, ἢ περὶ
τῆς πολιτείας οὐχ ὁμοίως φρονεῖν· πολλάκις δὲ καὶ τοὺς τρό-
πους ἀλλάττεσθαι τῶν ἀνθρώπων, ἄλλοτε μὲν διὰ τὰς ἐπελ-
θούσας συμφοράς, ἄλλοτε δ᾽ ἐπὶ πολὺ προϊούσης τῆς ἡλικίας.
Καὶ τούτων δὴ παράδειγμα ἐκ τῶν ὁμοίων ἐπὶ τῆς παιδικῆς
ἡλικίας γινομένων ἐλάμβανεν, ἐπειδὴ τὰ παιδία κἂν θερμο-
τάτους πρὸς ἄλληλα τοὺς ἔρωτας τῇ περιπορφύρῳ συναποτί-
θεται τηβέννῳ. Ἐὰν δὲ καὶ τῆς ἐφηβίας ἄχρι συμπαρατεί- 34
νοιεν, ἀλλ᾽ οὖν γ᾽ ἐνίοτε διαλύεσθαι ἐκ φιλονεικίας τινὸς καὶ
διαφορᾶς, ἤτοι δι᾽ ἐραστικὴν πρόφασιν ἢ τοῦ ἰδίᾳ συμφέ-
ροντος ἕνεκα, ὅταν τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ τυχεῖν ἀμφοτέρους
ἀδύνατόν ἐστι. Εἰ δὲ πορρωτέρω που ἐν τῇ φιλίᾳ προβεβη-
κότες εἶεν, ὅμως αὐτὴν ὡς ἐπὶ τὸ πολὺ ἐκ τῆς φιλοτιμίας εἰς
ἔριν ἐμπεσόντων λυμαινομένην οἴχεσθαι· οὐδεμίαν γὰρ ταῖς
φιλίαις ἐπιφύεσθαι λύμην ἐξωλεστέραν ἢ ἐν μὲν τοῖς πολλοῖς
φιλοχρηματίαν, ἐν δὲ τοῖς ἀρίστοις τὴν περὶ ἀρχῆς καὶ δόξης
ἀμφισβήτησιν· ἐξ ἧς μεταξὺ καὶ τῶν φιλτάτων ἀνηκέστους
πολλάκις ἔχθρας ἐμπεσεῖν. Ἔπειτα δὲ μεγάλας ἔστιν ὅτε δια- 35
στάσεις καὶ πολλάκις δικαίας ἐνδέχεσθαι φῦναι, ὁπηνίκα τι
ὑπὸ τῶν φίλων ἀπαιτηθῇ τῶν μὴ προσηκόντων· οἷον ὅταν ἢ
τῆς ἀκολασίας ὑπουργοὺς ἢ πρὸς ὕβριν συνεργοὺς αὐτοὺς πα-
ραλαβεῖν ἀξιοῦσιν· ὅπερ οἱ παραιτούμενοι, καίπερ καλῶς
ποιοῦντες, ὅμως τῶν τῆς φιλίας δικαίων καθυφεῖσθαι παρ᾽ ἐκεί-

---

CAP. X. ἢ — ἡμέρας] *Quam amicitiam usque ad extremum* 33
vitae diem permanere: optt. Edd. omittunt *diem.*

πολλάκις δὲ καί] Petavius omisit *dicebat* et infra *saepe* post *amores*, licet textus Latinus haec verba exhibeat Beierus audacius *saepe dicebat* et infra *saepe* uncis inclusit.

Ἐὰν — συμπαρατείνοιεν et infra ὅταν — ἐστι] Corr. ut §. 35. ὅταν — 34
ἀξιοῦσιν.

δι᾽ ἐραστικὴν πρόφασιν] Ἐραστικός non reperitur apud scriptores Graecos, sed ἐρωτικός: *uxoriae conditionis* non satis apte reddidit Petavius ἐραστικὴν πρόφασιν pro διὰ γάμον.

οὐδεμίαν — λύμην] *Pestis* h. l. i. q. βλάβη — διαφθορά, quum λύμη poetis fere in usu fuisse videatur. Ob Infinit. ἐπιφύεσθαι corr. μηδεμίαν.

ὅμως — καθυφεῖσθαι] *Ius tamen amicitiae deserere* Cic. Pro κα- 35
θυφεῖσθαι mihi corrigendum videtur καθυφίεσθαι, quia Perf.

νοις αἰτίαν ἔχουσιν, οἷς ὑπηρετεῖν οὐκ ἠνέσχοντο. Τοὺς μέντοι ὁτιοῦν παρὰ τοῦ φίλου τολμῶντας αἰτεῖσθαι αὐτόθεν τοιαύτῃ τῇ αἰτήσει πάντα καὶ αὐτοὺς ἕνεκα τοῦ φίλου δράσειν ἂν ἐπαγγέλλεσθαι. Ἐκ δὲ τῆς τούτων μεμψιμοιρίας χρόνον λαβούσης οὐ μόνον τὰς οἰκειότητας ἀφανίζεσθαι, ἀλλὰ καὶ ἀπεχθείας μεγίστας καὶ ἀθανάτους ἀποτίκτεσθαι. Τὰ πολλὰ γοῦν τοιουτότροπα καθάπερ ἐξ εἱμαρμένης τινὸς οὕτω ταῖς φιλίαις ἐπηρτῆσθαι, ὡς πάντα διαδρᾶναι οὐ μόνον σοφίας εἶναι, ἀλλὰ καὶ εὐδαιμονίας ἑαυτῷ φάναι δοκεῖν.

36 XI. *Τοιγαροῦν ἐκεῖνο πρῶτον, εἰ καὶ ὑμῖν δοκεῖ, σκεπτέον, ἐφ᾽ ὅσον ἡ ἀγάπησις ἐν τῇ φιλίᾳ προχωρεῖν ὀφείλει. Ἆρα εἴ τινας εἶχε φίλους ὁ Κοριολανός, τούτους κατὰ τῆς πατρίδος καθῆκον ἦν τῷ Κοριολανῷ συστρατεύεσθαι; Ἆρα τῷ Βεκιλλίνῳ τυραννιῶντι ἢ Σπορίῳ Μελίῳ συνεπιλαβέσθαι δί-*
37 *καιοι ἦσαν οἱ ἀμφοτέρων φίλοι; Τὸν μὲν οὖν Τιβέριον Γράκχον τῇ πολιτείᾳ λυμαινόμενον ὑπὸ Κοΐντου Τουβέρωνος καὶ τῶν ἡλικιωτῶν φίλων καταλειφθέντα ἡμεῖς ἑωρῶμεν. Ὁ δὲ Γάϊος Βλόσιος ὁ Κουμαῖος, τῆς ὑμῖν οἰκίας πρόξενος, ὦ Σκαιόλα, τότε προςελθὼν ἐμοὶ ἱκετείας χάριν, ὁπηνίκα Λαινᾷ καὶ Ῥουπιλίῳ τοῖς ὑπάτοις παρήδρευον τῆς συμβουλῆς κοινωνῶν, τοῦτό μοι, ἐφ᾽ ᾧ συγγνώμης τυχεῖν, προὔτεινε τὸ δικαίωμα, ὅτι οὕτω περὶ πολλοῦ Τιβέριον Γράκχον ἐποιεῖτο, ὥςτε πᾶν, ὅ,τι ἂν ἐκεῖνος βούλοιτο, δρᾶν ἑαυτὸν ἡγεῖσθαι δεῖν. Πρὸς ὃν ἐγώ, πότερον κἂν εἰς τὸ Καπετώλιον, ἔφην, ἐνιέναι πυρσοὺς κελεύοι σοι; Ἀλλὰ τοῦτο οὐκ ἂν ἠβουλήθη πώποτ᾽, εἶπεν· εἰ δ᾽ ἄρ᾽ ἐβούλετο, οἷος ἦν αὐτῷ πείθεσθαι.*

Pass. locum habere nequit: apud Demosthenem Activum cum Accusativo pluribus locis constructum exstat vd. Reisk. Indic. Graecit. Demosth. s. v. Lucian. Prometh. 5. *μηδὲ καθυφῇς τι τῶν δικαίων τοῦ πατρός.*

καθάπερ ἐξ εἱμαρμένης τινός] *Quasi fato:* optt. Edd. *quasi fato.*

ἐκ — λαβούσης] Expressa est lectio deterior *inveterata* pro *inveteratas.*

36 Cap. XI. *Ἆρα τῷ Βεκιλλίνῳ*] Vulgo in optt. Edd. Graev. Gernh. Beier. *Viscellinum*, Petavius secutus est scripturam *Becillinum*, alii Codd. aliter vd. Gernh. et Beier. *Βετιλλῖνος* Dio Cass. LIX, 26. *Οὐισκελῖνος* (non *Οὐσκελῖνος* ut Gernh.) Dion. Halicarn. Pro *Μελίῳ* scribe *Μαιλίῳ*, ut supra.

37 *Βλόσιος*] Praeferenda est scriptura *Βλόσσιος*, quum optt. Edd. *Blossius* exhibeant. *Βλόσσιος* Plutarch. Tib. Gracch. Capp. 8. 20.

κἂν — κελεύοι] Corrige *κεὶ — κελεύοι.*

Εἰ — πείθεσθαι] Petavius commate distinxit post *ἐβούλετο*, ut Gernhardus aliique. Equidem Gruteri distinctionem multis editoribus nuperque Beiero et Orell. probatam praeferendam censeo: *Sed si voluisset? „Paruissem."* Plutarch Vit. Tib. Gracch. Cap. 20. hunc sermonem mutatum vel auctiorem refert: *Εἰπόντος δὲ τοῦ Νασικᾶ πρὸς αὐτὸν „Τί οὖν, εἴ σε Τιβέριος ἐκέλευσεν*

'Ως μιαρὰ καὶ ἀλιτηρία ἥδε ἐστὶν ἡ φωνή, ὑμεῖς ὁρᾶτε· καὶ
μὰ τὸν Ἡρακλέα δὲ οὐκ ἄλλως ἢ εἶπεν, ἀλλὰ καὶ πλέον ὧν
εἶπεν ἐποίησεν· οὐ γὰρ τῇ αὐτοῦ ὑπεῖξεν ἀπονοίᾳ, προὔστη δὲ
μᾶλλον αὐτῆς· οὐδ' ἀκόλουθον ἑαυτὸν τῆς ἐκείνου μανίας,
ἀλλ' ἡγεμόνα παρέσχετο. Οὐκοῦν ὑπὸ ταύτης τῆς μανίας οἰ-
στρηθείς, καινήν τ' ἐπὶ τούτῳ κατασταθεῖσαν δίκην ὀῤῥωδῶν
εἰς τὴν Ἀσίαν ᾤχετο ἀπιών, καὶ τοῖς πολεμίοις προςέφυγε,
δεινήν τε καὶ δικαίαν τῇ πόλει τιμωρίαν ἔδωκεν. Οὐδεμία τοί-
νυν εὔλογός ἐστι τῆς ἁμαρτίας πρόφασις, ἣν τοῦ φίλου χάριν
ἐξαμάρτῃς· ἐπειδὴ γὰρ τῆς φιλίας συμβιβαστικὴ γέγονεν ἡ
περὶ τῆς ἀρετῆς ὑπόληψις· δύςκολόν ἐστι τὴν φιλίαν διαμένειν,
ἐὰν τῆς ἀρετῆς ἀποστῇς. Εἰ δ' ὀρθῶς ἔχειν ἅπαξ ὁρίσωμεν, 38
εἴτε τοῖς φίλοις συγχωρεῖν, ὅ, τι ἂν βούλωνται, εἴτε παρ' ἐκεί-
νοις διαπράττεσθαι, πᾶν ὅ, τι ἂν ἐθέλωμεν· τελείαν ἡμεῖς
ἀνάγκη κεκτῆσθαι τὴν σοφίαν, εἰ μὴ κακίας τι προςῇ τῷ πρά-
γματι. Ἀλλ' ἡμεῖς περὶ τοιῶνδε λέγομεν τῶν φίλων, οἳ πρὸ
ὀφθαλμῶν εἰσιν, οὓς ὁρῶμεν ἢ περὶ ὧν τὴν μνήμην παρελά-
βομεν· οὓς κοινὸς οἶδεν ὁ βίος. Ἐκ τούτων τὰ παραδείγματα
λαμβάνειν ὀφείλομεν, μάλιστα δ' ἐκ τῶν ὡς ἐγγύτατα τῆς
σοφίας. Τὸν μὲν οὖν Πάπον Αἰμίλιον ὁρῶμεν οἰκεῖον τῷ 39
Γαΐῳ Λουσκίνῳ γενέσθαι (οὕτω δὴ παρὰ τῶν προγόνων παρ-
ελάβομεν) δὶς συνυπατεύσαντας ἀμφοτέρους καὶ ἐν τιμητείᾳ
συνάρξαντας· πρὸς δὲ τούτοις τε καὶ μετ' ἀλλήλων οἰκειοτά-
τους γενέσθαι Μάρκον τὸν Κούριον καὶ Τίτον τὸν Κορουγκά-
νον τῇ μνήμῃ παραδέδοται. Διόπερ περὶ ὁτουοῦν ἐκείνων
οὐδ' ὑπονοεῖν οἷόν τέ ἐστιν ἡμῖν, ὡς ἄρ' ὑπεναντίον τι τῇ
πίστει ἢ τῷ ὅρκῳ ἢ τῇ πολιτείᾳ παρὰ τοῦ φίλου λαβεῖν ἠξίωσέ
ποτε. Καὶ γὰρ ἐπὶ τοιούτων ἀνδρῶν τί δεῖ τοῦτο λέγειν; ὅτι,
εἴπερ ἠξίουν, σάφ' οἶδα ὡς οὐκ ἂν ἔτυχον· ἐπεὶ ὁσιώτατοι

ἐμπρῆσαι τὸ Καπετώλιον;" τὸ μὲν οὖν πρῶτον ἀντέλεγεν, ὡς οὐκ ἂν τοῦτο Τιβερίου κελεύσαντος· πολλάκις δὲ καὶ πολλῶν τὸ αὐτὸ πυνθανομένων „Ἀλλ' ἐκείνου γε προστάσσοντος!" ἔφη „καλῶς κἀμοὶ τοῦτο πρᾶξαι εἶχεν· οὐ γὰρ ἂν Τιβέριος τοῦτο προςέταξεν, εἰ μὴ τῷ δήμῳ συνέφερεν."

'Ως — φωνή] *Quam nefaria vox* Cic., alterum Adiectivum abesse potest.

ἐποίησεν] Adieci ν.

μάλιστα — σοφίας] Mihi addendum videtur ὄντων, quum a Ci- 38
cerone ita scriptum sit: *et eorum quidem maxime, qui ad sapientiam proxime accedunt.* — Supra ὁρῶμεν *videmus*, al. *vidimus*.

καὶ — συνάρξαντας] *Et* omittunt Cod. Erfurt. Edd. Suffrid. P. Beier. Orell.

Μάρκον — Κορουγκανόν] Scribendum est articulo deleto, qui a 39
Graecis praenomini et nomini non solet interponi, *Μάνιον Κούριον καὶ Τιβέριον Κορουγκάνιον* vd. de M'. Curio nos ad Caton. Cap. 13. de Ti. Cor. ib. Cap. 6.

ὅτι — ἔτυχον] Expressit Petavius lect. *si contendissent, scio non*

ἦσαν ἄνδρες· ἐπίσης δ' ἀθέμιτόν ἐστι τὸ τοιούτων τι ποιεῖν
αἰτηθέντα καὶ αὐτὸν αἰτεῖν. Τῷ μέντοι Τιβερίῳ Γράκχῳ
εἵποντο ὅ τε Γάϊας Κάρβων καὶ Γάϊος Κάτων καὶ τότε μὲν ἥκι-
στα θερμός, νῦν δὲ θερμότατος ὁ Γάϊος ἀδελφὸς ἐκείνου.
40 XII. Τοῦτο τοίνυν πρὸ πάντων ἐν τῇ φιλίᾳ νομοθετεί-
σθω, τὸ μηδέ τι αἰσχρὸν αἰτεῖν παρὰ τῶν φίλων μήτε δρᾶ-
σαι αἰτηθέντα ὑπ' αὐτῶν. Πάντως γὰρ αἰσχρὰ καὶ οὐδαμῶς
αὕτη πιθανή ἐστιν ἡ ἀπολογία ἔν τε τοῖς ἄλλοις ἁμαρτήμασιν,
ἀτὰρ καὶ ὁπότε κατὰ τῆς πολιτείας τολμηθῇ τι φίλου ἕνεκα
πεπρᾶχθαι οἱ ὁμολογεῖν. Ἡμεῖς γάρ, ὦ Φάννιε καὶ Σκαιόλα,
εἰς τοιαύτην κατεστάθημεν τὴν τάξιν, ὡς τὰ τῇ πόλει ξυμβή-
σεσθαι μέλλοντα πόῤῥωθέν που προορᾶν ὀφείλειν. Καὶ γὰρ
ἤδη τὸ τῶν προγόνων ἔθος ἡμετέρων ὀλίγον τι τοῦ δρόμου ἀπο-
πλανᾶν ἤρξατο. Ὁ μὲν οὖν Τιβέριος Γράκχος τὴν βασιλείαν
καταλαβεῖν ἐπεχείρησεν, ἢ καὶ μᾶλλον οὗτος ὀλίγους μῆνας
41 ἄντικρυς ἐβασίλευσε. Τί παραπλήσιον ἀκηκόει ἢ ἑωράκει
τέως ὁ δῆμος τῶν Ῥωμαίων; Καὶ δὴ ἐκεῖνον μετὰ τὸν θάνα-
τον οἱ φίλοι καὶ οἰκεῖοι μιμησάμενοι οἷά περ εἰς Πόπλιον Σκη-
πίωνα ἔναγχος εἰργάσαντο, ἀδακρυτὶ λέγειν οὐ δύναμαι. Τοῦ
Κάρβωνος γάρ, οὗπερ ἄρτι μνείαν ἐποιησάμην, διὰ τὸν πρόσ-
φατον τοῦ Τιβερίου Γράκχου τιμωρίαν ἀνεσχόμεθα. Περὶ δὲ
τοῦ Γαΐου Γράκχου δημαρχίας ὁποίαν ἔχω προσδοκίαν, οὐκ
ἐμοὶ μαντεύεσθαι φίλον ἐστί. Τὸ γὰρ πρᾶγμα ἐφεξῆς διαδι-
δόμενον ὑφέρπει, ὃ καὶ ῥοπὴν εἰς ὄλεθρον λαβὸν ἐπὰν ἄρξηται
ἅπαξ, ὑποῤῥεῖ. Οὐχ ὁρᾶτε ἐν τῇ κατὰ τὰς ἀρχαιρεσίας δέλτῳ
οἷα ἤδη λύμη γενένηται, τὰ μὲν πρῶτα ἐκ τοῦ Γαβινίου νόμου,
ἔπειτα δὲ μετὰ τὰ δύο ἔτη ἐκ τοῦ Κασσίου. Ἤδη τοίνυν ὁρᾶν
μοι δοκῶ τὸν δῆμον Ῥωμαίων πρὸς τὴν σύγκλητον βουλὴν στα-

---

impetraturos fuisse, licet textus Latinus exhibeat *contendisset—impetraturum*, ut optt. Edd.

καὶ — ἐκείνου] *Θερμός* aut de suo addidit Petavius aut secutus Edd. Lambin. Suffrid. Petr., quae offerunt *acer*, glossema iure eiectum ex optt. Edd. etiam e textu Latino interpret. Petavianae.

40 Cap. XII. *Τοῦτο — νομοθετείσθω*] Expressa est lectio *Haec igitur prima lex in amicitia sanciatur*, at Gernhardus et Beierus auctoritate optt. Codd. et Edd. *prima* eiecerunt.

δρᾶσαι] *Δρᾶσαι* et infra *πεπρᾶχθαι* accentu circumflexo pro acuto notavi.

ὁπότε — τολμηθῇ] Corr. Indic. Aor.

τοῦ — ἤρξατο] Corrige *ἀποπλανᾶσθαι*: apud Cicer. exstat *deflexit — de spatio curriculoque*, quod interpretandum est *ἀπεπλανήθη τοῦ σταδίου καὶ δρόμου*.

ἀνεσχόμεθα] Corr. *ἠνεσχόμεθα*. vd. Matth. Gr. gr. Vol. I. p. 310.

41 τὸν — βουλὴν] Dicendum est *τὸν δῆμον τῶν Ῥωμαίων*, ut supra ὁ δ. τ. Ῥ. aut melius *τὸν Ῥωμαίων* vd. Schaef. in Indic. Latin. ad Gregor. Corinth. p. 1048. s. *Articul.* Matth. Gr. gr. Vol. II. §. 278. Blum. ad Lycurg. Cap. 12. p. 91. Ceterum apud Cic. tan-

σιάζοντα, τά τε μέγιστα τῶν πραγμάτων ὑπὸ τοῦ δημώδους
ὄχλου διαχειριζόμενα. Πλείους γὰρ μαθήσονται, ὅπως τὰ
τοιαῦτα γίνεσθαι οἷόν τ' ἂν εἴη, ἢ ὅπως ἀντιστῆναι πρὸς ταῦτα
δεῖ. Τοῦ δὴ ἕνεκα τάδε λέγειν ἐπῆλθέ μοι; ὅτι δηλαδὴ ἄνευ 42
ἑταίρων ἐπιχειρεῖ τοῖς τοιούτοις οὐδείς. Οὐκοῦν τοῖς μὲν σπου-
δαίοις παραγγελτέον ἐστίν, ὡς, ἐπὰν εἰς τοιάςδε τὰς φιλίας
ἐξ ἀγνοίας καὶ καθ' ἥντινα τύχωσι περίστασιν ἐμπέσωσι,
μὴ οὕτως ἑαυτοὺς ἐξ ἀνάγκης προσδεδέσθαι οἴωνται, ὥστε τῶν
φίλων ἐν μεγάλῳ τινὶ κατὰ τῆς πολιτείας ἐξαμαρτανόντων οὐκ
ἂν ἀποστῆναι· τοῖς δὲ μοχθηροῖς τιμωρίαν ἐπιτιθέναι τινὰ χρή·
καὶ ταύτην δ' οὐδὲν ἐλάττω τοῖς ἑτέρῳ παρακολουθήσασιν ἢ
τοῖς ἡγεμόνας ἑαυτοὺς εἰς ἀσέβειαν παρασχοῦσι. Τίς κατὰ
τὴν Ἑλλάδα λαμπρότερος, τίς δυνατώτερος Θεμιστοκλέους;
ὃς ἐπειδὴ κατὰ τὰ Μηδικὰ αὐτοκράτωρ στρατηγὸς αἱρεθεὶς
τῆς δουλείας ἐξείλετο τὴν Ἑλλάδα, ἔπειτα δὲ κατὰ φθόνον φυ-
γὴν κατεδικάσθη· ὑπὸ τῆς ἀχαρίστου πατρίδος ὑβρισθεὶς οὐκ
ἤνεγκεν, ὅπερ ἀνασχέσθαι ὤφειλεν, ἀλλὰ τὸ αὐτὸ ἔπραξεν,
ὅπερ εἴκοσι πρότερον ἐνιαυτοῖς παρ' ἡμῖν ὁ Κοριολανὸς ἐπε-
πράχει. Τούτοις μὲν οὖν ὁ συναράμενος κατὰ τῆς πατρίδος
οὐδεὶς εὑρέθη· οὐκοῦν ἀμφότεροι ἑαυτοὺς διεχρήσαντο. Τοιαύ- 43
την τοίνυν τῶν πονηρῶν σύμπνοιαν οὐ μόνον προφάσει τῆς φι-
λίας περιστέλλειν οὐ χρή, ἀλλ' ἤδη καὶ πάσαις ταῖς τιμωρίαις
μετελθεῖν ἄξιόν ἐστιν· ἵνα μή τις ἑαυτὸν πείσῃ, ὅτι ἔξεστι πο-
λεμοῦντι κατὰ τῆς πατρίδος ἕπεσθαι τῷ φίλῳ· ὅπερ, καθ' ὅσον
ἤδη προβαίνειν ἤρξατο τὸ πρᾶγμα, οὐκ οἶδα, εἰ ξυμβήσεταί
ποτε. Ἐμοὶ δ' οὐχ ἧττον μέλει, ὁποία μετὰ τὸν ἐμὸν θάνα-
τον ἡ πόλις ἔσεσθαι μέλλει, ἢ ἐν τῷ παρόντι ὁποίως ἔχει.

XIII. Πρῶτος τοίνυν οὑτοσὶ κείσθω τῆς φιλίας ὁ νόμος, 44
ὡς παρὰ τῶν φίλων αἰτώμεθά τε τὰ καλὰ καὶ τῶν φίλων ἕνεκα
τὰ καλὰ πράττωμεν· μηδ' αὖ ἐπὶ τοσοῦτον ὑπερτιθώμεθα τὴν
χάριν, ἕως ἡμῶν αὐτοὶ δεηθῶσιν· ἀλλ' ἀεὶ μὲν παρείη τὸ πρό-

---

tum *populum* est: vulgo σύγκλητος intellecto, non addito substantivo βουλή usurpatur.

ὑπὸ — ὄχλου] *Multitudinis arbitrio* Cic.

Πλείους — εἴη — δεῖ] Corrige ἔσται — δεήσει vd. Passov. Lex. s. ὅπως et Matth. Gr. gr. Vol. II. §. 519. 7.

ὥστε — ἀποστῆναι] De lectt. h. l. admodum diversis vd. Gernh. 42
Beier. et Orell., qui *ut ab amicis in republica peccantibus non discedant* recte receperunt. Petavius expressit *in magna re aliqua in rempublicam peccantibus.* Pro οὐκ corr. μή.

Cap. XIII. ἀλλ' ἀεὶ — πρόθυμον] Expressa est lectio *sed studium* 44
semper adsit; sed in tribus Codd. Manut. Dresd. *a.* Lips. *β.* inculcatum omittunt Graev. Gernh. Beier. Orell. *semper* omis. Beier. Isocr. ad Demon. Cap. 9, 6. οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς.

κρατυνθῆναι τάς τε γνώμας καὶ τὰς ἡλικίας τὰς φιλίας ἀνα-
κρίνειν εὔλογόν ἐστιν· οὐδ᾽ εἴ τινες κατὰ πρώτην τὴν ἡλικίαν
περὶ τὴν κυνηγεσίαν ἢ τὴν σφαίρισιν ἐσπουδακότες ἦσαν, ἀκό-
λουθόν ἐστι τοὺς τῶν αὐτῶν συνερασθέντας τότε τοῖς οἰκείοις
ἐγκρίνειν. οὕτω γὰρ κἂν αἱ τροφοὶ καὶ οἱ παιδαγωγοὶ τὸ πλεῖ-
στον ἂν τῆς εὐνοίας ἀπαιτήσειαν· ὧν ἀμελητέον μὲν οὐχί,
ἀλλ᾽ ἕτερόν τινα τρόπον εἰκός ἐστι θεραπεύειν. Οὐ γὰρ ἄλλως
ἐνδέχεται βεβαίους τὰς φιλίας διαμένειν. Ἐπειδὴ τοῖς ἀνο-
μοίοις ἤθεσιν ἀνόμοια καὶ τὰ ἐπιτηδεύματα παρακολουθεῖ, ὧν
αἱ διαφωνίαι τὰς φιλίας διέστησαν· καὶ οὐκ αἰτία τίς ἐστιν
ἑτέρα, δι᾽ ἣν οὔτε οἱ ἀγαθοὶ τοῖς πονηροῖς οὔτε οἱ πονηροὶ
τοῖς ἀγαθοῖς εἰς φιλίαν συνελθεῖν δύνανται, πλὴν ὅτι τοσαύτη
μεταξὺ τούτων, ὅσην ἐνδέχεται μεγίστην εἶναι, τῶν τρόπων
75 τε καὶ ἐπιτηδευμάτων ἐστὶν ἡ διαφορά. Ὀρθῶς δὲ καὶ τοῦτο
παραγγέλλοι τις ἂν ἐπὶ τῶν φιλιῶν, ὅπως μήτις ἀκράτῳ τῇ εὐ-
νοίᾳ φερόμενος, ὃ πολλάκις γίνεται, τὰς μεγίστας ὠφελείας
ἐμποδίζῃ τῶν φίλων. Καὶ γὰρ οὐδὲ τὴν Τροίαν ἐξεῖλεν ἂν ὁ
Νεοπτόλεμος, ἵνα πρὸς τοὺς μύθους ἐπανέλθω, εἰ τοῦ Λυκο-
μήδους, παρ᾽ ᾧ ἐτρέφετο, πολλοῖς σὺν δάκρυσι κωλύοντος
ἀποχωρεῖν ἀκούειν ἤθελε. Καὶ πολλάκις δὲ οὐ τὰ τυχόντα
περιπίπτει πράγματα, ἃ χωρίζεσθαι τῶν φίλων ἀναγκάζει· οἷς
ὁ ἐμποδὼν ἀξιῶν στῆναι, ὡς ἀπόντος τὸν πόθον οὐ φέρων,
οὗτος πολλὴν ἀσθένειαν καὶ μαλακίαν ὀφλισκάνει τῆς φύσεως,
76 καὶ διὰ τοῦτο οὐκ ἄγαν ἐν τῇ φιλίᾳ δίκαιος εἶναι δοκεῖ. Ἓν
μὲν οὖν ἁπανταχοῦ δεῖ τοῦτο σκοπεῖν, ὅ,τι τ᾽ ἂν αἰτήσῃς
παρὰ τοῦ φίλου καὶ ὅ,τι ἂν αἰτοῦντι χαρίζεσθαι οὐκ ἀπαξιώ-
σῃς αὐτῷ.

XXI. Καὶ ἐν τῇ διαλύσει δὲ τῶν φιλιῶν ἐπιφύεταί τις
ἔστιν ὅτε ἀναγκαία συμφορά· ἤδη γὰρ τὰς τῶν σοφῶν οἰκειό-
τητας ἀφεὶς ὁ λόγος εἰς τὰς δημώδεις φιλίας μεταπίπτει. Αἱ
τῶν φίλων κακίαι πολλάκις ἐκρήγνυνται ποτὲ μὲν εἰς τοὺς
αὐτῶν φίλους, ποτὲ δ᾽ εἰς ἀλλοτρίους, ἀλλ᾽ ὥστε τὸ ἐκ τού-

ἢ τὴν σφαιρίσιν ἐσπουδακότες] Plut. de mult. amic. Vol. VII. p. 290. Hutt. *συσφαιρίσαντες* dicuntur.

οὕτω γὰρ κἂν — ἀπαιτήσειαν] *κἂν* erat omittendum: *postulabunt* i. q. *ἀπαιτήσουσι.*

ὧν — θεραπεύειν] Expressum est glossema *colendi*, iure eiectum ab Aldo, Graevio, Gernhardo, Beiero, Orell.

Οὐ γὰρ ἄλλως] *Enim* plerique Codd. et Edd. omittunt.

75 *ὅπως — φερόμενος*] Petavius secutus est lect. *ne quis intemperata quadam benevolentia*; nec recte *τῇ* pro *τινὶ* posuit: optt. Edd. *ne intemperata quaedam benevolentia.*

παρ᾽ ᾧ ἐτρέφετο] *Apud quem erat educatus*, i. e. *ἐτέθραπτο.*

ὡς — φέρων] Cicero: *quod desiderium non facile ferat*, i. e. *ὡς τὸν πόθον οὐ ῥᾳδίως φέρων.*

76 Cap. XXI. *ἐκρήγνυνται — ἀπερείδεσθαι*] Pro *ἐκρήγνυσθαι erumpere* h. l. convenientius mihi videtur *φανερὸν γίγνεσθαι — φαίνε-*

δῆθεν σοφίας! Τὸν γὰρ ἥλιον ἐξαιρεῖν τοῦ κόσμου δοκοῦσιν οἱ
τοῦ βίου τὴν φιλίαν περιγράφοντες· ἧς οὐδὲν οὔτ' ἄμεινον
οὔθ' ἥδιον παρὰ τῶν θεῶν ἔχομεν. Καίτοι ποία ποτ' ἐκείνη
ἐστὶν ἡ ἄδεια; τῷ μὲν δοκεῖν πιθανὴ καὶ προσηνής, τῷ ὄντι δὲ
πολλαχῇ παραιτητέα. Οὐ γὰρ λόγον ἔχει τὸ καλὸν ὁτιοῦν
ἤγουν πρᾶξιν ἔνδοξον ἢ μὴ ἀρχὴν ἀναλαβεῖν ἢ ἀναλαβόντα
καταθέσθαι, ὅπως μὴ μεριμνᾶν ἀναγκασθῇς. Εἰ μὲν δὴ τὸ
μεριμνᾶν φεύγομεν, οὐκ ἂν φθάνοιμεν καὶ τὴν ἀρετὴν φεύγοντες
ἁπαξαπλῶς, ἣν ἀνάγκη μετά τινος φροντίδος τῶν ἐναντίων
ὑπερφρονεῖν καὶ ταῦτα μισεῖν· καθάπερ ἥ τε χρηστότης πρὸς
τὴν κακίαν, καὶ ἡ σωφροσύνη πρὸς τὴν ἀκολασίαν, πρός τε
τὴν δουλείαν ἡ ἀνδρεία διαβέβληται. Οὐκοῦν καὶ τοὺς δικαίους
ἐπὶ τοῖς ἀδίκως πεπραγμένοις, καὶ τοὺς ἀνδρείους ἐπὶ
τοῖς μαλακῶς καὶ ἀγεννῶς, καὶ ἐπὶ τοῖς ἀσελγῶς τοὺς κοσμίους
μάλιστ' ἀγανακτοῦντας ἂν ἴδοις. Τοῦτο τοίνυν τῆς εὖ καθεστηκυίας
ψυχῆς ἴδιόν ἐστι, τὸ τοῖς ἀγαθοῖς πράγμασιν εὐφραίνεσθαι
καὶ λυπεῖσθαι τοῖς ἐναντίως ἔχουσιν. Εἰ μὲν οὖν τῆς 48
τοῦ σοφοῦ ψυχῆς ἡ λύπη ἅπτεται (ὅπερ ἐνδέχεται δηλαδή, εἰ
μή που πρόῤῥιζον ἀνεσπάσθαι ἐκ τῆς ἐκείνου ψυχῆς τὸ ἀνθρώπινον
ἡγούμεθα)· τί ἂν ἡμεῖς αἰτιασαίμεθα τοῦ ἁπλῶς ἐκ
τοῦ βίου τὴν φιλίαν ἐκκόπτειν φάναι δεῖν, ἵνα μὴ ἀηδίαν τινὰ
ἐκεῖθεν ἐπισπασώμεθα; Τίνι γὰρ διαφέρει, περιαιρεθείσης
ἅπαξ κινήσεως τῇ ψυχῇ, οὐ λέγω βοσκήματος ἄνθρωπος, ἀλλὰ
καὶ λίθου αὐτὸς οὗτος ἢ πρέμνου ἢ ἑτέρου ὁτουοῦν τοιούτου;
Οὐδὲ γὰρ ἀκούειν ἐκείνων ἄξιον, οἳ τὴν ἀρετὴν σκληράν
τινα καὶ ἀτεράμονα καὶ οἱονεὶ σιδηρᾶν εἶναι βούλονται· ἣ κατά
τε πόλλ' ἄττα καὶ δὴ κατὰ τὴν φιλίαν ἁπαλή τίς ἐστι καὶ εὐάγωγος·
ὡς ἔκ τε τῶν τῷ φίλῳ προσγενομένων εὐχρηστημάτων
οἱονεὶ διαχεῖσθαι κἀκ τῶν δυσχρηστημάτων συσταλῆναι.
Αὕτη γοῦν ἡ ἀθυμία, ἣν πολλάκις ὑπὲρ τοῦ φίλου ἀναδέχεσθαι
χρή, τοσοῦτον οὐκ ἰσχύει, ὡς ἐκ τοῦ βίου τὴν φιλίαν ἐξε-

παρὰ τῶν θεῶν] *A Diis immortalibus* Cic.

οὐκ — ἁπαξαπλῶς] Apud Cic. tantum est: *virtus fugienda est.* 47

καὶ — ἀγεννῶς] *Imbellibus fortes* Cic., alterutrum Adverb. redundat.

πρόῤῥιζον — ἀνθρώπινον] *Exstirpare* rectius dicitur πρόῤῥιζον ἐκτρίβειν — ἐκριζοῦν: *humanitas* h. l. i. q. φύσις ἀνθρωπεία — ἀν- 48
θρωπότης.

οἳ — ἀτεράμονα] Apud Cic. est *qui virtutem duram*, ἀτεράμονα de suo addidit Petavius.

ἣ — συσταλῆναι] Petavius recte secutus est ut Lambin. Victor. Beier. Orell. lect. unius Cod. Manut. *diffundatur — distrahatur*, pleraeque Edd. Gernh. *diffundantur — distrahantur.* Ob concinnitatem aut διαχυθῆναι — συσταλῆναι, aut διαχεῖσθαι — συστέλλεσθαι mihi scribendum videtur.

λεῖν· οὐ μὲν οὖν μᾶλλον ἢ ὥςτε τὰς ἀρετὰς ἀποδιοπομπεῖσθαι
διὰ τὸ φροντίδας καὶ ἀηδίας τινὰς ἐκ τούτων ἐπιφύεσθαι.

XIV. Ἐπειδὴ δέ, καθάπερ ἔφθην εἰπών, τὴν φιλίαν ἡ
ἀρετὴ συγκροτεῖ, ἐάν που ἐπισημασία τις ὑποφαίνῃ τῆς ἀρε-
τῆς, ᾗ προςδραμεῖν ἔχοι καὶ προσμῖξαι ἡ ὁμοίως διατεθειμένη
49 ψυχή· ἐντεῦθεν γίνεται ἐξ ἀνάγκης ἡ ἀγάπησις. Τί γὰρ οὕτως
ἄτοπόν ἐστιν ἢ πολλοῖς μὲν χαίρειν καὶ ματαίοις πράγμασιν,
οἷον τιμῇ καὶ δόξῃ ἢ οἰκοδομῇ ἢ στολῇ καὶ τῇ ἄλλῃ θερα-
πείᾳ τοῦ σώματος· τῇ δὲ ψυχῇ τὴν ἀρετὴν κεκτημένῃ, καὶ
οἵᾳ τ' ἀγαπᾶν ἢ ὡς εἰπεῖν ἀνταγαπᾶν, μὴ ὑπερβαλλόντως
τέρπεσθαι; Οὐδὲν γὰρ ἥδιόν ἐστιν ἢ τῆς εὐνοίας ἡ ἀντάλλα-
50 ξις, ἥ τε σπουδῆς καὶ εὐποιΐας ἀμοιβή. Ἐὰν δὲ καὶ τοῦτο
προςθείημεν, ὃ καὶ προςθεῖναι καλῶς ἂν ἔχοι, ὡς οὐδὲν οὕτως
ἕλκειν καὶ ἐπισπᾶσθαι πρὸς ἑαυτὸ πέφυκεν ὁτιοῦν, ὡς πρὸς
τὴν φιλίαν ἡ ὁμοιότης· τοῦτο δὴ συγκεχωρήσθω ἀληθὲς εἶναι,
ὅτι τοὺς ἀγαθοὺς φιλοῦσί τε οἱ ἀγαθοὶ καὶ ἑαυτοῖς οἰκειοῦσιν
ὡς κατ' ἀγχιστείαν καὶ φύσει προςήκοντας. Οὐ γάρ ἐστιν,
ὅ,τι τῶν ὁμοίων ὀρεκτικὸν ἢ ἁρπακτικόν ἐστι μᾶλλον ἢ φύ-
σις: Οὐκοῦν, ὦ Φάννιε καὶ Σκαιόλα, τοῦτο δηλαδὴ ὡμολο-
γημένον ἐστίν, οἶμαι, ὡς τοῖς χρηστοῖς πρὸς τοὺς χρηστοὺς
οἱονεὶ ἀναγκαία ἐστὶν ἡ εὔνοια· ἥτις ὥςπερ πηγὴ τῆς φιλίας
ὑπὸ τῆς φύσεως καθέστηκεν. Ἀλλὰ καὶ ἡ αὐτὴ χρηστότης
πρὸς τὸ πλῆθος οἶδε διήκειν. οὐ γὰρ ἀπάνθρωπος οὔτ' ἀπη-
νὴς οὔθ' ὑπερήφανός ἐστιν ἡ ἀρετή· ὅπου καὶ ὁλοκλήρων
προστῆναι τῶν δήμων καὶ τούτων ὡς κάλλιστα προνοεῖν εἴθι-
σται· ὅπερ δηλονότι οὐκ ἂν ἐποίει, εἰ πρὸς τὴν τῶν πολλῶν
51 ἀγάπησιν ἀλλοτρίως εἶχε. Καὶ μέντοι δοκοῦσιν ἐμοὶ οἱ τῆς
ὠφελείας ἕνεκα τὰς φιλίας ἀναπλάττοντες τὸν ποθεινότατον

ἢ ὥςτε — ἀποδιοπομπεῖσθαι] Ἀποπέμπεσθαι pro ἀποδιοπομπεῖσθαι significatione *repudiandi* mihi aptius videtur, vd. de hoc voc. Steph. Thes. L. G. T. I. p. 1024.

Cap. XIV. ἐὰν — ἀρετῆς] Corrige ὑποφαίνηται.

ἀνταγαπᾶν] Quum h. v. non exstet apud scriptorem Graecum, sed ἀντιφιλεῖν i. q. *redamare* vd. Gernh. Corr. et Add. p. 276. (cui tamen *redamare* non per ἀντιφιλεῖσθαι, sed per ἀντιφιλεῖν erat interpretandum), hoc ponendum est.

49 ἥ τε — ἀμοιβή] Non satis accurate Ciceronis verba reddita sunt: *nihil vicissitudine studiorum officiorumque;* nam οὐδέν erat repetendum, et *officia* sunt ὑπουργίαι — ὑπηρετήματα — χάριτες, non εὐποιΐα.

ἀντάλλαξις] Non exstat in Lexx., sed ἀνταλλαγή — ἀντάλλαγμα, quanquam ἄλλαξις — ἀπάλλαξις — διάλλαξις etc. inveniuntur apud script. Gr.

50 Ἐὰν — προςθείημεν] Corrige προςθῶμεν.

συγκεχωρήσθω] *Concedatur*, optt. Edd. Graev. Ern. Gernh. Beier. Orell. *concedetur*. Infra ἀπηνής *immanis*, vulg. *immunis*

φιλίας σύνδεσμον ἀναιρεῖν. Οὐ γὰρ τοσοῦτον ἡ διὰ τοῦ φίλου προσγενομένη χρεία, ὅσον αὐτὴ τοῦ φίλου ἡ πρὸς ἡμᾶς διάθεσις εὐφραίνει· καὶ τηνικαῦτα δῆτα ἡ παρὰ τοῦ φίλου πρὸς ἡμᾶς ἐλθοῦσα χάρις ἡδεῖα γίνεται, ὅταν μετ᾽ ἀγαπήσεως καὶ σπουδῆς ἔρχηται. τοσοῦτον δ᾽ ἀποδέουσιν αἱ φιλίαι τοῦ τῆς ἐνδείας ἕνεκα θεραπεύεσθαι, ὅσον οἱ διὰ τὸ πολλὰ τὰ χρήματα καὶ τὰς εἰς τὸν βίον ἀφορμάς, μάλιστα δὲ τὴν ἀρετήν, ἐν ᾗ τὸ πλεῖστον ἔνεστι τῆς βοηθείας, κεκτῆσθαι ἥκιστα τῶν ἑτέρων δεόμενοι πάντων εἰσὶ φιλοδωρότατοί τε καὶ εὐεργετικώτατοι. Καὶ οὐκ οἶδα δὲ ἄλλως, εἰ μηδὲ τοῦτο λυσιτελεῖ τὸ μηδενὸς ἐνδεῖν πώποτε τοῖς φίλοις. Ποῦ γὰρ ἡ ἐμὴ σπουδὴ λαμπρῶς ἂν ἐξητάζετο, εἰ ἐν μηδενὶ τῆς παρ᾽ ἡμῶν ἐπιμελείας καὶ βουλῆς ἢ ἐργασίας οὔτ᾽ οἴκοι οὔτ᾽ ἐν στρατείᾳ χρείαν εἶχεν ὁ Σκηπίων; οὐ τοίνυν παρακολούθημα τῆς χρείας ἡ φιλία, τοὐναντίον δὲ τῆς φιλίας ἐστὶν ἡ χρεία.

XV. *Οὐδὲ γοῦν ἀκοῦσαι δεῖ τῶν ὑπερπλουτούντων, ὅταν* 52
τῆς φιλίας πέρι διαλέγωνται, ἣν οὔτε πείρᾳ οὔτε λόγῳ μα-
θόντες πω ἐπιγινώσκουσιν. Τίς γάρ, ὦ πρὸς θεῶν καὶ ἀν-
θρώπων, ἕλοιτ᾽ ἂν ἐπὶ τῷ μήτε τινὰ φιλεῖν μήτ᾽ αὖ ὑφ᾽ ἑτέ-
ρου φιλεῖσθαι τὸ πάντων ἀπολαύειν περιῤῥεόντων ἀγαθῶν
καὶ ἐν πάσῃ περιουσίᾳ καταζῆν; Οὗτός ἐστι γὰρ τῶν τυράννων
ὁ βίος, ᾧ μηδεμία δῆτα πρόσεστι πίστις οὔτ᾽ ἀγάπη οὔτ᾽ εὐνοίας
στάσιμος πεποίθησις· πάντα δὲ ὕπουλά τε καὶ ὕποπτα, καὶ
οὐδεμίαν ἔχει χώραν ἡ φιλία. Πῶς γὰρ οἷός τε φιλεῖν, ὃν ἂν 53
ἢ φοβοῖτό τις ἢ παρ᾽ ᾧ ἐν φόβῳ γίνεσθαι νομίζοι; Ὅμως δὲ
προσποιήσει φιλίας πρὸς καιρὸν θεραπεύονται. ἐπειδὰν δέ, ὡς
ἐνδέχεται πολλάκις, μεταπέσωσι, τότε δὴ γινώσκεται, ἐν οἵᾳ
σπάνει τῶν φίλων ἦσαν. ὅπερ τὸν Ταρκύνιον εἰπεῖν λέγουσι,
τῆς πατρίδος ἐκπεσόντα τότε σαφῶς εἰδέναι, ὁποίους εἶχε πι-
στοὺς τῶν φίλων, καὶ ὁποίους οὐχί, ὅτε μηδετέρους οἷός τε

Ποῦ — Σκηπίων] Quum Petavius *εἰ ἐν μηδενὶ τῆς παρ᾽ ἡμῶν ἐπιμελείας καὶ βουλῆς ἢ ἐργασίας* redderet, secutus est lect. in Cod. Dresd. *a* et nonnullis Edd. ut Ascens. Lamb. repertam *si nunquam studio, nunquam consilio, nunquam opera nostra: nunquam studio* omittunt reliqui Codd. et optt. Edd. Corr. bis *μήτ᾽*, ut §. 52. 51

Cap. XV. *τῶν ὑπερπλουτούντων*] *Deliciis diffluere* apud Ciceronem non est *ὑπερπλουτεῖν*, sed *τρυφᾶν — διατρυφᾶν — ἐκτρυφᾶν — τρυφερῶς ζῆν — ἁβροτέρᾳ τῇ διαίτῃ χρῆσθαι.* 52

ὦ — ἀνθρώπων] In hac formula iurandi Graeci non addunt *ὦ*.

πεποίθησις] Est vocabulum posterioris Graecitatis vd. Lobeck. ad Phrynich. p. 294.

ὅπερ — εἰδέναι] Beierus recte *exsulantem* a Petavio expressum et in omnes reliquas Edd. receptum stilo confixit, Orell. uncis inclusit. *Intellexisse* non est *εἰδέναι*, sed *γνῶναι — ἐννοῆσαι — μαθεῖν.* 53

τῶν φίλων] Sic correxi pro *τῶν φιλίων*, mendo typographico.

54 ἦν ἀμείψασθαι. Καίτοι θαυμάζειν ἔπεισί μοι, εἰ ἐν ὑπερη-
φανίᾳ τοιαύτῃ καὶ ἀπανθρωπίᾳ κἂν ἕνα πιστὸν ἔχειν ἠδύνατο.
Ἀλλὰ καθάπερ τουτουΐ, ὃν ἔφην, οἱ τρόποι γνησίους παρα-
σκευάζειν τοὺς φίλους οὐκ εἶχον· οὕτω πολλῶν πλούτῳ καὶ δυ-
νάμει ὑπερεχόντων ἡ περιουσία τὰς γνησίας τῶν φιλιῶν οὐ προς-
ίεται. Οὐ γὰρ αὐτὴ μόνον τυφλή ἐστιν ἡ τύχη, ἀλλὰ καὶ τυ-
φλοὺς πολλάκις ἀποδείκνυσιν, οὓς ἂν περιπτύξηται. Οὐκοῦν
ὡς ἐπὶ τὸ πολὺ ὑπὸ τῆς ἄγαν ὑπεροψίας καὶ αὐθαδείας ἐπαί-
ρονται· καὶ τῷ ὄντι δὲ φορτικώτερον ἂν εὕροις οὐδὲν εὐδαιμο-
νοῦντος ἄφρονος. Ἀμέλει τοῦτο ῥᾳδίως ἄν τις κατίδοι, ὅπως
οἱ χρηστοὶ καὶ ἐπιεικεῖς τοὺς τρόπους τέως ὑπάρξαντες ὑπὸ τῆς
ἀρχῆς καὶ ἐξουσίας καὶ τῆς εὐημερίας ἠλλοιώθησαν, ὥς τῶν
55 τε παλαιῶν ὀλιγωρεῖν φιλιῶν καὶ τὰς καινὰς περιέπειν. Ἀλλὰ
τί τούτου εὐηθέστερον ἂν εἴη ἢ ὅπως ἄν τις πολλὴν ἔχων
ἀφορμὴν καὶ περιουσίαν καὶ πλοῦτον ὅτι πλεῖστον δύνηται,
τὰ μὲν λοιπὰ παρασκευάζειν, ἅπερ οὖν παρασκευάζουσιν, χρή-
ματά τε καὶ ἵππους καὶ δούλους καὶ περιφανεῖς ἐσθῆτας καὶ
σκεύη πολύτιμα· φίλους δὲ μὴ παρασκευάζειν, τὴν ἀρίστην
ὡς ἀληθῶς καὶ καλλίστην τοῦ βίου ὡς εἰπεῖν ἀποσκευήν;
Τὰ μὲν γὰρ ἄλλα, ὁπόταν εὐτρεπίζωσιν, ὅτῳ ποτὲ οὖν εὐτρε-
πίζουσιν, ἀγνοοῦντές εἰσιν, ὅτου θ᾽ ἕνεκα ταλαιπωροῦσιν (ἓν
γὰρ ἐκείνων ἕκαστον εἰς τὸν ἰσχύϊ πλεονεκτοῦντα περιέστη)
τῶν δὲ φιλιῶν οὐκ ἔστιν ᾧτινι βεβαία καὶ ἀσφαλὴς ἡ κτῆσις οὐ
παραμένει· ὥστε κἂν ἐκεῖνα μόνιμα τυγχάνοι, ἃ δὴ οἱονεὶ δῶρά
ἐστι τῆς τύχης, ὅμως ὅγε ἄγριος καὶ τῶν φίλων ἠρημωμένος
βίος οὐκ ἂν ἡδὺς εἶναι δύναιτο. Ἀλλὰ περὶ μὲν τούτων τέως
εἰρήσθω.

---

54 *εἰ — κἂν*] Corrige *εἰ — καί.*

οὓς ἂν περιπτύξηται] i. e. quoscunque complectitur, sed Cic. *quos complexa est*, i. e. *οὓς περιεπτύξατο*; loquitur de re certa. Aelian. V. H. II, 19. de Alexandr. — *ὑπὸ τῆς εὐτυχίας τῆς περιλαβούσης αὐτόν.* Huc pertinet Menandr. sententia:

ὁ πλοῦτος τυφλόν·
τυφλοὺς δ᾽ ἐς αὐτὸν ἐμβλέποντας δεικνύει.

55 *ἅπερ οὖν — ἵππους*] Secutus est Petavius lect. deteriorem *quae parantur, pecuniam, equos* pro *quae parantur pecunia, equos* i. e. *χρήμασιν, ἵππους.*

φίλους — ἀποσκευήν] *Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου* Poet. gnom. ap. Brunck. v. 582; *ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος* Xenoph. Memor. II, 4, 1; *ἐγὼ οὐδὲν ἄλλο ἡγοῦμαι ἀνθρώποις εἶναι τούτου κτῆμα ἄμεινον ἢ κάλλιον* Lucian. Toxar. Cap. 62. Petavius *ὡς ἀληθῶς* de suo interposuit.

εὐτρεπίζωσιν — εὐτρεπίζειν] *Parare* h. l. *παρασκευάζειν — πορίζειν — κτᾶσθαι.*

ὅμως — βίος] *Tamen vita inculta et deserta ab amicis* Cic., quae vocabula quoniam ab agro ducta sunt, pro *ἄγριος* mihi ponendum videtur *ἀνέργαστος — ἀθεράπευτος.*

XVI. *Δεῖ δὲ ὅρους ἐν τῇ φιλίᾳ καὶ τοῦ φιλεῖν τέλη κα-* 56
ταστῆσαί τινα· περὶ ὧν γνώμας ὁρῶ περιφέρεσθαι τρεῖς, ὧν
οὐδεμίαν δέχομαι. Ἡ μὲν οὖν μία τούτων ἐστίν, ὡς παρα-
πλησίως ἡμᾶς πρὸς τοὺς φίλους διακεῖσθαι δεῖ, ὡς πρὸς ἑαυ-
τοὺς ἔχομεν· ἡ δὲ δευτέρα, ὅτι τὴν παρ᾽ ἡμῶν εἰς τοὺς φί-
λους εὔνοιαν πρὸς τὴν παρὰ τούτων εἰς ἡμᾶς χρὴ ἴσην καὶ
ὁμοίαν ὑπάρχειν· τρίτη δ᾽ αὖ, ὅτι, ὅσον τιμᾷ τις ἑαυτόν, το-
σούτου τιμᾶσθαι δέον ἐστὶν ὑπὸ τῶν φίλων. Ἀλλ᾽ ἔγωγε τῶν
τριῶν δοξῶν ἐκείνων οὐδεμιᾷ συγκατατίθεμαι. Οὔτε γὰρ ἀλη-
θής ἐστιν ἡ πρώτη ἡ πρὸς τὸν φίλον οὕτως ὡς πρὸς ἡμᾶς
αὐτοὺς διατίθεσθαι προσήκειν λέγουσα. Πόσα γάρ ἐστιν, ἃ 57
ἡμῶν ἕνεκα δρᾶν οὐδέποτ᾽ ἂν ἀνασχόμενοι ποιοῦμεν ὅμως τοῖς
φίλοις χαριζόμενοι; οἷον ἂν εἴη δεῖσθαί τι ἀναξίου τινὸς καὶ
ἱκετείαν προσφέρειν ἢ ἀπηνέστερον πρὸς ὁντιναοῦν ἀποτείνε-
σθαι καὶ σφοδρότερον ἐπιπλήττειν· ἅπερ ἐν μὲν τοῖς ἰδίοις
ἡμῶν οὐκ ἄγαν εὐπρεπῶς, ἐν δὲ τοῖς τῶν φίλων μετὰ πάσης
ποιοῦμεν τῆς εὐσχημοσύνης. Καὶ πολλὰ δὲ συμβαίνει, ἐν οἷς
τῶν ἑαυτοῖς συμφερόντων οὐκ ὀλίγα περιαιροῦσι σφᾶς αὐτοὺς
οἱ ἀγαθοὶ ἢ περιαιρουμένων ἀνέχονται, ὅπως οἱ φίλοι μᾶλ-
λον ἢ αὐτοὶ τούτων ἀπολαύωσιν. Ἡ δὲ δευτέρα δόξα τῶν 58
τριῶν ἐστιν ἡ τὴν φιλίαν ἔργων τε καὶ θελημάτων ἰσότητι πε-
ριγράφουσα. Ἀλλὰ τοῦτο ἄντικρύς ἐστι γλίσχρως ἄγαν καὶ
μικρολόγως εἰς ψηφισμοὺς τὴν φιλίαν περιστῆσαι, τούτου στο-
χαζόμενον, ὅπως οἱ τῆς λήψεως καὶ τῆς δόσεως λόγοι πρὸς
ἀλλήλους ἀπαρτίζωσιν. Ἐμοὶ δὲ εὐπορωτέρα καὶ δαψιλεστέρα
πως εἶναι δοκεῖ ἡ ἀληθινὴ φιλία, μηδ᾽ ἀκριβῶς οὕτω παρα-
φυλάττεσθαι, ὡς μὴ πλέον τι ὧνπερ εἴληφεν ἀποδιδῷ. Οὐ
γὰρ δὴ φοβητέον τοῦτο, μήτι ἐκπέσῃ ἢ χαμαὶ παραῤῥυῇ ἢ
τοῦ δέοντος πλέον ἐν φιλίᾳ τι συναθροισθῇ. Ὁ τρίτος τῶν εἰ- 59
ρημένων ὅρος τῆς φιλίας λείπεται τῶν πάντων ἀτοπώτατος τὸ
δεῖν τοσούτου τιμᾶσθαι ὑπὸ τῶν φίλων, ὅσον ἂν τις ἑαυτὸν
ἀξιοῖ. Καίτοι πολλάκις ἐνυπάρχει τισὶν ἢ ταπεινότερον τὸ
φρόνημα ἢ τοῦ λαμπροτέρας ἐπιλαβέσθαι τύχης ἀσθενεστέρα

CAP. XVI. *Πόσα — χαριζόμενοι;*] Petavius cum plerisque Edd. 57
signum interrogandi posuit, rectius Beier. Orell. exclamandi: tum
ὅσα est scribendum. De sententiis cf. Xenoph. Mem. II, 4, 7.
πολλάκις δὲ ἃ πρὸ αὐτοῦ τις οὐκ ἐξειργάσατο ἢ οὐκ εἶδεν ἢ οὐκ ἤκου-
σεν ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν.

γλίσχρως — στοχαζόμενον] Petavius *nimis exigue et exiliter* ex- 58
pressit, quam omnium fere Codd. et Edd. lect. tuentur Beier. Orell.; *nimis* Gernhardus delevit. Quum *ψηφισμός* non sit voc. Graec., *ψήφους* erat ponendum. *Ad calculos revocare* i. q. *ψηφί-ζειν — ψήφοις λογίζεσθαι*; tum verba *τούτου στοχαζόμενον* abesse possunt. Pro *δαψηλεστέρα*, mendo typographico, emendavi *δα-ψιλεστέρα*.

ἦσαν ἄνδρες· ἐπίσης δ' ἀθέμιτόν ἐστι τὸ τοιούτων τι ποιεῖν αἰτηθέντα καὶ αὐτὸν αἰτεῖν. Τῷ μέντοι Τιβερίῳ Γράκχῳ εἵποντο ὅ τε Γάϊος Κάρβων καὶ Γάϊος Κάτων καὶ τότε μὲν ἥκιστα θερμός, νῦν δὲ θερμότατος ὁ Γάϊος ἀδελφὸς ἐκείνου.

40 XII. Τοῦτο τοίνυν πρὸ πάντων ἐν τῇ φιλίᾳ νομοθετείσθω, τὸ μηδέ τι αἰσχρὸν αἰτεῖν παρὰ τῶν φίλων μήτε δρᾶσαι αἰτηθέντα ὑπ' αὐτῶν. Πάντως γὰρ αἰσχρὰ καὶ οὐδαμῶς αὕτη πιθανή ἐστιν ἡ ἀπολογία ἔν τε τοῖς ἄλλοις ἁμαρτήμασιν, ἀτὰρ καὶ ὁπότε κατὰ τῆς πολιτείας τολμηθῇ τι φίλου ἕνεκα πεπρᾶχθαι οἱ ὁμολογεῖν. Ἡμεῖς γάρ, ὦ Φάννιε καὶ Σκαιόλα, εἰς τοιαύτην κατεστάθημεν τὴν τάξιν, ὡς τὰ τῇ πόλει ξυμβήσεσθαι μέλλοντα πόῤῥωθέν που προορᾶν ὀφείλειν. Καὶ γὰρ ἤδη τὸ τῶν προγόνων ἔθος ἡμετέρων ὀλίγον τι τοῦ δρόμου ἀποπλανᾶν ἤρξατο. Ὁ μὲν οὖν Τιβέριος Γράκχος τὴν βασιλείαν καταλαβεῖν ἐπεχείρησεν, ἢ καὶ μᾶλλον οὗτος ὀλίγους μῆνας

41 ἄντικρυς ἐβασίλευσε. Τί παραπλήσιον ἀκηκόει ἢ ἑωράκει τέως ὁ δῆμος τῶν Ῥωμαίων; Καὶ δὴ ἐκεῖνον μετὰ τὸν θάνατον οἱ φίλοι καὶ οἰκεῖοι μιμησάμενοι οἷά περ εἰς Πόπλιον Σκηπίωνα ἔναγχος εἰργάσαντο, ἀδακρυτὶ λέγειν οὐ δύναμαι. Τοῦ Κάρβωνος γάρ, οὗπερ ἄρτι μνείαν ἐποιησάμην, διὰ τὸν πρόσφατον τοῦ Τιβερίου Γράκχου τιμωρίαν ἀνεσχόμεθα. Περὶ δὲ τοῦ Γαΐου Γράκχου δημαρχίας ὁποίαν ἔχω προσδοκίαν, οὐκ ἐμοὶ μαντεύεσθαι φίλον ἐστί. Τὸ γὰρ πρᾶγμα ἐφεξῆς διαδιδόμενον ὑφέρπει, ὃ καὶ ῥοπὴν εἰς ὄλεθρον λαβὸν ἐπὰν ἄρξηται ἅπαξ, ὑποῤῥεῖ. Οὐχ ὁρᾶτε ἐν τῇ κατὰ τὰς ἀρχαιρεσίας δέλτῳ οἵα ἤδη λύμη γενένηται, τὰ μὲν πρῶτα ἐκ τοῦ Γαβινίου νόμου, ἔπειτα δὲ μετὰ τὰ δύο ἔτη ἐκ τοῦ Κασσίου. Ἤδη τοίνυν ὁρᾶν μοι δοκῶ τὸν δῆμον Ῥωμαίων πρὸς τὴν σύγκλητον βουλὴν στα-

---

impetraturos fuisse, licet textus Latinus exhibeat *contendisset — impetraturum*, ut optt. Edd.

καὶ — ἐκείνου] Θερμός aut de suo addidit Petavius aut secutus Edd. Lambin. Suffrid. Petr., quae offerunt *acer*, glossema iure eiectum ex optt. Edd. etiam e textu Latino interpret. Petavianae.

40 Cap. XII. Τοῦτο — νομοθετείσθω] Expressa est lectio *Haec igitur prima lex in amicitia sanciatur*, at Gernhardus et Beierus auctoritate optt. Codd. et Edd. *prima* eiecerunt.

δρᾶσαι] Δρᾶσαι et infra πεπρᾶχθαι accentu circumflexo pro acuto notavi.

ὁπότε — τολμηθῇ] Corr. Indic. Aor.

τοῦ — ἤρξατο] Corrige ἀποπλανᾶσθαι: apud Cicer. exstat *deflexit — de spatio curriculoque*, quod interpretandum est ἀπεπλανήθη τοῦ σταδίου καὶ δρόμου.

ἀνεσχόμεθα] Corr. ἠνεσχόμεθα. vd. Matth. Gr. gr. Vol. I. p. 310.

41 τὸν — βουλὴν] Dicendum est τὸν δῆμον τῶν Ῥωμαίων, ut supra ὁ δ. τ. Ῥ. aut melius τὸν Ῥωμαίων vd. Schaef. in Indic. Latin. ad Gregor. Corinth. p. 1048. s. *Articul.* Matth. Gr. gr. Vol. II. §. 278. Blum. ad Lycurg. Cap. 12. p. 91. Ceterum apud Cic. tan-

σιάζοντα, τά τε μέγιστα τῶν πραγμάτων ὑπὸ τοῦ δημώδους ὄχλου διαχειριζόμενα. Πλείους γὰρ μαθήσονται, ὅπως τὰ τοιαῦτα γίνεσθαι οἷόν τ' ἂν εἴη, ἢ ὅπως ἀντιστῆναι πρὸς ταῦτα δεῖ. Τοῦ δὴ ἕνεκα τάδε λέγειν ἐπῆλθέ μοι; ὅτι δηλαδὴ ἄνευ 42
ἑταίρων ἐπιχειρεῖ τοῖς τοιούτοις οὐδείς. Οὐκοῦν τοῖς μὲν σπουδαίοις παραγγελτέον ἐστίν, ὡς, ἐπὰν εἰς τοιάσδε τὰς φιλίας ἐξ ἀγνοίας καὶ καθ' ἥντινα τύχωσι περίστασιν ἐμπέσωσι, μὴ οὕτως ἑαυτοὺς ἐξ ἀνάγκης προςδεδέσθαι οἴωνται, ὥςτε τῶν φίλων ἐν μεγάλῳ τινὶ κατὰ τῆς πολιτείας ἐξαμαρτανόντων οὐκ ἂν ἀποστῆναι· τοῖς δὲ μοχθηροῖς τιμωρίαν ἐπιτιθέναι τινὰ χρή· καὶ ταύτην δ' οὐδὲν ἐλάττω τοῖς ἑτέρῳ παρακολουθήσασιν ἢ τοῖς ἡγεμόνας ἑαυτοὺς εἰς ἀσέβειαν παρασχοῦσι. Τίς κατὰ τὴν Ἑλλάδα λαμπρότερος, τίς δυνατώτερος Θεμιστοκλέους; ὃς ἐπειδὴ κατὰ τὰ Μηδικὰ αὐτοκράτωρ στρατηγὸς αἱρεθεὶς τῆς δουλείας ἐξείλετο τὴν Ἑλλάδα, ἔπειτα δὲ κατὰ φθόνον φυγὴν κατεδικάσθη· ὑπὸ τῆς ἀχαρίστου πατρίδος ὑβρισθεὶς οὐκ ἤνεγκεν, ὅπερ ἀνασχέσθαι ὤφειλεν, ἀλλὰ τὸ αὐτὸ ἔπραξεν, ὅπερ εἴκοσι πρότερον ἐνιαυτοῖς παρ' ἡμῖν ὁ Κοριολανὸς ἐπεπράγει. Τούτοις μὲν οὖν ὁ συναράμενος κατὰ τῆς πατρίδος οὐδεὶς εὑρέθη· οὐκοῦν ἀμφότεροι ἑαυτοὺς διεχρήσαντο. Τοιαύ- 43
την τοίνυν τῶν πονηρῶν σύμπνοιαν οὐ μόνον προφάσει τῆς φιλίας περιστέλλειν οὐ χρή, ἀλλ' ἤδη καὶ πάσαις ταῖς τιμωρίαις μετελθεῖν ἄξιόν ἐστιν· ἵνα μή τις ἑαυτὸν πείσῃ, ὅτι ἔξεστι πολεμοῦντι κατὰ τῆς πατρίδος ἕπεσθαι τῷ φίλῳ· ὅπερ, καθ' ὅσον ἤδη προβαίνειν ἤρξατο τὸ πρᾶγμα, οὐκ οἶδα, εἰ ξυμβήσεταί ποτε. Ἐμοὶ δ' οὐχ ἧττον μέλει, ὁποία μετὰ τὸν ἐμὸν θάνατον ἡ πόλις ἔσεσθαι μέλλει, ἢ ἐν τῷ παρόντι ὁποίως ἔχει.

XIII. Πρῶτος τοίνυν οὑτοσὶ κείσθω τῆς φιλίας ὁ νόμος, 44
ὡς παρὰ τῶν φίλων αἰτώμεθά τε τὰ καλὰ καὶ τῶν φίλων ἕνεκα τὰ καλὰ πράττωμεν· μηδ' αὖ ἐπὶ τοσοῦτον ὑπερτιθώμεθα τὴν χάριν, ἕως ἡμῶν αὐτοὶ δεηθῶσιν· ἀλλ' ἀεὶ μὲν παρείη τὸ πρό-

---

tum *populum* est: vulgo σύγκλητος intellecto, non addito substantivo βουλή usurpatur.

ὑπὸ — ὄχλου] *Multitudinis arbitrio* Cic.

Πλείους — εἴη — δεῖ] Corrige ἔσται — δεήσει vd. Passov. Lex. s. ὅπως et Matth. Gr. gr. Vol. II. §. 519. 7.

ὥςτε — ἀποστῆναι] De lectt. h. l. admodum diversis vd. Gernh. 42
Beier. et Orell., qui *ut ab amicis in republica peccantibus non discedant* recte receperunt. Petavius expressit *in magna re aliqua in rempublicam peccantibus*. Pro οὐκ corr. μή.

Cap. XIII. ἀλλ' ἀεὶ — πρόθυμον] Expressa est lectio *sed studium* 44
semper adsit; sed in tribus Codd. Manut. Dresd. *a*. Lips. β. inculcatum omittunt Graev. Gernh. Beier. Orell. *semper* omis. Beier. Isocr. ad Demon. Cap. 9, 6. οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς.

δέχονται. Ἐπὶ γὰρ τῷ ἁμαρτεῖν οὐκ ἀλγοῦντες πρὸς τὸ ἐπιτιμᾶσθαι βαρέως ἔχουσι· δέον τοὐναντίον τοῖς μὲν πλημμεληθεῖσιν ἐπιστυγνάζεσθαι, ταῖς δ' ἐπιπλήξεσι χαίρειν.

91 XXV. *Ὥςπερ τοίνυν τὸ νουθετεῖν τε καὶ νουθετεῖσθαι
τῆς ἀληθινῆς ἴδιόν ἐστι φιλίας, καὶ θάτερον μὲν μετὰ παῤῥησίας, ἀλλ' οὐκ ἀπηνῶς δρᾶν, θάτερον δὲ μακροθύμως, καὶ οὐκ ἀντιβαίνοντα προςδέχεσθαι· οὕτως ἐνθυμητέον, μηδεμίαν ἐν ταῖς φιλίαις ἐξωλεστέραν εἶναι λύμην ἢ κολακείαν, ἀρέσκειαν, θωπείαν. ὅτι πλείστοις γὰρ ὀνόμασι τήνδε σημειῶσαι δεῖ τὴν κακίαν, ἣ κούφων ἐστὶν ἀνθρώπων καὶ ἀπατηλῶν,*
92 *πάντα πρὸς χάριν λεγόντων, οὐδὲν δὲ πρὸς ἀλήθειαν. Πάντων δὲ πραγμάτων ἡ προςποίησις οὖσα φαύλη (ἀφαιρεῖ γὰρ τὸ κριτήριον τἀληθοῦς καὶ τοῦτο παραποιεῖ) καὶ τῇ φιλίᾳ διαφερόντως ἀντίκειται, ὡς ἀφανίζουσα τὴν ἀλήθειαν, ἧς ἄνευ τὸ τῆς φιλίας ὄνομα οὐδὲν ἁπαξάπλως ἰσχύει. Ἐπειδὴ γὰρ ἡ τῆς φιλίας ἐν τούτῳ κεῖται δύναμις, τῷ μίαν ἐκ πολλῶν συστῆναι ψυχήν· πῶς ἂν γένοιτο τοῦτο, εἰ μηδ' ἐν ἑνὶ μία ἔσται ἀεὶ ψυχή, ἀλλὰ ποικίλη, ἀγχίστροφος καὶ παντοίας δεχομένη τὰς*
93 *ἐξαλλαγάς; Τί γὰρ οὕτως εὔκαμπτον καὶ τῆς ὀρθῆς ἐκκλῖνον οὕτως ἂν εἴη, ὡς ἐκείνου ψυχή, ὅςτις πρὸς τὴν ἑτέρου οὐ μόνον γνώμην καὶ βούλησιν, ἀλλὰ καὶ τὸ βλέμμα καὶ νεῦμα μεταστρέφεται;*

Ἀπέφη τις; ἀπέφην· φησί; φημ'. αὐτὸς δ' ὅλως ἐπέταξά μοι
Τὰ πάντα κολακεύειν,

ὡς ὁ αὐτὸς λέγει Τερέντιος. Ἀλλ' ἐκεῖνος μὲν ὡς ἐκ προςώπου τοῦ Γνάθωνος, οἷον δὴ τῶν φίλων ἑαυτῷ συνάψαι γένος πρὸς

τοῖς πλημμεληθεῖσιν ἐπιστυγνάζεσθαι — ἐπιπλήξεσι] *Dolendi* significatione *ἐπιστυγνάζειν* apud Basilium et Theophylactum legitur. Pro *πλημμεληθεῖσιν — ἐπιπλήξεσιν* posuerim *πλημμελείᾳ — ἐπιπλήξει*, quum Cicer. scripserit *delicto — correctione.*

92 CAP. XXV. *παραποιεῖ*] *Adulterare* h. l. rectius dicitur *διαφθείρειν.*

τῷ — ψυχήν] Aristot. ap. Diog. Laërt. V, 20. *Τί ἐστι φίλος; Μία ψυχὴ δύο σώμασιν ἐνοικοῦσα.*

καὶ — ἐξαλλαγάς] *Multiplex* h. l. i. q. *πολύμορφος — παντοδαπός.* Plutarch. de adul. cp. 9. Hutt. *ὁ δὲ κόλαξ — οὐδὲ εἷς, ἀλλὰ παντοδαπός ἐστι καὶ ποικίλος.*

93 *Ἀπέφη — τις — φημ'*] „Opponuntur verba *aio nego* ad modum Graecorum *οὔ φημι* et *φημί.*" Beier.

κολακεύειν] *Assentari* h. l. i. q. supra *ad voluntatem loqui*, *πρὸς χάριν — ἡδονὴν λέγειν.* Herodot. VII, 101. *κότερα ἀληθηΐῃ χρήσομαι πρὸς σὲ ἢ ἡδονῇ*: vd. Beier ad h. l.

οἷον — ἐστί] In lect. vulgata *quod amici genus adhibere, omnino levitatis est* Gernh. et Beier. *amici* uncis incluserunt, recte liberavit Orell. Petavius interpretatus est tanquam scriptum es-

δῆθεν σοφίας! Τὸν γὰρ ἥλιον ἐξαιρεῖν τοῦ κόσμου δοκοῦσιν οἱ
τοῦ βίου τὴν φιλίαν περιγράφοντες· ἧς οὐδὲν οὔτ' ἄμεινον
οὔθ' ἥδιον παρὰ τῶν θεῶν ἔχομεν. Καίτοι ποία ποτ' ἐκείνη
ἐστὶν ἡ ἄδεια; τῷ μὲν δοκεῖν πιθανὴ καὶ προσηνής, τῷ ὄντι δὲ
πολλαχῇ παραιτητέα. Οὐ γὰρ λόγον ἔχει τὸ καλὸν ὁτιοῦν
ἤγουν πρᾶξιν ἔνδοξον ἢ μὴ ἀρχὴν ἀναλαβεῖν ἢ ἀναλαβόντα
καταθέσθαι, ὅπως μὴ μεριμνᾶν ἀναγκασθῇς. Εἰ μὲν δὴ τὸ
μεριμνᾶν φεύγομεν, οὐκ ἂν φθάνοιμεν καὶ τὴν ἀρετὴν φεύγοντες
ἁπαξαπλῶς, ἣν ἀνάγκη μετά τινος φροντίδος τῶν ἐναντίων
ὑπερφρονεῖν καὶ ταῦτα μισεῖν· καθάπερ ἥ τε χρηστότης πρὸς
τὴν κακίαν, καὶ ἡ σωφροσύνη πρὸς τὴν ἀκολασίαν, πρός τε
τὴν δουλείαν ἡ ἀνδρεία διαβέβληται. Οὐκοῦν καὶ τοὺς δικαίους
ἐπὶ τοῖς ἀδίκως πεπραγμένοις, καὶ τοὺς ἀνδρείους ἐπὶ
τοῖς μαλακῶς καὶ ἀγεννῶς, καὶ ἐπὶ τοῖς ἀσελγῶς τοὺς κοσμίους
μάλιστ' ἀγανακτοῦντας ἂν ἴδοις. Τοῦτο τοίνυν τῆς εὖ καθεστηκυίας
ψυχῆς ἴδιόν ἐστι, τὸ τοῖς ἀγαθοῖς πράγμασιν εὐφραίνεσθαι
καὶ λυπεῖσθαι τοῖς ἐναντίως ἔχουσιν. Εἰ μὲν οὖν τῆς 48
τοῦ σοφοῦ ψυχῆς ἡ λύπη ἅπτεται (ὅπερ ἐνδέχεται δηλαδή, εἰ
μή που πρόῤῥιζον ἀνεσπάσθαι ἐκ τῆς ἐκείνου ψυχῆς τὸ ἀνθρώπινον
ἡγούμεθα)· τί ἂν ἡμεῖς αἰτιασαίμεθα τοῦ ἁπλῶς ἐκ
τοῦ βίου τὴν φιλίαν ἐκκόπτειν φάναι δεῖν, ἵνα μὴ ἀηδίαν τινὰ
ἐκεῖθεν ἐπισπασώμεθα; Τίνι γὰρ διαφέρει, περιαιρεθείσης
ἅπαξ κινήσεως τῇ ψυχῇ, οὐ λέγω βοσκήματος ἄνθρωπος, ἀλλὰ
καὶ λίθου αὐτὸς οὗτος ἢ πρέμνου ἢ ἑτέρου ὁτουοῦν τοιούτου;
Οὐδὲ γὰρ ἀκούειν ἐκείνων ἄξιον, οἳ τὴν ἀρετὴν σκληράν
τινα καὶ ἀτεράμονα καὶ οἱονεὶ σιδηρᾶν εἶναι βούλονται· ἣ κατά
τε πόλλ' ἄττα καὶ δὴ κατὰ τὴν φιλίαν ἁπαλή τίς ἐστι καὶ εὐάγωγος·
ὡς ἔκ τε τῶν τῷ φίλῳ προσγενομένων εὐχρηστημάτων
οἱονεὶ διαχεῖσθαι κἀκ τῶν δυσχρηστημάτων συσταλῆναι.
Αὕτη γοῦν ἡ ἀθυμία, ἣν πολλάκις ὑπὲρ τοῦ φίλου ἀναδέχεσθαι
χρή, τοσοῦτον οὐκ ἰσχύει, ὡς ἐκ τοῦ βίου τὴν φιλίαν ἐξε-

παρὰ τῶν θεῶν] *A Diis immortalibus* Cic.

οὐκ — ἁπαξαπλῶς] Apud Cic. tantum est: *virtus fugienda est.* 47

καὶ — ἀγεννῶς] *Imbellibus fortes* Cic., alterutrum Adverb. redundat.

πρόῤῥιζον — ἀνθρώπινον] *Exstirpare* rectius dicitur πρόῤῥιζον ἐκτρίβειν — ἐκριζοῦν: *humanitas* h. l. i. q. φύσις ἀνθρωπεία — 48
ἀνθρωπότης.

οἳ — ἀτεράμονα] Apud Cic. est *qui virtutem duram*, ἀτεράμονα de suo addidit Petavius.

ἣ — συσταλῆναι] Petavius recte secutus est ut Lambin. Victor. Beier. Orell. lect. unius Cod. Manut. *diffundatur — distrahatur*, pleraeque Edd. Gernh. *diffundantur — distrahantur.* Ob concinnitatem aut διαχυθῆναι — συσταλῆναι, aut διαχεῖσθαι — συστέλλεσθαι mihi scribendum videtur.

λεῖν· οὐ μὲν οὖν μᾶλλον ἢ ὥςτε τὰς ἀρετὰς ἀποδιοπομπεῖσθαι
διὰ τὸ φροντίδας καὶ ἀηδίας τινὰς ἐκ τούτων ἐπιφύεσθαι.
XIV. Ἐπειδὴ δέ, καθάπερ ἔφθην εἰπών, τὴν φιλίαν ἡ
ἀρετὴ συγκροτεῖ, ἐάν που ἐπισημασία τις ὑποφαίνῃ τῆς ἀρε-
τῆς, ᾗ προςδραμεῖν ἔχοι καὶ προσμῖξαι ἡ ὁμοίως διατεθειμένη
49 ψυχή· ἐντεῦθεν γίνεται ἐξ ἀνάγκης ἡ ἀγάπησις. Τί γὰρ οὕτως
ἄτοπόν ἐστιν ἢ πολλοῖς μὲν χαίρειν καὶ ματαίοις πράγμασιν,
οἷον τιμῇ καὶ δόξῃ ἢ οἰκοδομῇ ἢ στολῇ καὶ τῇ ἄλλῃ θερα-
πείᾳ τοῦ σώματος· τῇ δὲ ψυχῇ τὴν ἀρετὴν κεκτημένῃ, καὶ
οἵᾳ τ' ἀγαπᾶν ἢ ὡς εἰπεῖν ἀνταγαπᾶν, μὴ ὑπερβαλλόντως
τέρπεσθαι; Οὐδὲν γὰρ ἥδιόν ἐστιν ἢ τῆς εὐνοίας ἡ ἀντάλλα-
50 ξις, ἥ τε σπουδῆς καὶ εὐποιΐας ἀμοιβή. Ἐὰν δὲ καὶ τοῦτο
προςθείημεν, ὃ καὶ προςθεῖναι καλῶς ἂν ἔχοι, ὡς οὐδὲν οὕτως
ἕλκειν καὶ ἐπισπᾶσθαι πρὸς ἑαυτὸ πέφυκεν ὁτιοῦν, ὡς πρὸς
τὴν φιλίαν ἡ ὁμοιότης· τοῦτο δὴ συγκεχωρήσθω ἀληθὲς εἶναι,
ὅτι τοὺς ἀγαθοὺς φιλοῦσί τε οἱ ἀγαθοὶ καὶ ἑαυτοῖς οἰκειοῦσιν
ὡς κατ' ἀγχιστείαν καὶ φύσει προςήκοντας. Οὐ γάρ ἐστιν,
ὅ,τι τῶν ὁμοίων ὀρεκτικὸν ἢ ἁρπακτικόν ἐστι μᾶλλον ἢ φύ-
σις: Οὐκοῦν, ὦ Φάννιε καὶ Σκαιόλα, τοῦτο δηλαδὴ ὡμολο-
γημένον ἐστίν, οἶμαι, ὡς τοῖς χρηστοῖς πρὸς τοὺς χρηστοὺς
οἱονεὶ ἀναγκαία ἐστὶν ἡ εὔνοια· ἥτις ὥςπερ πηγὴ τῆς φιλίας
ὑπὸ τῆς φύσεως καθέστηκεν. Ἀλλὰ καὶ ἡ αὐτὴ χρηστότης
πρὸς τὸ πλῆθος οἶδε διήκειν. οὐ γὰρ ἀπάνθρωπος οὔτ' ἀπη-
νὴς οὔθ' ὑπερήφανός ἐστιν ἡ ἀρετή· ὅπου καὶ ὁλοκλήρων
προστῆναι τῶν δήμων καὶ τούτων ὡς κάλλιστα προνοεῖν εἴθι-
σται· ὅπερ δηλονότι οὐκ ἂν ἐποίει, εἰ πρὸς τὴν τῶν πολλῶν
51 ἀγάπησιν ἀλλοτρίως εἶχε. Καὶ μέντοι δοκοῦσιν ἐμοὶ οἱ τῆς
ὠφελείας ἕνεκα τὰς φιλίας ἀναπλάττοντες τὸν ποθεινότατον

ἢ ὥςτε — ἀποδιοπομπεῖσθαι] Ἀποπέμπεσθαι pro ἀποδιοπομπεῖσθαι significatione *repudiandi* mihi aptius videtur, vd. de hoc voc. Steph. Thes. L. G. T. I. p. 1024.

Cap. XIV. ἐὰν — ἀρετῆς] Corrige ὑποφαίνηται.

ἀνταγαπᾶν] Quum h. v. non exstet apud scriptorem Graecum, sed ἀντιφιλεῖν i. q. *redamare* vd. Gernh. Corr. et Add. p. 276. (cui tamen *redamare* non per ἀντιφιλεῖσθαι, sed per ἀντιφιλεῖν erat interpretandum), hoc ponendum est.

49 ἥ τε — ἀμοιβή] Non satis accurate Ciceronis verba reddita sunt: *nihil vicissitudine studiorum officiorumque;* nam οὐδέν erat repetendum, et *officia* sunt ὑπουργίαι — ὑπηρετήματα — χάριτες, non εὐποιΐα.

ἀντάλλαξις] Non exstat in Lexx., sed ἀνταλλαγή — ἀντάλλαγμα, quanquam ἄλλαξις — ἀπάλλαξις — διάλλαξις etc. inveniuntur apud script. Gr.

50 Ἐὰν — προςθείημεν] Corrige προςθῶμεν.

συγκεχωρήσθω] *Concedatur*, optt. Edd. Graev. Ern. Gernh. Beier. Orell. *concedetur*. Infra ἀπηνής *immanis*, vulg. *immunis*

φιλίας σύνδεσμον ἀναιρεῖν. Οὐ γὰρ τοσοῦτον ἡ διὰ τοῦ φίλου προςγενομένη χρεία, ὅσον αὐτὴ τοῦ φίλου ἡ πρὸς ἡμᾶς διάθεσις εὐφραίνει· καὶ τηνικαῦτα δῆτα ἡ παρὰ τοῦ φίλου πρὸς ἡμᾶς ἐλθοῦσα χάρις ἡδεῖα γίνεται, ὅταν μετ' ἀγαπήσεως καὶ σπουδῆς ἔρχηται. τοσοῦτον δ' ἀποδέουσιν αἱ φιλίαι τοῦ τῆς ἐνδείας ἕνεκα θεραπεύεσθαι, ὅσον οἱ διὰ τὸ πολλὰ τὰ χρήματα καὶ τὰς εἰς τὸν βίον ἀφορμάς, μάλιστα δὲ τὴν ἀρετήν, ἐν ᾗ τὸ πλεῖστον ἔνεστι τῆς βοηθείας, κεκτῆσθαι ἥκιστα τῶν ἑτέρων δεόμενοι πάντων εἰσὶ φιλοδωρότατοί τε καὶ εὐεργετικώτατοι. Καὶ οὐκ οἶδα δὲ ἄλλως, εἰ μηδὲ τοῦτο λυσιτελεῖ τὸ μηδενὸς ἐνδεῖν πώποτε τοῖς φίλοις. Ποῦ γὰρ ἡ ἐμὴ σπουδὴ λαμπρῶς ἂν ἐξητάζετο, εἰ ἐν μηδενὶ τῆς παρ' ἡμῶν ἐπιμελείας καὶ βουλῆς ἢ ἐργασίας οὔτ' οἴκοι οὔτ' ἐν στρατείᾳ χρείαν εἶχεν ὁ Σκηπίων; οὐ τοίνυν παρακολούθημα τῆς χρείας ἡ φιλία, τοὐναντίον δὲ τῆς φιλίας ἐστὶν ἡ χρεία.

XV. *Οὐδὲ γοῦν ἀκοῦσαι δεῖ τῶν ὑπερπλουτούντων, ὅταν* 52
τῆς φιλίας πέρι διαλέγωνται, ἣν οὔτε πείρᾳ οὔτε λόγῳ μαθόντες πω ἐπιγινώσκουσιν. Τίς γάρ, ὦ πρὸς θεῶν καὶ ἀνθρώπων, ἕλοιτ' ἂν ἐπὶ τῷ μήτε τινὰ φιλεῖν μήτ' αὖ ὑφ' ἑτέρου φιλεῖσθαι τὸ πάντων ἀπολαύειν περιῤῥεόντων ἀγαθῶν καὶ ἐν πάσῃ περιουσίᾳ καταζῆν; Οὗτός ἐστι γὰρ τῶν τυράννων ὁ βίος, ᾧ μηδεμία δῆτα πρόςεστι πίστις οὔτ' ἀγάπη οὔτ' εὐνοίας στάσιμος πεποίθησις· πάντα δὲ ὕπουλά τε καὶ ὕποπτα, καὶ οὐδεμίαν ἔχει χώραν ἡ φιλία. Πῶς γὰρ οἷός τε φιλεῖν, ὃν ἂν 53
ἢ φοβοῖτό τις ἢ παρ' ᾧ ἐν φόβῳ γίνεσθαι νομίζοι; Ὅμως δὲ προςποιήσει φιλίας πρὸς καιρὸν θεραπεύονται. ἐπειδὰν δέ, ὡς ἐνδέχεται πολλάκις, μεταπέσωσι, τότε δὴ γινώσκεται, ἐν οἵᾳ σπάνει τῶν φίλων ἦσαν. ὅπερ τὸν Ταρκύνιον εἰπεῖν λέγουσι, τῆς πατρίδος ἐκπεσόντα τότε σαφῶς εἰδέναι, ὁποίους εἶχε πιστοὺς τῶν φίλων, καὶ ὁποίους οὐχί, ὅτε μηδετέρους οἷός τε

Ποῦ — Σκηπίων] Quum Petavius *εἰ ἐν μηδενὶ τῆς παρ' ἡμῶν ἐπιμελείας καὶ βουλῆς ἢ ἐργασίας* redderet, secutus est lect. in Cod. Dresd. a et nonnullis Edd. ut Ascens. Lamb. repertam *si nunquam studio, nunquam consilio, nunquam opera nostra: nunquam studio* omittunt reliqui Codd. et optt. Edd. Corr. bis *μήτ'*, ut §. 52. 51

Cap. XV. *τῶν ὑπερπλουτούντων*] *Deliciis diffluere* apud Ciceronem non est *ὑπερπλουτεῖν*, sed *τρυφᾶν — διατρυφᾶν — ἐκτρυφᾶν — τρυφερῶς ζῆν — ἁβροτέρᾳ τῇ διαίτῃ χρῆσθαι.* 52

ὦ — ἀνθρώπων] In hac formula iurandi Graeci non addunt *ὦ*.

πεποίθησις] Est vocabulum posterioris Graecitatis vd. Lobeck. ad Phrynich. p. 294.

ὅπερ — εἰδέναι] Beierus recte *exsulantem* a Petavio expressum et in omnes reliquas Edd. receptum stilo confixit, Orell. uncis inclusit. *Intellexisse* non est *εἰδέναι*, sed *γνῶναι — ἐννοῆσαι — μαθεῖν.* 53

τῶν φίλων] Sic correxi pro *τῶν φιλίων*, mendo typographico.

54 ἣν ἀμείψασθαι. Καίτοι θαυμάζειν ἔπεισί μοι, εἰ ἐν ὑπερη-
φανίᾳ τοιαύτῃ καὶ ἀπανθρωπίᾳ κἂν ἕνα πιστὸν ἔχειν ἠδύνατο.
Ἀλλὰ καθάπερ τουτουΐ, ὃν ἔφην, οἱ τρόποι γνησίους παρα-
σκευάζειν τοὺς φίλους οὐκ εἶχον· οὕτω πολλῶν πλούτῳ καὶ δυ-
νάμει ὑπερεχόντων ἡ περιουσία τὰς γνησίας τῶν φιλιῶν οὐ προς-
ίεται. Οὐ γὰρ αὐτὴ μόνον τυφλή ἐστιν ἡ τύχη, ἀλλὰ καὶ τυ-
φλοὺς πολλάκις ἀποδείκνυσιν, οὓς ἂν περιπτύξηται. Οὐκοῦν
ὡς ἐπὶ τὸ πολὺ ὑπὸ τῆς ἄγαν ὑπεροψίας καὶ αὐθαδείας ἐπαί-
ρονται· καὶ τῷ ὄντι δὲ φορτικώτερον ἂν εὕροις οὐδὲν εὐδαιμο-
νοῦντος ἄφρονος. Ἀμέλει τοῦτο ῥᾳδίως ἄν τις κατίδοι, ὅπως
οἱ χρηστοὶ καὶ ἐπιεικεῖς τοὺς τρόπους τέως ὑπάρξαντες ὑπὸ τῆς
ἀρχῆς καὶ ἐξουσίας καὶ τῆς εὐημερίας ἠλλοιώθησαν, ὥς τῶν
55 τε παλαιῶν ὀλιγωρεῖν φιλιῶν καὶ τὰς καινὰς περιέπειν. Ἀλλὰ
τί τούτου εὐηθέστερον ἂν εἴη ἢ ὅπως ἄν τις πολλὴν ἔχων
ἀφορμὴν καὶ περιουσίαν καὶ πλοῦτον ὅτι πλεῖστον δύνηται,
τὰ μὲν λοιπὰ παρασκευάζειν, ἅπερ οὖν παρασκευάζουσιν, χρή-
ματά τε καὶ ἵππους καὶ δούλους καὶ περιφανεῖς ἐσθῆτας καὶ
σκεύη πολύτιμα· φίλους δὲ μὴ παρασκευάζειν, τὴν ἀρίστην
ὡς ἀληθῶς καὶ καλλίστην τοῦ βίου ὡς εἰπεῖν ἀποσκευήν;
Τὰ μὲν γὰρ ἄλλα, ὁπόταν εὐτρεπίζωσιν, ὅτῳ ποτὲ οὖν εὐτρε-
πίζουσιν, ἀγνοοῦντές εἰσιν, ὅτου θ᾽ ἕνεκα ταλαιπωροῦσιν (ἓν
γὰρ ἐκείνων ἕκαστον εἰς τὸν ἰσχύϊ πλεονεκτοῦντα περιέστη)
τῶν δὲ φιλιῶν οὐκ ἔστιν ᾧτινι βεβαία καὶ ἀσφαλὴς ἡ κτῆσις οὐ
παραμένει· ὥςτε κἂν ἐκεῖνα μόνιμα τυγχάνοι, ἃ δὴ οἱονεὶ δῶρά
ἐστι τῆς τύχης, ὅμως ὅγε ἄγριος καὶ τῶν φίλων ἠρημωμένος
βίος οὐκ ἂν ἡδὺς εἶναι δύναιτο. Ἀλλὰ περὶ μὲν τούτων τέως
εἰρήσθω.

---

54 εἰ—κἄν] Corrige εἰ—καί.

οὓς ἂν περιπτύξηται] i. e. quoscunque complectitur, sed Cic. *quos complexa est*, i. e. οὓς περιεπτύξατο; loquitur de re certa. Aelian. V. H. II, 19. de Alexandr. — ὑπὸ τῆς εὐτυχίας τῆς περιλαβούσης αὐτόν. Huc pertinet Menandr. sententia:

ὁ πλοῦτος τυφλόν·
τυφλοὺς δ᾽ ἐς αὐτὸν ἐμβλέποντας δεικνύει.

55 ἅπερ οὖν—ἵππους] Secutus est Petavius lect. deteriorem *quae parantur, pecuniam, equos* pro *quae parantur pecunia, equos* i. e. χρήμασιν, ἵππους.

φίλους—ἀποσκευήν] Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου Poet. gnom. ap. Brunck. v. 582; ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος Xenoph. Memor. II, 4, 1; ἐγὼ οὐδὲν ἄλλο ἡγοῦμαι ἀνθρώποις εἶναι τούτου κτῆμα ἄμεινον ἢ κάλλιον Lucian. Toxar. Cap. 62. Petavius ὡς ἀληθῶς de suo interposuit.

εὐτρεπίζωσιν—εὐτρεπίζειν] *Parare* h. l. παρασκευάζειν—πορίζειν—κτᾶσθαι.

ὅμως—βίος] *Tamen vita inculta et deserta ab amicis* Cic., quae vocabula quoniam ab agro ducta sunt, pro ἄγριος mihi ponendum videtur ἀνέργαστος—ἀθεράπευτος.

XVI. *Δεῖ δὲ ὅρους ἐν τῇ φιλίᾳ καὶ τοῦ φιλεῖν τέλη κα-* 56
ταστῆσαί τινα· περὶ δὲ ὧν γνώμας ὁρῶ περιφέρεσθαι τρεῖς, ὧν
οὐδεμίαν δέχομαι. Ἡ μὲν οὖν μία τούτων ἐστίν, ὡς παρα-
πλησίως ἡμᾶς πρὸς τοὺς φίλους διακεῖσθαι δεῖ, ὡς πρὸς ἑαυ-
τοὺς ἔχομεν· ἡ δὲ δευτέρα, ὅτι τὴν παρ' ἡμῶν εἰς τοὺς φί-
λους εὔνοιαν πρὸς τὴν παρὰ τούτων εἰς ἡμᾶς χρὴ ἴσην καὶ
ὁμοίαν ὑπάρχειν· τρίτη δ' αὖ, ὅτι, ὅσου τιμᾷ τις ἑαυτόν, το-
σούτου τιμᾶσθαι δέον ἐστὶν ὑπὸ τῶν φίλων. Ἀλλ' ἔγωγε τῶν
τριῶν δοξῶν ἐκείνων οὐδεμιᾷ συγκατατίθεμαι. Οὔτε γὰρ ἀλη-
θής ἐστιν ἡ πρώτη ἡ πρὸς τὸν φίλον οὕτως ὡς πρὸς ἡμᾶς
αὐτοὺς διατίθεσθαι προσήκειν λέγουσα. Πόσα γάρ ἐστιν, ἃ 57
ἡμῶν ἕνεκα δρᾶν οὐδέποτ' ἂν ἀνασχόμενοι ποιοῦμεν ὅμως τοῖς
φίλοις χαριζόμενοι; οἷον ἂν εἴη δεῖσθαί τι ἀναξίου τινὸς καὶ
ἱκετείαν προσφέρειν ἢ ἀπηνέστερον πρὸς ὁντιναοῦν ἀποτείνε-
σθαι καὶ σφοδρότερον ἐπιπλήττειν· ἅπερ ἐν μὲν τοῖς ἰδίοις
ἡμῶν οὐκ ἄγαν εὐπρεπῶς, ἐν δὲ τοῖς τῶν φίλων μετὰ πάσης
ποιοῦμεν τῆς εὐσχημοσύνης. Καὶ πολλὰ δὲ συμβαίνει, ἐν οἷς
τῶν ἑαυτοῖς συμφερόντων οὐκ ὀλίγα περιαιροῦσι σφᾶς αὐτοὺς
οἱ ἀγαθοὶ ἢ περιαιρουμένων ἀνέχονται, ὅπως οἱ φίλοι μᾶλ-
λον ἢ αὐτοὶ τούτων ἀπολαύωσιν. Ἡ δὲ δευτέρα δόξα τῶν 58
τριῶν ἐστιν ἡ τὴν φιλίαν ἔργων τε καὶ θελημάτων ἰσότητι πε-
ριγράφουσα. Ἀλλὰ τοῦτο ἄντικρύς ἐστι γλίσχρως ἄγαν καὶ
μικρολόγως εἰς ψηφισμοὺς τὴν φιλίαν περιστῆσαι, τούτου στο-
χαζόμενον, ὅπως οἱ τῆς λήψεως καὶ τῆς δόσεως λόγοι πρὸς
ἀλλήλους ἀπαρτίζωσιν. Ἐμοὶ δὲ εὐπορωτέρα καὶ δαψιλεστέρα
πως εἶναι δοκεῖ ἡ ἀληθινὴ φιλία, μηδ' ἀκριβῶς οὕτω παρα-
φυλάττεσθαι, ὡς μὴ πλέον τι ὧνπερ εἴληφεν ἀποδιδῷ. Οὐ
γὰρ δὴ φοβητέον τοῦτο, μήτι ἐκπέσῃ ἢ χαμαὶ παραῤῥυῇ ἢ
τοῦ δέοντος πλέον ἐν φιλίᾳ τι συναθροισθῇ. Ὁ τρίτος τῶν εἰ- 59
ρημένων ὅρος τῆς φιλίας λείπεται τῶν πάντων ἀτοπώτατος τὸ
δεῖν τοσούτου τιμᾶσθαι ὑπὸ τῶν φίλων, ὅσου ἂν τις ἑαυτὸν
ἀξιοῖ. Καίτοι πολλάκις ἐνυπάρχει τισὶν ἢ ταπεινότερον τὸ
φρόνημα ἢ τοῦ λαμπροτέρας ἐπιλαβέσθαι τύχης ἀσθενεστέρα

CAP. XVI. *Πόσα — χαριζόμενοι*;] Petavius cum plerisque Edd. 57
signum interrogandi posuit, rectius Beier. Orell. exclamandi: tum
ὅσα est scribendum. De sententiis cf. Xenoph. Mem. II, 4, 7.
πολλάκις δὲ ἃ πρὸ αὑτοῦ τις οὐκ ἐξειργάσατο ἢ οὐκ εἶδεν ἢ οὐκ ἤκου-
σεν ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν.
γλίσχρως — στοχαζόμενον] Petavius *nimis exigue et exiliter* ex- 58
pressit, quam omnium fere Codd. et Edd. lect. tuentur Beier.
Orell.; *nimis* Gernhardus delevit. Quum *ψηφισμός* non sit voc.
Graec., *ψήφους* erat ponendum. *Ad calculos revocare* i. q. *ψηφί-*
ζειν — *ψήφοις λογίζεσθαι*; tum verba *τούτου στοχαζόμενον* abesse
possunt. Pro *δαψηλεστέρα*, mendo typographico, emendavi *δα-*
ψιλεστέρα.

ἡ ἐλπίς. Οὔκουν φίλῳ πρεπῶδες ἂν εἴη, τοιοῦτον εἰς ἐκεῖνον
εἶναι, οἷος οὗτός ἐστιν εἰς ἑαυτόν· τοὐναντίον δὲ μᾶλλον ὡς
οἷόντε πειράζεσθαι ἀναπεπτωκότα τὸν τοῦ φίλου θυμὸν ἐγεί-
ρειν εἴς τε τὸ ἄμεινον ἐλπίζειν καὶ φρονεῖν ἀνακαλέσασθαι.
Τοιγαροῦν ἕτερόν τινα τῇ γνησίᾳ φιλίᾳ τὸν ὅρον ὑπογραπτέον
δοκεῖ. βούλομαι δὲ πρότερον εἰπεῖν, ὃ μάλιστα μέμφεσθαι ὁ
Σκηπίων εἰώθει. Ἔλεγε γοῦν ἐχθίω τῇ φιλίᾳ φωνὴν οὐδεμίαν
ἂν ἐξευρεθῆναι ἢ τοῦ φήσαντος, οὕτω φιλεῖν δεῖν τινα, ὡς
καὶ μισήσοντά ποτε· ἀλλ' οὐδὲ πιστεύειν δύνασθαι, τοιόνδε τι
ὑπὸ τοῦ Βίαντος, ὡς λόγος εἶχεν, εἰρῆσθαι, ἀνδρὸς εἰς σο-
φίαν διαβεβοημένου καὶ ἑνὸς τῶν ἑπτά· μᾶλλον μέντοι ταύτην
εἶναι γνώμην ἀπέφαινε βδελυροῦ τινος ἀνθρώπου ἢ τὴν φιλο-
τιμίαν νοσοῦντος ἢ πάντα πρὸς τὸ ἑαυτοῦ κράτος ἀναφέρον-
τος. Πῶς γὰρ ἄν τις φίλος εἴη τούτου, ὃν καὶ ἐχθρὸν ἔχειν
δύνασθαι νομιεῖ; Πρὸς δὲ τούτοις ἀνάγκη πᾶσα βούλεσθαι καὶ
εὔχεσθαι, ὡς τὰ πλεῖστα τὸν φίλον ἁμαρτάνειν, ἵνα πλείους
ἑαυτῷ τοῦ ἐπιπλήττειν λαβὰς παρέχοι. πάλιν δ' αὖ ἐπὶ τοῖς
ὑπὸ τῶν φίλων κατορθώμασι καὶ εὐπραγίαις ἀγανακτεῖν αὐ-
60 τοὺς καὶ λυπεῖσθαι καὶ φθονεῖν. Οὐκοῦν τοιοῦτο τὸ παράγ-
γελμα, οὗτινος ἂν εἴη, εἰς τὸ τὴν φιλίαν ἀναιρεῖν συμφέρει.
Τοῦτο δὲ μᾶλλον ἔδει παραγγέλλειν, ὅπως τοσαύτῃ πρὸς τὸ
τὰς φιλίας συστῆσαι τῇ ἐπιμελείᾳ χρησώμεθα, ὡς μηδέποτε
τοῦτον φιλεῖν ἄρξασθαι, ὃν ἐπίδοξοι ὦμεν μισῆσαί ποτε.
Ἀλλ' εἴ που κατὰ τὴν τῶν φίλων αἵρεσιν ἀστοχήσαιμεν, τοῦτο
δὴ εὐγνωμόνως φέρειν ὁ Σκηπίων ᾤετο προσήκειν μᾶλλον ἢ
τὸν τῆς ἀπεχθείας καιρὸν ἐνθυμεῖσθαι.
61 XVII. Τοιούτοις οὖν τοῖς ὅροις χρηστέον ἐμοὶ δοκεῖ,
ὡς, ἐπειδὰν διόρθωσιν λάβῃ τὰ τῶν φίλων ἤθη, τηνικαῦτα
πάντων μεταξὺ τούτων ἁπαξαπλῶς καὶ πραγμάτων καὶ βουλευ-
μάτων καὶ θελημάτων κοινωνίαν εἶναι δεῖν· ὥστε κἂν κατὰ
παρίστασίν τινα ξυμβῇ σμικρόν τι τοῦ δικαίου καθυφειμέναις

πειράζεσθαι] Rectius πειρᾶσθαι vd. Lexica.

59 Ἔλεγε γοῦν κτλ.] Aristot. Rhet. II, 21. ὅτι οὐ δεῖ, ὥσπερ φασί, φιλεῖν ὡς μισήσοντα, ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντα. Diog. Laert. I, 87. de Biante: ἔλεγε — καὶ φιλεῖν ὡς μισήσοντας, τοὺς γὰρ πλείστους εἶναι κακούς. Vd. de hoc dicto celebrato Gernh. et Beier. Pro οὐδεμίαν corrige μηδεμίαν ob Infin.

ὑπὸ — ἑπτά] Cicero simpliciter: *A Biante — qui sapiens habitus esset unus e septem.* Sic Plut. Solon. Cap. 12. ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν.

τὴν φιλοτιμίαν νοσοῦντος] Νοσεῖν dicitur quidem de hominibus, quorum animus cupiditatibus est perturbatus, sed h. l. simplex Adiectivum φιλότιμος — φιλόδοξος praetulerim.

60 οὗτινος ἂν εἴη] *Cuiuscumque est* Cic., i. e. οὗτινος ἂν ᾖ vel οὗτινός ποτ' ἐστι.

χρῆναι ταῖς τῶν φίλων βουλήσεσιν ἐπικουρεῖν, ὅταν περὶ τῆς
κεφαλῆς ἢ περὶ τῆς ἐπιτιμίας ἀγὼν αὐτοῖς ᾖ, παρεκκλίνειν
τῆς ὁδοῦ προσήκειν· μόνον ἐὰν μὴ ἐσχάτως αἰσχρόν τι ἐντεῦ-
θεν ἀκολουθῇ. ἔστι γὰρ ᾗ νέμεσθαί τινα τῇ φιλίᾳ συγγνώμην
ἐνδέχεται. Ἀλλὰ μὴν οὐδὲ τῆς δόξης ὀλιγωρητέον ἐστὶν, οὐδὲ
φαύλην ἡγητέον ἀφορμὴν εἰς τῶν πραγμάτων διοίκησιν εἶναι
τὴν τῶν πολιτῶν εὔνοιαν· ἣν θωπείαις καὶ κολακείαις αἰσχρὸν
ἐπισπάσασθαι· πλὴν οὐ παραιτητέον ἐστὶ τὴν ἀρετὴν, ἥτις
συμπαρομαρτοῦσαν ἔχει τὴν ἀγάπησιν. Ἐκεῖνος μὲν οὖν (ἤδη 62
γὰρ πρὸς τὸν Σκηπίωνα ἐπανιτέον ἐμοί, οὗ πᾶς ἦν ὑπὲρ τῆς
φιλίας ὁ λόγος) πολλάκις ἐμέμφετο, ὅτι ἐν τοῖς λοιποῖς ἅπασιν
οἱ ἄνθρωποι πλείω ἐπιδείκνυνται τὴν ἐπιμέλειαν. καὶ γὰρ αἶ-
γας ἢ οἶς ὁπόσας κέκτηται, ἕκαστον ἔφασκεν ἔχειν εἰπεῖν·
φίλους δ᾽ αὖ ὁπόσους ἔχοι, λέγειν οὐ δύνασθαι· τοὺς δὲ αὐ-
τοὺς καὶ τῆς ἐκείνων κτήσεως ἐπιμέλειαν ποιεῖσθαι, περὶ δὲ
τὴν τῶν φίλων αἵρεσιν ἀμελεῖς εἶναι· οὐδ᾽ ἔχειν οἱονεὶ σημεῖά
τινα καὶ χαρακτῆρας, δι᾽ ὧν τοὺς πρὸς τὴν φιλίαν ἐπιτηδείους
διαγινώσκωσι. Τοιγαροῦν τοὺς βεβαίους καὶ ἀσφαλεῖς καὶ
εὐσταθεῖς ἐπιλέγεσθαι δεῖ· οἵου δῆτα τοῦ γένους σπάνις ἐστὶ
πολλὴ καὶ ἡ διάκρισις δὲ χαλεπὴ πρὶν ἢ πείρᾳ καταμαθεῖν·
οὐκοῦν ἐν αὐτῇ πειρατέον ἐστὶ τῇ φιλίᾳ. Οὕτως ἡ φιλία φθά-
νει τὴν κρίσιν καὶ τῆς πείρας ἐξουσίαν ἀφαιρεῖ. Διὸ φρονί- 63
μου ἔργον ἐστὶν, ὥςπερ τὸν δρόμον, οὕτω τῆς φιλίας τὴν ὁρ-
μὴν ἐπέχειν, ἵνα, καθάπερ τοῖς ἵπποις μετὰ τὸ πεῖραν αὐτῶν
λαβεῖν, οὕτω μετὰ τὸ ἀμηγέπη δοκιμάσαι τοὺς τῶν φίλων τρό-
πους ταῖς φιλίαις χρησώμεθα. Ἐνίων μὲν οὖν ἐν ὀλίγοις ταῖς

Cap. XVII. ὅταν — αὐτοῖς ᾖ] *Caput* i. q. salus statusque omnis civilis non dicitur κεφαλή.

ᾗ — ἐνδέχεται] Apud Lucianum (vd. Lex. Lucian. s. v.) συγγνώμην ἀπονέμειν saepius, συγγνώμην νέμειν apud Heliodorum legitur: apud alios scriptores συγγνώμην ἔχειν — ποιεῖσθαι.

καὶ γὰρ αἶγας] Expressa est lectio a Beiero quoque recepta *capras — dicere posse — non posse dicere*: vulgo *ut capras — dicere posset — non dicere posset* vd. Graev. et Gernh. Cicero ante ocu- 62
los locum habuit Xenoph. Memor. II, 4, 2 et 4. ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως. καὶ γὰρ οἰκίας καὶ ἀγροὺς καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ σκεύη κτωμένοις τε ἐπιμελῶς ὁρᾶν ἔφη καὶ τὰ ὄντα σώζειν πειρωμένοις, φίλον δέ, ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, ὁρᾶν ἔφη τοὺς πολλοὺς οὔτε ὅπως κτήσονται φροντίζοντας οὔτε ὅπως οἱ ὄντες ἑαυτοῖς σώζονται. —— ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων τὸ πλῆθος εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους ἀνατίθεσθαι.

ὥςπερ τὸν δρόμον] *Ut cursum* expressit Petavius, vulgata optt. 63
Codd. et Edd. est *ut currum* vd. Gernh. Beier. Orell.

χρήμασι πολλάκις τὸ κοῦφον ἐλέγχεται· ἄλλοι δὲ τῶν ἐλαττόνων οὐχ ἡττηθέντες ἐν τοῖς μείζοσι γνωρίζονται. Ἀλλ' ἐάν τινες εὑρεθεῖεν οἱ τὰ χρήματα προτιμᾶν τῆς φιλίας βάναυσον εἶναι νομίζοντες· ποῖ δὴ τοιούτους ἂν εὕροις, οἳ δὴ τιμὰς καὶ ἀρχὰς καὶ ἐπικρατείας ἢ δυναστείας καὶ πλοῦτον περὶ πλείονος ἢ τὴν φιλίαν οὐ ποιήσονται, ὥστε τούτων ἐκ θατέρας εἰς μέσον προτεθέντων, ἐκ δὲ θατέρας προκειμένων τῶν τῆς φιλίας δικαίων, οὐκ ἐκεῖνα πολλῷ μᾶλλον αἱρεῖσθαι; Ἀσθενὴς γὰρ ἡ φύσις ἐστὶν ἡμῶν πρὸς τὸ τῆς δυνάμεως καταφρονεῖν· ἧς κἂν τῆς φιλίας ὀλιγωρήσαντες ἐπέτυχον, συγκρύψαι ἂν καὶ συσκιάσαι τὸ δρώμενον ὑπολαμβάνουσι τῷ οὐκ ἐπὶ τῇ τυχούσῃ
64 αἰτίᾳ τῆς φιλίας ἀμελῆσαι δοκεῖν. Ταύτῃ τοι αἱ ἀληθιναὶ φιλίαι ἐν τοῖς τῶν ἀρχῶν ἐφιεμένοις καὶ πολιτευομένοις μόλις εὑρίσκονται. Ἔστι γὰρ ὅπῃ τοῦτον ἂν εὕροις, ὃς τὴν ἑαυτοῦ τιμὴν ὑστέραν ἄγοι τῆς τοῦ φίλου τιμῆς; Τί δέ; ἵνα τοῦτο παραλείποιμι, πῶς οἴει δειναί, πῶς ἀφόρητοι δοκοῦσι πολλοῖς αἱ τῶν συμφορῶν κοινωνίαι; πρὸς ἃς δυσεύρετοί εἰσιν οἱ συγκαταβαίνειν ἐθέλοντες. Καίτοι ὀρθῶς εἴρηται τοῦτο τῷ Ἐννίῳ·

Φίλος βέβαιος ἐν ἀβεβαίοις φαίνεται.

Ἀλλ' ὅμως δύο ταῦτα τὴν πολλῶν κουφότητα καὶ ἀσθένειαν ἐξελέγχουσιν, ὅταν ἢ ἐν ταῖς εὐημερίαις ὑπερορῶσιν ἢ ἐν ταῖς ἀτυχίαις καταλείπωσιν.

XVIII. Ὅστις οὖν κατ' ἄμφω ἐμβριθὴ καὶ πάγιον καὶ μόνιμον ἐν τῇ φιλίᾳ ἑαυτὸν παρέχοι, τοῦτον ἄντικρυς τῷ σπανιωτάτῳ καὶ μονονουχὶ θείῳ γένει τῶν ἀνθρώπων ἐγκριτέον ἐστί.
65 Τὸ δὲ στήριγμα τῆς εὐσταθείας καὶ ἀσφαλείας, ἣν ἐν τῇ φιλίᾳ ποθοῦμεν, ἡ πίστις ἐστίν. οὐδὲν γὰρ μόνιμον, ὅ, τι ἄπιστον ἂν εἴη. πρὸς δὲ δὴ τούτοις καὶ ἁπλοϊκὸν καὶ κοινὸν ὁμογνώμονά τε καὶ ὑπὸ τῶν αὐτῶν ἀγόμενον εἰκὸς αἱρεῖσθαι· ἃ πρὸς

Ἀλλ' ἐάν τινες — εὕροις] Pro *ἐάν* pone *εἰ* et *ποῦ* pro *ποῖ*. Verba Ciceronis *Sin erunt aliqui reperti — ubi eos inveniemus* rectius ita interpreteris: *Ἀλλ' ἐάν τινες εὑρεθῶσι — ποῦ δὴ τοιούτους εὑρήσομεν*.

ὥστε — οὐκ ἐκεῖνα] Corrige *ὥστε — μὴ ἐκεῖνα*.

ἧς — δοκεῖν] Corrige *κἂν ἐπιτύχωσι — τῷ μὴ ἀμελῆσαι δοκεῖν*: recte expressa est lectio *obscuratum iri* per *συγκρύψαι καὶ συσκιάσαι* (de qua vd. Gernh. et Beier.), quanquam alterutro tantum verbo opus erat.

64 *ἐν τοῖς τῶν ἀρχῶν ἐφιεμένοις*] *In honoribus versari* i. q. *τιμὰς ἔχειν — ἀρχὰς μεταχειρίζεσθαι*.

ἵνα τοῦτο παραλείποιμι] *Haec ut omittam*, i. e. *ἵνα τοῦτο παραλείπω*.

Ἐννίῳ] Conf. sent. Eur. Hec. 1226. Pflugk. *ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι φίλοι*.

65 Cap. XVIII. *ὁμογνώμονά — ἀγόμενον*] Beierus *consentire* interpretatur *ὁμοδοξεῖν*, qua eadem notione Aristot. Ethic. ad Nic.

τὸ πιστὸν ἅπαντα συντείνει. οὔτε γὰρ ἐνδέχεται πιστὸν εἶναι τὸν ποικίλον τὸ ἦθος καὶ σκολιόν. Οὔτε μὴν ὁ μὴ ὑπὸ τῶν αὐτῶν ἀγόμενος ἢ φύσει μὴ ὁμογνωμονῶν ἢ πιστὸς ἢ μόνιμος ἂν γένοιτό ποτε. Προςθεῖναι δ' αὖ ἐκείνοις καὶ τοῦτο χρή, ὅπως μὴ φιλεγκλήμων τις ᾖ ἢ ἐγκαλοῦσι ταχέως πιστεύῃ· ἅπερ δηλαδὴ πάντα εἰς ἐκείνην ἀναφέρεται, ἐν ᾗ ἤδη πολὺς εἰμι, τὴν εὐστάθειαν. Οὕτω δ' ἐπαληθεύεται τὸ ὑπ' ἐμοῦ ἀπ' ἀρχῆς εἰρημένον, ὅτι τὴν φιλίαν οὐκ ἐνδέχεται πλὴν μεταξὺ τῶν ἀγαθῶν ὑπάρχειν. Ἔστι γὰρ ἀνδρὸς ἀγαθοῦ, ὃν καὶ σοφὸν λέγειν τὸν αὐτὸν ἔξεστι, δύο κατὰ τὴν φιλίαν ταῦτα διαφυλάττειν· πρῶτόν μέν, μή τι πλαστὸν ὑπῇ καὶ ὕπουλον· τὸ γὰρ κἂν φανερῶς μισεῖν γενναῖον καὶ ἐλευθέριόν ἐστι μᾶλλον ἢ τῷ προςώπῳ τὴν γνώμην ἐπικρύπτειν· ἔπειτα δὲ οὐ μόνον τὰς ὑπό τινος ἐπιφερομένας αἰτίας ἀποκρούσασθαι, ἀλλ' οὐδ' ὑπόπτως αὐτὸν τάχα διακεῖσθαι ἀεί τι ὑπὸ φίλου ἠδικῆσθαι νομίζοντα. Προςεῖναι δ' ἐπὶ τούτοις 66 ἀνάγκη χρηστότητα τῶν τε λόγων τινὰ καὶ τῶν τρόπων, οὐ μέτριον ὂν ἥδυσμα τοῦτο τῆς φιλίας. Ἀπείη δὲ πάντως τὸ στυγνὸν καὶ κατηφὲς καὶ τὸ ἐν πᾶσιν αὐστηρόν· καίτοι σεμνότητός τι δοκοῦν ἔχειν αὐτό· ἀλλ' ἡ φιλία ἀνειμένη πως καὶ ἐλευθέρα καὶ γλυκεῖα ὀφείλει μᾶλλον εἶναι καὶ πρὸς ἅπαν ῥέπειν τὸ μείλιχον καὶ εὔκολον.

XIX. Ἐνταῦθα δὴ ἀπορία τις ἀναφύεται οὐ ῥᾳδίαν 67 ἔχουσα τὴν λύσιν· πότερον χρή ποτε καινοὺς φίλους τῆς φιλίας ἀξίους φανέντας τῶν παλαιῶν προτιμᾶν, καθάπερ τῶν ἤδη γεγηρακότων ἵππων τοὺς ἁπαλοὺς προκρίνειν εἰώθαμεν. Ἀλλ' ἔστιν ἡ ἀμφιςβήτησις αὕτη τῆς ἀνθρωπίνης ἀναξία φύσεως. οὐδὲ γὰρ ταῖς φιλίαις, ὥςπερ ἐν τοῖς λοιποῖς, τὸν κόρον ἐγγενέσθαι προςήκει. ἀλλ' αἱ παλαίταται δηλαδὴ οἴνου δί-

---

IX, 6. ὁμογνωμονεῖν — ὁμονοεῖν — ὁμοδοξία leguntur, et *iisdem rebus moveri* συμπαθεῖν — ὁμοπαθεῖν. Συμπαθὴς καὶ συμφυὴς h. l. is est, qui eisdem rebus movetur naturaque consentit vd. Plut. de am. et ad. cp. 9.

τὸ — μισεῖν] Corrige καί, quum apud Cic. legatur: *aperte enim vel odisse.* 66

χρηστότητα] *Suavitas* i. q. τὸ ἐπίχαρι — χάριεν.

Ἀπείη — αὐτό] *Tristitia — absit. habet:* optt. Edd. omittunt *absit.* Petavius pro *tristitia et severitas* tria vv. posuit στυγνόν — κατηφές — αὐστηρόν. H. l. κατηφές non aptum: nam κατηφής est vultu demisso sive ex moerore sive ex pudore: σκυθρωπόν rectius esset.

τὸ μείλιχον καὶ εὔκολον] Reddidit Petav. his vocabulis *comitatem facilitatemque:* sed pro μείλιχον, quod poetis in usu, πρᾶον — φιλοπροςήγορον repone.

Cap. XIX. ἀλλ' — εἶναι] Ex emendatione Suffridi multis 67 Edd., etiam Gernh. probata legitur *Veterrimae quaeque — esse*

κην τὴν πολυετίαν φέροντος ἥδισται ὀφείλουσιν εἶναι. κἀκεῖνο
δ᾽ ἀληθές ἐστι τὸ τεθρυλλημένον, πολλοὺς τῶν ἁλῶν μεδί-
μνους συμφαγεῖν δεῖν, ἵνα τὸ τῆς φιλίας καθῆκον ἐκπληρωθῇ.
68 Τὰς δὲ καινότητας, ἐὰν ἐλπίδα παρέχωσιν, ὥςθ᾽ οἷον ἐν οὐ
ψευδομένῃ πόᾳ τὸν καρπὸν ὑποφαίνειν, οὐδ᾽ αὐτὰς ἀποδιο-
πομπήσασθαι δεῖ· τὴν μέντοι ἀρχαιότητα κατὰ χώραν ἐατέον.
πλείστη γὰρ ὅση δύναμις ἔνεστι τῇ τε ἀρχαιότητι καὶ τῇ συν-
ηθείᾳ. Καὶ ἐν αὐτῷ δὲ τῷ ἵππῳ, οὗ πέρι ἄρτι μνήμην ἐποιη-
σάμην, ἣν μή τι ἐμποδὼν ᾖ, οὐκ ἔστιν ὅςτις τῷ εἰθισμένῳ
ἥδιον ἂν χρῷτο ἢ τῷ οὔπω ὑπὸ χεῖρας ἐλθόντι καὶ καινῷ.
Καὶ οὐκ ἐν τούτῳ μόνον, ὅπερ ἔμψυχόν ἐστιν, ἀλλὰ καὶ ἐν
τοῖς ἀψύχοις ἡ συνήθεια ἰσχὺν ἔχει· ἐπεὶ δὲ τοῖς ὀρεινοῖς χαί-
69 ρομεν καὶ ὑλώδεσι τόποις, οἷς ἐπὶ πολὺ ἐνδιετρίψαμεν. Ἀλλὰ
μέγιστον δὴ τοῦτο κατὰ τὴν φιλίαν ἐστὶ τὸ τὸν κρείττονα τῷ
ἥττονι ἐξισοῦσθαι. πολλάκις γὰρ ὑπεροχαί τινες ὑπάρχουσαι,
οἷα τοῦ Σκηπίωνος ἐν ἡμετέρᾳ ἦν, ἵνα εἴπω οὕτως, ἀγέλῃ.
Οὐ μέντοι αὐτὸς οὔτε τοῦ Φίλου οὔτε τοῦ Ῥουπιλίου οὔτε
τοῦ Μουμμίου οὔτε τῶν τῆς ἐλάττονος τάξεως φίλων προὐτί-
μησεν ἑαυτόν· Κόϊντον δὲ Μάξιμον τὸν ἀδελφόν, ἄνδρα ἄλ-
λως μὲν ἄριστον, οὐ μὴν πρὸς ἑαυτόν, ὡς προὔχοντα,
καθότι ἐπροτέρει τῇ ἡλικίᾳ, ἐθεράπευεν· τοὺς δ᾽ αὖ οἰκείους
ἅπαντας ἀμείνω δι᾽ ἑαυτοῦ δύνασθαι πράττειν πάντως ἠβού-
70 λετο. Ὃ καὶ πᾶσι δραστέον καὶ μιμητέον ἐστίν, ὅπως, ἐὰν
ἐξοχήν τινα τῆς ἀρετῆς ἢ ἀγχινοίας ἢ τύχης κτῷντο, ταύ-
της μεταδῶσι τοῖς φίλοις καὶ τοῖς πλησίον κοινώσωνται· οἷον
εἰ ἐξ ἀδόξων ἔφυσαν γονέων, εἴτε συγγενεῖς ἔχουσι κατὰ τὴν
γνώμην ἢ κατὰ τὴν τύχην ἀσθενεστέρους, τούτων ἐπαύξωσι
τὰς ἀφορμὰς καὶ τιμῆς αὐτοῖς καὶ ἀξιώματος εἰς προσθήκην
γένωνται· καθάπερ ἐν τοῖς δράμασιν οἱ διὰ τὴν γένους ἄγνοιαν
ἐν δουλείᾳ χρόνον τινὰ ζήσαντες ἐπειδὰν ἀναγνωρισθῶσι, καὶ

---

debent suavissimae, quod expressit Petavius. Quum Codd. *Veterrima quaeque — esse debent suavissima* exhibeant, Beierus ita lect. constituit: *Veterruma quaeque* — [*debe*[*n*]*t esse*] *suavissima*, ut numero singulari de amicitia intelligatur. Orell. retinuit lect. Codd. *Veterrima quaeque — esse debent suavissima*, quem vd.

κἀκεῖνο δ᾽ ἀληθές ἐστι κτλ.] Plutarch. de multit. amicor. Vol. VII. p. 290 Hutt. *τὸν θρυλλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδιμνον.* Aristot. Ethic. ad Nic. VIII, 4. *κατὰ τὴν παροιμίαν οὐκ ἔστιν εἰδῆσαι ἀλλήλους πρὶν τοὺς λεγομένους ἅλας συναλῶσαι.*

69 *ὑπεροχαί*] *Excellentiae*, quo vocabulo usus est Aristot. Ethic. Nic. VIII, 15.

τοὺς — ἠβούλετο] *Suosque omnes per se esse posse ampliores volebat* Cic., *posse* omissum in uno Cod. Manut. eiecerunt Victor. Graev. Gernh. Beier. Orell.; Beier. praeterea *esse* uncis circumsepsit.

θεῶν ἢ βασιλέων παῖδες ὄντες εὑρεθῶσι, τὴν αὐτὴν ὅμως ἔχοντες διατελοῦσι στοργὴν πρὸς τοὺς νομεῖς ἐκείνους, οὓς σφῶν εἶναι πατέρας πολλὰ τὰ ἔτη ἐνόμισαν. Ὅπερ δηλαδὴ πολλῷ μᾶλλον εἰς τοὺς γνησίους καὶ ἀναμφηρίστους πατέρας ἐπιδεικτέον ἐστί. Καὶ γὰρ ἥτις ἐστὶ νοῦ καὶ ἀρετῆς καὶ παντὸς ἄλλου πλεονεκτήματος ὄνησις, αὕτη τότε μάλιστα συλλέγεται, ὁπηνίκα εἰς τοὺς ἐγγυτάτω διαδίδοται.

XX. Τοιγαροῦν ὥςπερ ἐν τῇ φιλίᾳ τῇ τε οἰκειότητος 71
συναφείᾳ τοὺς ὄντας κρείττους τοῖς ὑποδεεστέροις συγκαταβαίνειν προςήκει· οὕτω καὶ τοὺς ὑποδεεστέρους ἀθυμεῖν ἥκιστα χρή, ὅταν ὑπὸ τῶν φίλων εἴτε τῇ τοῦ νοῦ ὀξύτητι εἴτε τῇ εὐτυχίᾳ εἴτε τῷ ἀξιώματι παρευδοκιμοῦνται. Ὧν οἱ πλεῖστοι ἢ μεμψιμοιροῦσιν ἀεί τι ἢ καὶ ὀνειδίζουσιν· τηνικαῦτα δὲ μᾶλλον, ὅταν θεραπευτικῶς ἢ εὐνοϊκῶς ἢ καὶ μετὰ τοῦ ἰδίου πόνου προϋπηργμένον τι ἀφ' ἑαυτῶν εἰπεῖν δύνωνται. Μίσους μὲν οὖν ἄξιόν ἐστι τουτὶ τὸ γένος ἀνθρώπων, οἳ τὰς εὐεργεσίας ὀνειδίζουσιν· ὧν μεμνῆσθαι μὲν πάντως τὸν λαβόντα δεῖ, τὸν δ' αὖ δεδωκότα οὐδαμῶς ἀπομνημονεύειν.
Οὐκοῦν ὥςπερ οἱ κρείττους ὑποστέλλειν ἐν φιλίᾳ ἑαυτοὺς ὀφεί- 72
λουσιν· οὕτως ἐξαίρειν πως τοὺς καταδεεστέρους. Εἰσὶ γάρ τινες οἱ τὰς φιλίας ἐπαχθεῖς ποιοῦντες, ὅταν καταφρονεῖσθαι ὑπολαμβάνωσιν. ὃ δὴ μόνοις ἐπιεικῶς συμβαίνει τοῖς καὶ εὐκαταφρονήτους ἑαυτοὺς κρίνουσιν· οἷς τοιαύτην ὅμως τὴν δόξαν καὶ λόγοις καὶ ἔργοις ἀφαιρετέον ἐστί. Τοσοῦτον δὲ νεμη- 73
τέον ἑκάστῳ, πρῶτον μὲν ὅσον ἐπιτελέσαι αὐτὸς ἂν ἔχοις· ἔπειτα δέ, ὅσον στέγειν ἐκεῖνος δύναται, ὃν ἂν φιλεῖν καὶ ᾧ συμπράττειν ἀξιώσῃς. Οὐ γὰρ οἷός τε ἂν εἴης, καίτοι καθ' ὑπερβολὴν δυνατὸς ὤν, πάντας τοὺς οἰκείους εἰς τὰς ἀνωτάτω προάγειν τιμάς· καθάπερ ὁ Σκηπίων Πόπλιον μὲν τὸν Ῥουπίλιον ἠδυνήθη ὕπατον ἀποδεῖξαι, Λεύκιον δὲ τὸν ἐκείνου ἀδελφὸν οὐκ ἠδυνήθη. Ἀλλ' εἰ καὶ πάντως ὁτιοῦν ἐξανύσαι δύναιο χαριζόμενος ἑτέρῳ· σκεπτέον ὅμως εἴη, τί βαστάζειν
οὗτος αὐτὸς ἂν δύναιτο. Καθόλου δὲ μετὰ τὸ ῥωσθῆναι καὶ 74

ἐὰν—κτῷντο] Corrige κτῶνται, vel rectius κτήσωνται, *si—consecuti sunt.* 70

πολλὰ τὰ ἔτη] Articulus erat omittendus.

Cap. XX. ὅταν—παρευδοκιμοῦνται] Corr. παρευδοκιμῶνται. 71

Μίσους—ἐστι κτλ.] Plutarch. de discr. adul. et amic. cp. XXII. Πᾶσα ὀνειδιζομένη χάρις ἐπαχθὴς καὶ ἄχαρις καὶ οὐκ ἀνεκτή. Demosth. de Cor. p. 316. Reisk. νομίζω, τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δ' εὖ ποιήσοντα εὐθὺς ἐπιλελῆσθαι αὐτῶν, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἄνθρωπον. Τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν.

στέγειν] I. q. *sustinere* apud scriptores posteriores. Infra βαστάζειν scriptum est. 73

κρατυνθῆναι τάς τε γνώμας καὶ τὰς ἡλικίας τὰς φιλίας ἀνακρίνειν εὔλογόν ἐστιν· οὐδ' εἴ τινες κατὰ πρώτην τὴν ἡλικίαν περὶ τὴν κυνηγεσίαν ἢ τὴν σφαίρισιν ἐσπουδακότες ἦσαν, ἀκόλουθόν ἐστι τοὺς τῶν αὐτῶν συνερασθέντας τότε τοῖς οἰκείοις ἐγκρίνειν. οὕτω γὰρ κἂν αἱ τροφοὶ καὶ οἱ παιδαγωγοὶ τὸ πλεῖστον ἂν τῆς εὐνοίας ἀπαιτήσειαν· ὧν ἀμελητέον μὲν οὐχί, ἀλλ' ἕτερόν τινα τρόπον εἰκός ἐστι θεραπεύειν. Οὐ γὰρ ἄλλως ἐνδέχεται βεβαίους τὰς φιλίας διαμένειν. Ἐπειδὴ τοῖς ἀνομοίοις ἤθεσιν ἀνόμοια καὶ τὰ ἐπιτηδεύματα παρακολουθεῖ, ὧν αἱ διαφωνίαι τὰς φιλίας διέστησαν· καὶ οὐκ αἰτία τίς ἐστιν ἑτέρα, δι' ἣν οὔτε οἱ ἀγαθοὶ τοῖς πονηροῖς οὔτε οἱ πονηροὶ τοῖς ἀγαθοῖς εἰς φιλίαν συνελθεῖν δύνανται, πλὴν ὅτι τοσαύτη μεταξὺ τούτων, ὅσην ἐνδέχεται μεγίστην εἶναι, τῶν τρόπων
75 *τε καὶ ἐπιτηδευμάτων ἐστὶν ἡ διαφορά. Ὀρθῶς δὲ καὶ τοῦτο παραγγέλλοι τις ἂν ἐπὶ τῶν φιλιῶν, ὅπως μήτις ἀκράτῳ τῇ εὐνοίᾳ φερόμενος, ὃ πολλάκις γίνεται, τὰς μεγίστας ὠφελείας ἐμποδίζῃ τῶν φίλων. Καὶ γὰρ οὐδὲ τὴν Τροίαν ἐξεῖλεν ἂν ὁ Νεοπτόλεμος, ἵνα πρὸς τοὺς μύθους ἐπανέλθω, εἰ τοῦ Λυκομήδους, παρ' ᾧ ἐτρέφετο, πολλοῖς σὺν δάκρυσι κωλύοντος ἀποχωρεῖν ἀκούειν ἤθελε. Καὶ πολλάκις δὲ οὐ τὰ τυχόντα περιπίπτει πράγματα, ἃ χωρίζεσθαι τῶν φίλων ἀναγκάζει· οἷς ὁ ἐμποδὼν ἀξιῶν στῆναι, ὡς ἀπόντος τὸν πόθον οὐ φέρων, οὗτος πολλὴν ἀσθένειαν καὶ μαλακίαν ὀφλισκάνει τῆς φύσεως,*
76 *καὶ διὰ τοῦτο οὐκ ἄγαν ἐν τῇ φιλίᾳ δίκαιος εἶναι δοκεῖ. Ἓν μὲν οὖν ἁπανταχοῦ δεῖ τοῦτο σκοπεῖν, ὅ,τι τ' ἂν αἰτήσῃς παρὰ τοῦ φίλου καὶ ὅ,τι ἂν αἰτοῦντι χαρίζεσθαι οὐκ ἀπαξιώσῃς αὐτῷ.*

XXI. *Καὶ ἐν τῇ διαλύσει δὲ τῶν φιλιῶν ἐπιφύεταί τις ἔστιν ὅτε ἀναγκαία συμφορά· ἤδη γὰρ τὰς τῶν σοφῶν οἰκειότητας ἀφεὶς ὁ λόγος εἰς τὰς δημώδεις φιλίας μεταπίπτει. Αἱ τῶν φίλων κακίαι πολλάκις ἐκρήγνυνται ποτὲ μὲν εἰς τοὺς αὐτῶν φίλους, ποτὲ δ' εἰς ἀλλοτρίους, ἀλλ' ὥστε τὸ ἐκ τού-*

ἢ τὴν σφαίρισιν ἐσπουδακότες] Plut. de mult. amic. Vol. VII. p. 290. Hutt. *συσφαιρίσαντες* dicuntur.

οὕτω γὰρ κἂν — ἀπαιτήσειαν] *κἂν* erat omittendum: *postulabunt* i. q. *ἀπαιτήσουσι.*

ὧν — θεραπεύειν] Expressum est glossema *colendi*, iure eiectum ab Aldo, Graevio, Gernhardo, Beiero, Orell.

Οὐ γὰρ ἄλλως] *Enim* plerique Codd. et Edd. omittunt.

75 *ὅπως — φερόμενος*] Petavius secutus est lect. *ne quis intemperata quadam benevolentia*; nec recte *τῇ* pro *τινὶ* posuit: optt. Edd. *ne intemperata quaedam benevolentia.*

παρ' ᾧ ἐτρέφετο] *Apud quem erat educatus*, i. e. *ἐτέθραπτο.*

ὡς — φέρων] Cicero: *quod desiderium non facile ferat*, i. e. *ὡς τὸν πόθον οὐ ῥᾳδίως φέρων.*

76 Cap. XXI. *ἐκρήγνυνται — ἀπερείδεσθαι*] Pro *ἐκρήγνυσθαι* *erumpere* h. l. convenientius mihi videtur *φανερὸν γίγνεσθαι — φαίνε-*

σιν ὄνειδος εἰς τοὺς φίλους ἀπερείδεσθαι. Οὐκοῦν τὰς τοιαύ-
τας φιλίας τῇ κατ᾽ ὀλίγον ὑφαιρέσει τῆς συνηθείας ἀνεῖναι δεῖ:
καὶ (ὥσπερ λέγοντος ἤκουσα τοῦ Κάτωνος) ἠρέμα δεῖ μᾶλλον ἢ
ἀθρόως διαιρεῖν· εἰ μή που τάχα ἀφόρητός τις οὕτως ὕβρις
ἀναφλεχθῇ, ὡς μήτε ὀρθῶς μήτε καλῶς ἔχειν μήθ᾽ ὅλως
δυνατὸν εἶναι τὸ μὴ οὐχὶ τὴν ἀλλοτρίωσιν καὶ διάζευξιν παραυ-
τίκα γενέσθαι. Ἐπειδὰν δὲ τῶν τρόπων καὶ τῶν ἐπιτηδευμά- 77
των μεταλλαγή τις, οἷα γενέσθαι φιλεῖ, προςπέσῃ, εἴτε στά-
σις καὶ διχόνοια τῶν ἐν τῇ πολιτείᾳ μερῶν (περὶ γὰρ τῶν κοι-
νῶν φιλιῶν, οὐ τῶν τοῖς σοφοῖς πρὸς ἀλλήλους συνισταμένων,
ὡς ἔφθην εἰπών, ἅπας τονῦν λόγος ἐστὶν ἐμοί)· φυλακτέον
ἂν εἴη τοῦτο, μὴ οὐ μόνον ἀπειπεῖν τὰς φιλίας, ἀλλὰ καὶ τὰς
ἔχθρας δοκῶμεν ἀνειπεῖν. Οὐδὲν γὰρ αἴσχιον ἢ ᾧπερ οἰκείως
σὺ ξυνεβίως πρώην, πρὸς τοῦτον ἐκπεπολεμῶσθαι. Τῆς τοῦ
Κοΐντου Πομπηΐου φιλίας ὁ Σκηπίων, ὥςπερ ἴστε, ἀφειστή-
κει δι᾽ ἐμέ· διὰ δὲ τὴν ἐν πολιτείᾳ διαφορὰν Μετέλλου τοῦ
ἡμῶν ἑταίρου. καὶ δὴ ἄμφω ταῦτα σεμνοπρεπῶς καὶ μετὰ
τῆς αὐθεντίας, ἄνευ δὲ πικρίας καὶ ἀπεχθείας ἔπραξεν. Οὐκ- 78
οῦν τοῦτο πρῶτον σπουδαστέον, ὅπως μὴ διαστάσεις τῶν φί-
λων γένωνται· ἐὰν δέ τι συμβαίνῃ τοιοῦτον, ὅπως ἀποσβε-
σθῆναι μᾶλλον ἢ καταχωσθῆναι δοκῶσιν αἱ φιλίαι. Πρὸς
δὲ τούτοις εὐλαβητέον ἐστί, μὴ εἰς δεινάς ποτε δυςμενείας αἱ
φιλίαι περιτρέπωνται· ὅθεν ἔριδες καὶ βλασφημίαι καὶ παροι-
νίαι φύονται· ἅςπερ, ἐὰν ἀνεκταὶ ὦσι, πάντως οἰστέον, καὶ

σθαι — ἐκφαίνεσθαι: pro ἀπερείδεσθαι posuerim τρέπεσθαι ob verba Ciceronis: *quorum tamen ad amicos redundet infamia.*

Οὐκοῦν — δεῖ] Expressa est lectio deterior *elevandae*, cui praeferenda *eluendae*; de his aliisque lectt. vd. Gernh. et Beier., qui de lect. *eluendae* haec annotavit: „Quae si vera lectio est, Cicero in tralato verbi usu aemulatus est Isocratem in Or. ad Demon. c. 1. §. 3. f. τὰς τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν."

ἠρέμα — διαιρεῖν] *Dissuendae magis quam discindendae* non recte interpretatus est Petavius. *Dissuere* i. q. διαλύειν, *discindere* i. q. διαῤῥηγνύναι — διατέμνειν — διακόπτειν.

εἰ μὴ — ἀναφλεχθῇ] De part. εἰ cum Coniunctivo vd. ad Somn. cp. 23.

καὶ — εἴτε] *Aut studiorum — aut* i. e. ἢ τῶν ἐπιτηδευμάτων — ἤ.

77 εἴτε — μερῶν] *Aut in reipublicae partibus dissensio* non accurate sunt reddita: equidem in Graecum converterim ἡ διχόνοια τῶν ἐν τῇ πόλει στάσεων.

μὴ — ἀπειπεῖν] Non recte verba Ciceronis reddita sunt: *ne non solum amicitiae depositae, sed inimicitiae susceptae videantur. Amicitiam deponere* i. q. τὴν φιλίαν ἀποτίθεσθαι — διαλύεσθαι; *inimicitiam suscipere* τὴν ἔχθραν αἱρεσθαι.

πρώην] De suo addidit Petavius.

πρὸς τοῦτον ἐκπεπολεμῶσθαι] De hac locutione Herodotea non debebat dubium movere Schweighaeus. Lex. Herod. P. I. p. 200.

ταύτην χρὴ τῇ παλαιᾷ φιλίᾳ νέμειν τὴν αἰδῶ, ὡς μὴ τὸν ἀδι-
κούμενον, ἀλλὰ τὸν ἀδικοῦντα αἰτίαν ὑπέχειν. Ὅλως δὲ πρὸς
πάντα τὰ τοιαῦτα κακὰ καὶ ἀτοπήματα μία ἐστὶν αὕτη προ-
φυλακὴ καὶ προμήθεια τὸ μὴ προπετῶς ἄρχεσθαι φιλεῖν
79 μήτε τοὺς ἀναξίους. Ἄξιοι δὲ τῆς φιλίας εἰσίν, οἷς ἔνεστιν
αὐτοῖς αἰτία τις, δι' ἣν φιληθεῖεν ἄν. Τὸ δὲ γένος τουτὶ σπά-
νιόν ἐστι· καὶ δὴ σπάνια πάντα τὰ ὑπερφυῆ· καὶ οὐδέν ἐστι
χαλεπώτερον ἢ εὑρεῖν, ὃ ἐκ παντὸς κατὰ τὸ ἑαυτοῦ γένος τέ-
λειον ἂν ᾖ. Ἀλλ' οἱ πλεῖστοι ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν
ἀγαθὸν οἴδασιν οὐδὲν εἰ μὴ τὸ ἐπωφελὲς ὄν· καὶ φίλους οἱο-
νεὶ θρέμματα τοὺς τοιούτους ἀγαπῶσι μάλιστα, ἐξ ὧν πλεῖ-
80 στον ἂν δρέψασθαι τὸν καρπὸν ἐλπίζουσιν. Οὕτω δὲ τῆς καλ-
λίστης καὶ τῇ φύσει οἰκειοτάτης ἀμοιροῦσι φιλίας, ἣν καθ' ἑαυ-
τὴν καὶ δι' ἑαυτὴν αἱροῦνται· οὔτε παράδειγμα αὐτοὶ ἑαυτοῖς
ὑπόκεινται, οἵα τε καὶ ὅση ἡ τῆς φιλίας αὕτη δύναμις ὑπάρχει.
Πᾶς γάρ τις ἑαυτὸν ἀγαπᾷ, οὐχ ἵνα μισθόν τινα τῆς ἀγαπή-
σεως ταύτης αὐτὸν εἰσπράττῃ, ἀλλ' ὅτι ἕκαστος αὐτῷ καθ' ἑαυ-
τὸν ἀγαπητός ἐστιν. Ὅπερ ἐὰν μὴ εἰς τὴν φιλίαν μετενεχθῇ,
ἀληθὴς φίλος οὐκ ἂν εὑρεθείη ποτέ. τοιοῦτον δὲ λέγω, ὃς οἷον
81 ἕτερος ὁ αὐτός ἐστι. Εἰ δὲ ἐν τοῖς κτήνεσι τοῦτο καὶ τοῖς πτη-
νοῖς καὶ τοῖς νηκτοῖς καὶ ἀγρίοις τιθασσοῖς τε καὶ ἀνημέροις
φαίνεται, πρῶτον μὲν ὅπως ἀγαπῶσιν ἑαυτά (τοῦτο γὰρ ὁμοίως
τοῖς ζώοις ἅπασι συμφύεται)· ἔπειτα δ' ὅπως ζητοῦσι καὶ ἐφίεν-
ται τῶν ὁμογενῶν, ἵν' αὐτοῖς συναθροισθῶσι· καὶ τοῦτο
μετ' ἐπιθυμίας ποιοῦνται καὶ κατὰ μίμησίν τινα τῆς ἀνθρω-
πίνης ἀγαπήσεως· πόσῳ μᾶλλον φύσει τοῦτο ἐν ἀνθρώπῳ γί-
νεται, ὃς καὶ ἑαυτὸν φιλεῖ καὶ τὸν ἕτερον προςκτᾶται, οὗ
τὴν ψυχὴν οὕτω τῇ ἑαυτοῦ συνανακιρνᾷ ψυχῇ, ὡς μονανουχὶ
μίαν ἐξ ἀμφοῖν ἀπεργάζεσθαι.

---

79 καὶ — ὑπερφυῆ] *Praeclarus* non est ὑπερφυής, sed ἐπίσημος — ἐξαίρετος — ὑπερβάλλων.

οἴδασιν] Ἴσασιν Atticorum est; vd. de hac forma supra ad cp. 2.

δρέψασθαι τὸν καρπόν] Δρέπω et δρέπομαι poetis in usu, imprimis Pindaro: ut σοφίας καρπὸν δρέπειν Fragm. 227. vd. Ind. Vocab. in Edit. Boeckh. Tom. II. P. II. s. v. Apud scriptores prosaicos *fructum capere* i. q. καρπὸν κομίζεσθαι — λαμβάνειν — ἀπολαμβάνειν.

80 ὅς — ἐστι] Aristot. Ethic. ad Nicom. IX, 4. ἔστι γὰρ ὁ φίλος ἄλλος αὐτός. Ibid. IX, 9. ἕτερος γὰρ αὐτὸς ὁ φίλος ἐστί. Philon. Iud. fragm. T. II. p. 658. τὸ Πυθαγόρειον ῥῆμα, ὅτι ἄρα ἐστὶ φίλος ἕτερος ἐγώ.

81 ἵν' αὐτοῖς συναθροισθῶσι] *Se applicare ad aliquem* apud Cicer. i. q. Προςτίθεσθαι — πλησιάζειν τινί — ἔχεσθαί τινος.

καὶ τὸν ἕτερον προςκτᾶται] *Et alterum acquirit*, quae lectio posthabenda alteri *anquirit* in optt. Edd. receptae. *Anquirere* i. q. ἀναζητεῖν — ἐρευνᾶν — διεξερευνᾶσθαι.

XXII. Ἀλλ᾽ οἱ πολλοὶ διεστραμμένως, ἵνα μὴ ἀναιδῶς 82
εἴπω, τοιοῦτον ἔχειν φίλον ἐθέλουσιν, ὁποίους παρέχειν ἑαυ-
τοὺς οὐ δύνανται· καὶ ἃ τοῖς φίλοις οὐ νέμουσιν αὐτοί,
παρ᾽ ἐκείνων λαβεῖν ἀξιοῦσιν. Εἰκὸς δὲ τοῦτο δῆθέν ἐστι τὸ
καλοκἀγαθὸν εἶναι αὐτὸν ἄνδρα πρῶτον, εἶτα δ᾽ ἕτερόν τινα
ὅμοιον ἑαυτῷ ζητεῖν. Ἐν γὰρ τοῖς οὕτως ἔχουσιν ἐκεῖνο δή,
ὃ πάλαι γυμνάζομεν, τὸ μόνιμον τῆς φιλίας συγκρατεῖσθαι δύ-
ναται, ὅταν ἄνθρωποι τῇ εὐνοίᾳ πρὸς ἀλλήλους συνημμένοι
πρῶτον μὲν τῶν ἐπιθυμιῶν ἄρξουσιν, αἷς δουλεύουσιν οἱ λοι-
ποί· ἔπειτα δὲ τῇ ἐπιεικείᾳ καὶ δικαιοσύνῃ χαρήσονται καὶ
πάντα δ᾽ ὑπὲρ ἑτέρου ὁ ἕτερος ἀναδέξεται καὶ οὐδὲν οὐδέποτε
εἰ μὴ καλῶς ἔχον καὶ ὀρθῶς παρὰ θατέρου ἅτερος αἰτήσεται,
οὐ μόνον δὲ θεραπεύσουσι καὶ φιλήσουσιν, ἀλλὰ καὶ αἰδέσον-
ται ἀλλήλους. Μέγιστον γὰρ τῷ ὄντι κόσμον ἀφαιρεῖται τῆς
φιλίας ὁ τῆς αἰδοῦς αὐτὴν ἀποστερῶν. Οὐκοῦν ὀλεθρία τού-
τοις πρόσεστιν ἀπάτη, οἳ παντοδαπῆς ἀκολασίας καὶ ἁμαρτίας
ἐξουσίαν ἐν τῇ φιλίᾳ νομίζουσιν ἐπιτετράφθαι. Τῶν γὰρ ἀρε- 83
τῶν συνεργός, οὐ τῶν κακιῶν ἀκόλουθος ἡ φιλία ὑπὸ τῆς φύ-
σεως ἐδωρήθη· ἵνα, ἐπειδὴ μονωθεῖσα ἡ ἀρετὴ τῶν ἀκροτά-
των ἐφικέσθαι οὐκ ἂν οἵα τε ἦν, συμπλακεῖσα τῇ ἑτέρᾳ καὶ
συζευχθεῖσα φθάνειν ἐκεῖ δυνηθῇ. ἡ δὲ αὐτὴ κοινωνία τινῶν
μεταξὺ ἐὰν ᾖ ἢ ἐγένετο ἢ μέλλει ἔσεσθαι, τούτους πρὸς τὸ
μέγιστον τυχεῖν τοῦ τῆς φύσεως ἀγαθοῦ βελτίστην καὶ εὐδαι-
μονεστάτην περιβεβλῆσθαι φρουρὰν ὑποληπτέον. Αὕτη δή 84

Cap. XXII. *διεστραμμένως — ἔχειν*] *Perverse* rectius dicitur *ἀτόπως — οὐκ ὀρθῶς*. Beier. eiecit *habere*. 82

καλοκἀγαθόν] Lobeck. ad Phryn. p. 603. dubitat, num hoc vocabulum compositum Graecum haberi possit.

ὅταν — ἄρξουσιν — χαρήσονται — ἀναδέξεται — αἰτήσεται — θεραπεύσουσι — φιλήσουσιν — αἰδέσονται] Reppne *ἄρξωσιν — χαρῶσι* (de Futur. *χαρήσ.* posterioribus Graecis usitato vd. Pass. Lex. Matth. Gr. Gr. Vol. I. p. 496.) — *ἀναδέξηται* [pro *οὐδὲν οὐδέποτε* corr. *μηδὲν μηδέποτε*] — *αἰτήσηται — θεραπεύσωσι — φιλήσωσιν — αἰδεσθῶσιν*.

ὁ τῆς αἰδοῦς αὐτὴν ἀποστερῶν] Reposui *αἰδοῦς* pro *αἰδῶ* aperte falso.

τῶν γὰρ — ἐδωρήθη] *Enim* in aliquot Edd. et Cod. Dresd. a. vulgo omittitur. Aor. 1. *ἐδωρήθη* significatione passiva rarissime reperitur: vd. Herod. VIII, 85. H. l. convenientius *ἐδόθη*. 83

ἐφικέσθαι — φθάνειν] Quum apud Ciceronem *pervenire — perveniret* exstet, nec *φθάνειν* simplicem notionem perveniendi, sed occupandi vel prius aliquid faciendi (cf. Lexica) habeat, *ἐφικέσθαι* his ponendum est.

ἡ δὲ — ἐγένετο] Expressa est lectio *quae si quos inter societas*, at textus Latinus Petavii exhibet *quae si quos inter socios*, quae utrum sit varia lectio dicenda (nusquam certe enotata), an mendum typographicum non decreverim. Pro *ἐὰν ᾖ* motus verbis Ciceronis posuerim *εἰ ἥ ἐστιν ἢ ἐγένετο*.

ἡ ἐλπίς. Οὔκουν φίλῳ πρεπῶδες ἂν εἴη, τοιοῦτον εἰς ἐκεῖνον εἶναι, οἷος οὗτός ἐστιν εἰς ἑαυτόν· τοὐναντίον δὲ μᾶλλον ὡς οἷόν τε πειράζεσθαι ἀναπεπτωκότα τὸν τοῦ φίλου θυμὸν ἐγείρειν εἴς τε τὸ ἄμεινον ἐλπίζειν καὶ φρονεῖν ἀνακαλέσασθαι. Τοιγαροῦν ἕτερόν τινα τῇ γνησίᾳ φιλίᾳ τὸν ὅρον ὑπογραπτέον δοκεῖ. βούλομαι δὲ πρότερον εἰπεῖν, ὃ μάλιστα μέμφεσθαι ὁ Σκηπίων εἰώθει. Ἔλεγε γοῦν ἐχθίω τῇ φιλίᾳ φωνὴν οὐδεμίαν ἂν ἐξευρεθῆναι ἢ τοῦ φήσαντος, οὕτω φιλεῖν δεῖν τινα, ὡς καὶ μισήσοντά ποτε· ἀλλ' οὐδὲ πιστεύειν δύνασθαι, τοιόνδε τι ὑπὸ τοῦ Βίαντος, ὡς λόγος εἶχεν, εἰρῆσθαι, ἀνδρὸς εἰς σοφίαν διαβεβοημένου καὶ ἑνὸς τῶν ἑπτά· μᾶλλον μέντοι ταύτην εἶναι γνώμην ἀπέφαινε βδελυροῦ τινος ἀνθρώπου ἢ τὴν φιλοτιμίαν νοσοῦντος ἢ πάντα πρὸς τὸ ἑαυτοῦ κράτος ἀναφέροντος. Πῶς γὰρ ἄν τις φίλος εἴη τούτου, ὃν καὶ ἐχθρὸν ἔχειν δύνασθαι νομιεῖ; Πρὸς δὲ τούτοις ἀνάγκη πᾶσα βούλεσθαι καὶ εὔχεσθαι, ὡς τὰ πλεῖστα τὸν φίλον ἁμαρτάνειν, ἵνα πλείους ἑαυτῷ τοῦ ἐπιπλήττειν λαβὰς παρέχοι· πάλιν δ' αὖ ἐπὶ τοῖς ὑπὸ τῶν φίλων κατορθώμασι καὶ εὐπραγίαις ἀγανακτεῖν αὐ-

60 *τοὺς καὶ λυπεῖσθαι καὶ φθονεῖν. Οὐκοῦν τοιοῦτο τὸ παράγγελμα, οὗτινος ἂν εἴη, εἰς τὸ τὴν φιλίαν ἀναιρεῖν συμφέρει. Τοῦτο δὲ μᾶλλον ἔδει παραγγέλλειν, ὅπως τοσαύτῃ πρὸς τὸ τὰς φιλίας συστῆσαι τῇ ἐπιμελείᾳ χρησώμεθα, ὡς μηδέποτε τοῦτον φιλεῖν ἄρξασθαι, ὃν ἐπίδοξοι ὦμεν μισῆσαί ποτε. Ἀλλ' εἴ που κατὰ τὴν τῶν φίλων αἵρεσιν ἀστοχήσαιμεν, τοῦτο δὴ εὐγνωμόνως φέρειν ὁ Σκηπίων ᾤετο προσήκειν μᾶλλον ἢ τὸν τῆς ἀπεχθείας καιρὸν ἐνθυμεῖσθαι.*

61 XVII. *Τοιούτοις οὖν τοῖς ὅροις χρηστέον ἐμοὶ δοκεῖ, ὡς, ἐπειδὰν διόρθωσιν λάβῃ τὰ τῶν φίλων ἤθη, τηνικαῦτα πάντων μεταξὺ τούτων ἁπαξαπλῶς καὶ πραγμάτων καὶ βουλευμάτων καὶ θελημάτων κοινωνίαν εἶναι δεῖν· ὥστε κἂν κατὰ παρίστασίν τινα ξυμβῇ σμικρόν τι τοῦ δικαίου καθυφειμέναις*

πειράζεσθαι] Rectius *πειρᾶσθαι* vd. Lexica.

59 *Ἔλεγε γοῦν κτλ.*] Aristot. Rhet. II, 21. *ὅτι οὐ δεῖ, ὥσπερ φασί, φιλεῖν ὡς μισήσοντα, ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντα.* Diog. Laert. I, 87. de Biante: *ἔλεγε — καὶ φιλεῖν ὡς μισήσοντας, τοὺς γὰρ πλείστους εἶναι κακούς.* Vd. de hoc dicto celebrato Gernh. et Beier. Pro *οὐδεμίαν* corrige *μηδεμίαν* ob Infin.

ὑπὸ — ἑπτά] Cicero simpliciter: *A Biante — qui sapiens habitus esset unus e septem.* Sic Plut. Solon. Cap. 12. *ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν.*

τὴν φιλοτιμίαν νοσοῦντος] *Νοσεῖν* dicitur quidem de hominibus, quorum animus cupiditatibus est perturbatus, sed h. l. simplex Adiectivum *φιλότιμος — φιλόδοξος* praetulerim.

60 *οὗτινος ἂν εἴη*] *Cuiuscumque est* Cic., i. e. *οὗτινος ἂν ᾖ* vel *οὗτινός ποτ' ἐστι.*

χρῆναι ταῖς τῶν φίλων βουλήσεσιν ἐπικουρεῖν, ὅταν περὶ τῆς
κεφαλῆς ἢ περὶ τῆς ἐπιτιμίας ἀγὼν αὐτοῖς ᾖ, παρεκκλίνειν
τῆς ὁδοῦ προςήκειν· μόνον ἐὰν μὴ ἐσχάτως αἰσχρόν τι ἐντεῦ-
θεν ἀκολουθῇ. ἔστι γὰρ ἣ νέμεσθαί τινα τῇ φιλίᾳ συγγνώμην
ἐνδέχεται. Ἀλλὰ μὴν οὐδὲ τῆς δόξης ὀλιγωρητέον ἐστίν, οὐδὲ
φαύλην ἡγητέον ἀφορμὴν εἰς τῶν πραγμάτων διοίκησιν εἶναι
τὴν τῶν πολιτῶν εὔνοιαν· ἣν θωπείαις καὶ κολακείαις αἰσχρὸν
ἐπισπάσασθαι· πλὴν οὐ παραιτητέον ἐστὶ τὴν ἀρετήν, ἥτις
συμπαρομαρτοῦσαν ἔχει τὴν ἀγάπησιν. Ἐκεῖνος μὲν οὖν (ἤδη 62
γὰρ πρὸς τὸν Σκηπίωνα ἐπανιτέον ἐμοί, οὗ πᾶς ἦν ὑπὲρ τῆς
φιλίας ὁ λόγος) πολλάκις ἐμέμφετο, ὅτι ἐν τοῖς λοιποῖς ἅπασιν
οἱ ἄνθρωποι πλείω ἐπιδείκνυνται τὴν ἐπιμέλειαν. καὶ γὰρ αἶ-
γας ἢ οἶς ὁπόσας κέκτηται, ἕκαστον ἔφασκεν ἔχειν εἰπεῖν·
φίλους δ' αὖ ὁπόσους ἔχοι, λέγειν οὐ δύνασθαι· τοὺς δὲ αὐ-
τοὺς καὶ τῆς ἐκείνων κτήσεως ἐπιμέλειαν ποιεῖσθαι, περὶ δὲ
τὴν τῶν φίλων αἵρεσιν ἀμελεῖς εἶναι· οὐδ' ἔχειν οἱονεὶ σημεῖά
τινα καὶ χαρακτῆρας, δι' ὧν τοὺς πρὸς τὴν φιλίαν ἐπιτηδείους
διαγινώσκωσι. Τοιγαροῦν τοὺς βεβαίους καὶ ἀσφαλεῖς καὶ
εὐσταθεῖς ἐπιλέγεσθαι δεῖ· οἵου δῆτα τοῦ γένους σπάνις ἐστὶ
πολλή· καὶ ἡ διάκρισις δὲ χαλεπὴ πρὶν ἢ πείρᾳ καταμαθεῖν·
οὐκοῦν ἐν αὐτῇ πειρατέον ἐστὶ τῇ φιλίᾳ. Οὕτως ἡ φιλία φθά-
νει τὴν κρίσιν καὶ τῆς πείρας ἐξουσίαν ἀφαιρεῖ. Διὸ φρονί- 63
μου ἔργον ἐστίν, ὥςπερ τὸν δρόμον, οὕτω τῆς φιλίας τὴν ὁρ-
μὴν ἐπέχειν, ἵνα, καθάπερ τοῖς ἵπποις μετὰ τὰ πεῖραν αὐτῶν
λαβεῖν, οὕτω μετὰ τὸ ἀμηγέπη δοκιμάσαι τοὺς τῶν φίλων τρό-
πους ταῖς φιλίαις χρησώμεθα. Ἐνίων μὲν οὖν ἐν ὀλίγοις ταῖς

CAP. XVII. *ὅταν — αὐτοῖς ᾖ*] *Caput* i. q. salus statusque omnis civilis non dicitur *κεφαλή*.

ἣ — ἐνδέχεται] Apud Lucianum (vd. Lex. Lucian. s. v.) *συγγνώμην ἀπονέμειν* saepius, *συγγνώμην νέμειν* apud Heliodorum legitur: apud alios scriptores *συγγνώμην ἔχειν — ποιεῖσθαι*.

καὶ γὰρ αἶγας] Expressa est lectio a Beiero quoque recepta *capras — dicere posse — non posse dicere*: vulgo *ut capras — dicere posset — non dicere posset* vd. Graev. et Gernh. Cicero ante ocu- 62
los locum habuit Xenoph. Memor. II, 4, 2 et 4. *ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως. καὶ γὰρ οἰκίας καὶ ἀγροὺς καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ σκεύη κτωμένοις τε ἐπιμελῶς ὁρᾶν ἔφη καὶ τὰ ὄντα σώζειν πειρωμένοις, φίλον δέ, ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, ὁρᾶν ἔφη τοὺς πολλοὺς οὔτε ὅπως κτήσονται φροντίζοντας οὔτε ὅπως οἱ ὄντες ἑαυτοῖς σώζονται. —— ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων τὸ πλῆθος εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους ἀνατίθεσθαι.*

ὥςπερ τὸν δρόμον] *Ut cursum* expressit Petavius, vulgata optt. 63
Codd. et Edd. est *ut currum* vd. Gernh. Beier. Orell.

χρήμασι πολλάκις τὸ κοῦφον ἐλέγχεται· ἄλλοι δὲ τῶν ἐλαττό-
κων οὐχ ἡττηθέντες ἐν τοῖς μείζοσι γνωρίζονται. Ἀλλ' ἐάν τι-
νες εὑρεθεῖεν οἱ τὰ χρήματα προτιμᾶν τῆς φιλίας βάναυσον εἶ-
ναι νομίζοντες· ποῖ δὴ τοιούτους ἂν εὕροις, οἳ δὴ τιμὰς καὶ
ἀρχὰς καὶ ἐπικρατείας ἢ δυναστείας καὶ πλοῦτον περὶ πλείονος
ἢ τὴν φιλίαν οὐ ποιήσονται, ὥστε τούτων ἐκ θατέρας εἰς μέ-
σον προτεθέντων, ἐκ δὲ θατέρας προκειμένων τῶν τῆς φιλίας
δικαίων, οὐκ ἐκεῖνα πολλῷ μᾶλλον αἱρεῖσθαι; Ἀσθενὴς γὰρ
ἡ φύσις ἐστὶν ἡμῶν πρὸς τὸ τῆς δυνάμεως καταφρονεῖν· ἧς
κἂν τῆς φιλίας ὀλιγωρήσαντες ἐπέτυχον, συγκρύψαι ἂν καὶ
συσκιάσαι τὸ δρώμενον ὑπολαμβάνουσι τῷ οὐκ ἐπὶ τῇ τυχούσῃ
64 αἰτίᾳ τῆς φιλίας ἀμελῆσαι δοκεῖν. Ταύτῃ τοι αἱ ἀληθιναὶ φι-
λίαι ἐν τοῖς τῶν ἀρχῶν ἐφιεμένοις καὶ πολιτευομένοις μόλις εὑ-
ρίσκονται. Ἔστι γὰρ ὅπῃ τοῦτον ἂν εὕροις, ὃς τὴν ἑαυτοῦ
τιμὴν ὑστέραν ἄγοι τῆς τοῦ φίλου τιμῆς; Τί δέ; ἵνα τοῦτο πα-
ραλείποιμι, πῶς οἴει δειναί, πῶς ἀφόρητοι δοκοῦσι πολλοῖς
αἱ τῶν συμφορῶν κοινωνίαι; πρὸς ἃς δυσεύρετοί εἰσιν οἱ συγκα-
ταβαίνειν ἐθέλοντες. Καίτοι ὀρθῶς εἴρηται τοῦτο τῷ Ἐννίῳ·

Φίλος βέβαιος ἐν ἀβεβαίοις φαίνεται.

Ἀλλ' ὅμως δύο ταῦτα τὴν πολλῶν κουφότητα καὶ ἀσθένειαν
ἐξελέγχουσιν, ὅταν ἢ ἐν ταῖς εὐημερίαις ὑπερορῶσιν ἢ ἐν ταῖς
ἀτυχίαις καταλείπωσιν.

XVIII. Ὅστις οὖν κατ' ἄμφω ἐμβριθῆ καὶ πάγιον καὶ
μόνιμον ἐν τῇ φιλίᾳ ἑαυτὸν παρέχοι, τοῦτον ἄντικρυς τῷ σπα-
νιωτάτῳ καὶ μονονουχὶ θείῳ γένει τῶν ἀνθρώπων ἐγκριτέον ἐστί.
65 Τὸ δὲ στήριγμα τῆς εὐσταθείας καὶ ἀσφαλείας, ἣν ἐν τῇ φιλίᾳ
ποθοῦμεν, ἡ πίστις ἐστίν. οὐδὲν γὰρ μόνιμον, ὅ, τι ἄπιστον
ἂν εἴη. πρὸς δὲ δὴ τούτοις καὶ ἁπλοϊκὸν καὶ κοινὸν ὁμογνώ-
μονά τε καὶ ὑπὸ τῶν αὐτῶν ἀγόμενον εἰκὸς αἱρεῖσθαι· ἃ πρὸς

Ἀλλ' ἐάν τινες — εὕροις] Pro ἐάν pone εἰ et ποῦ pro ποῖ. Verba Ciceronis *Sin erunt aliqui reperti — ubi eos inveniemus* rectius ita interpreteris: Ἀλλ' ἐάν τινες εὑρεθῶσι — ποῦ δὴ τοιούτους εὑρήσομεν.

ὥστε — οὐκ ἐκεῖνα] Corrige ὥστε — μὴ ἐκεῖνα.

ἧς — δοκεῖν] Corrige κἂν ἐπιτύχωσι — τῷ μὴ ἀμελῆσαι δοκεῖν: recte expressa est lectio *obscuratum iri* per συγκρύψαι καὶ συσκιάσαι (de qua vd. Gernh. et Beier.), quanquam alterutro tantum verbo opus erat.

64 ἐν τοῖς τῶν ἀρχῶν ἐφιεμένοις] *In honoribus versari* i. q. τιμὰς ἔχειν — ἀρχὰς μεταχειρίζεσθαι.

ἵνα τοῦτο παραλείποιμι] *Haec ut omittam*, i. e. ἵνα τοῦτο παραλείπω.

Ἐννίῳ] Conf. sent. Eur. Hec. 1226. Pflugk. ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι φίλοι.

65 Cap. XVIII. ὁμογνώμονά — ἀγόμενον] Beierus *consentire* interpretatur ὁμοδοξεῖν, qua eadem notione Aristot. Ethic. ad Nic.

τὸ πιστὸν ἅπαντα συντείνει. οὔτε γὰρ ἐνδέχεται πιστὸν εἶναι τὸν ποικίλον τὸ ἦθος καὶ σκολιόν. Οὔτε μὴν ὁ μὴ ὑπὸ τῶν αὐτῶν ἀγόμενος ἢ φύσει μὴ ὁμογνωμονῶν ἢ πιστὸς ἢ μόνιμος ἂν γένοιτό ποτε. Προςθεῖναι δ᾽ αὖ ἐκείνοις καὶ τοῦτο χρή, ὅπως μὴ φιλεγκλήμων τις ᾖ ἢ ἐγκαλοῦσι ταχέως πιστεύῃ· ἅπερ δηλαδὴ πάντα εἰς ἐκείνην ἀναφέρεται, ἐν ᾗ ἤδη πολύς εἰμι, τὴν εὐστάθειαν. Οὕτω δ᾽ ἐπαληθεύεται τὸ ὑπ᾽ ἐμοῦ ἀπ᾽ ἀρχῆς εἰρημένον, ὅτι τὴν φιλίαν οὐκ ἐνδέχεται πλὴν μεταξὺ τῶν ἀγαθῶν ὑπάρχειν. Ἔστι γὰρ ἀνδρὸς ἀγαθοῦ, ὃν καὶ σοφὸν λέγειν τὸν αὐτὸν ἔξεστι, δύο κατὰ τὴν φιλίαν ταῦτα διαφυλάττειν· πρῶτόν μέν, μή τι πλαστὸν ὑπῇ καὶ ὕπουλον· τὸ γὰρ κἂν φανερῶς μισεῖν γενναῖον καὶ ἐλευθέριόν ἐστι μᾶλλον ἢ τῷ προςώπῳ τὴν γνώμην ἐπικρύπτειν· ἔπειτα δὲ οὐ μόνον τὰς ὑπό τινος ἐπιφερομένας αἰτίας ἀποκρούσασθαι, ἀλλ᾽ οὐδ᾽ ὑπόπτως αὐτὸν τάχα διακεῖσθαι ἀεί τι ὑπὸ φίλου ἠδικῆσθαι νομίζοντα. Προςεῖναι δ᾽ ἐπὶ τούτοις 66 ἀνάγκη χρηστότητα τῶν τε λόγων τινὰ καὶ τῶν τρόπων, οὐ μέτριον ὂν ἥδυσμα τοῦτο τῆς φιλίας. Ἀπείη δὲ πάντως τὸ στυγνὸν καὶ κατηφὲς καὶ τὸ ἐν πᾶσιν αὐστηρόν· καίτοι σεμνότητός τι δοκοῦν ἔχειν αὐτό· ἀλλ᾽ ἡ φιλία ἀνειμένη πως καὶ ἐλευθέρα καὶ γλυκεῖα ὀφείλει μᾶλλον εἶναί καὶ πρὸς ἅπαν ῥέπειν τὸ μείλιχον καὶ εὔκολον.

XIX. Ἐνταῦθα δὴ ἀπορία τις ἀναφύεται οὐ ῥᾳδίαν 67 ἔχουσα τὴν λύσιν· πότερον χρή ποτε καινοὺς φίλους τῆς φιλίας ἀξίους φανέντας τῶν παλαιῶν προτιμᾶν, καθάπερ τῶν ἤδη γεγηρακότων ἵππων τοὺς ἁπαλοὺς προκρίνειν εἰώθαμεν. Ἀλλ᾽ ἔστιν ἡ ἀμφιςβήτησις αὕτη τῆς ἀνθρωπίνης ἀναξία φύσεως. οὐδὲ γὰρ ταῖς φιλίαις, ὥςπερ ἐν τοῖς λοιποῖς, τὸν κόρον ἐγγενέσθαι προςήκει. ἀλλ᾽ αἱ παλαίταται δηλαδὴ οἴνου δί-

---

IX, 6. *ὁμογνωμονεῖν — ὁμονοεῖν — ὁμοδοξία* leguntur, et *iisdem rebus moveri συμπαθεῖν — ὁμοπαθεῖν. Συμπαθὴς καὶ συμφυής* h. l. is est, qui eisdem rebus movetur naturaque consentit vd. Plut. de am. et ad. cp. 9.

τὸ — μισεῖν] Corrige *καί*, quum apud Cic. legatur: *aperte enim* 66 *vel odisse.*

χρηστότητα] *Suavitas* i. q. *τὸ ἐπίχαρι — χάριεν.*

Ἀπείη — αὐτό] *Tristitia — absit. habet:* optt. Edd. omittunt *absit.* Petavius pro *tristitia et severitas* tria vv. posuit *στυγνόν — κατηφές — αὐστηρόν.* H. l. *κατηφές* non aptum: nam *κατηφής* est vultu demisso sive ex moerore sive ex pudore: *σκυθρωπόν* rectius esset.

τὸ μείλιχον καὶ εὔκολον] Reddidit Petav. his vocabulis *comitatem facilitatemque:* sed pro *μείλιχον*, quod poetis in usu, *πρᾶον — φιλοπροςήγορον* repone.

Cap. XIX. *ἀλλ᾽ — εἶναι*] Ex emendatione Suffridi multis 67 Edd., etiam Gernh. probata legitur *Veterrimas quaeque — esse*

κην τὴν πολυετίαν φέροντος ἥδισται ὀφείλουσιν εἶναι. κἀκεῖνο
δ' ἀληθές ἐστι τὸ τεθρυλλημένον, πολλοὺς τῶν ἁλῶν μεδί-
μνους συμφαγεῖν δεῖν, ἵνα τὸ τῆς φιλίας καθῆκον ἐκπληρωθῇ.
68 Τὰς δὲ καινότητας, ἐὰν ἐλπίδα παρέχωσιν, ὥςθ' οἷον ἐν οὐ
ψευδομένῃ πόᾳ τὸν καρπὸν ὑποφαίνειν, οὐδ' αὐτὰς ἀποδιο-
πομπήσασθαι δεῖ· τὴν μέντοι ἀρχαιότητα κατὰ χώραν ἐατέον.
πλείστη γὰρ ὅση δύναμις ἔνεστι τῇ τε ἀρχαιότητι καὶ τῇ συν-
ηθείᾳ. Καὶ ἐν αὐτῷ δὲ τῷ ἵππῳ, οὗ πέρι ἄρτι μνήμην ἐποιη-
σάμην, ἢν μή τι ἐμποδὼν ᾖ, οὐκ ἔστιν ὅςτις τῷ εἰθισμένῳ
ἥδιον ἂν χρῷτο ἢ τῷ οὔπω ὑπὸ χεῖρας ἐλθόντι καὶ καινῷ.
Καὶ οὐκ ἐν τούτῳ μόνον, ὅπερ ἔμψυχόν ἐστιν, ἀλλὰ καὶ ἐν
τοῖς ἀψύχοις ἡ συνήθεια ἰσχὺν ἔχει· ἐπεὶ δὲ τοῖς ὀρεινοῖς χαί-
69 ρομεν καὶ ὑλώδεσι τόποις, οἷς ἐπὶ πολὺ ἐνδιετρίψαμεν. Ἀλλὰ
μέγιστον δὴ τοῦτο κατὰ τὴν φιλίαν ἐστὶ τὸ τὸν κρείττονα τῷ
ἥττονι ἐξισοῦσθαι. πολλάκις γὰρ ὑπεροχαί τινες ὑπάρχουσιν,
οἷα τοῦ Σκηπίωνος ἐν ἡμετέρᾳ ἦν, ἵνα εἴπω οὕτως, ἀγέλῃ.
Οὐ μέντοι αὐτὸς οὔτε τοῦ Φίλου οὔτε τοῦ Ῥουπιλίου οὔτε
τοῦ Μουμμίου οὔτε τῶν τῆς ἐλάττονος τάξεως φίλων προὐτί-
μησεν ἑαυτόν· Κόϊντον δὲ Μάξιμον τὸν ἀδελφόν, ἄνδρα ἄλ-
λως μὲν ἄριστον, οὐ μὴν πρὸς ἑαυτόν, ὡς προὔχοντα,
καθότι ἐπροτέρει τῇ ἡλικίᾳ, ἐθεράπευεν· τοὺς δ' αὖ οἰκείους
ἅπαντας ἀμείνω δι' ἑαυτοῦ δύνασθαι πράττειν πάντως ἠβού-
70 λετο. Ὃ καὶ πᾶσι δραστέον καὶ μιμητέον ἐστίν, ὅπως, ἐὰν
ἐξοχήν τινα τῆς ἀρετῆς ἢ ἀγχινοίας ἢ τύχης κτῶντο, ταύ-
της μεταδῶσι τοῖς φίλοις καὶ τοῖς πλησίον κοινώσωνται· οἷον
εἰ ἐξ ἀδόξων ἔφυσαν γονέων, εἴτε συγγενεῖς ἔχουσι κατὰ τὴν
γνώμην ἢ κατὰ τὴν τύχην ἀσθενεστέρους, τούτων ἐπαύξωσι
τὰς ἀφορμὰς καὶ τιμῆς αὐτοῖς καὶ ἀξιώματος εἰς προσθήκην
γένωνται· καθάπερ ἐν τοῖς δράμασιν οἱ διὰ τὴν γένους ἄγνοιαν
ἐν δουλείᾳ χρόνον τινὰ ζήσαντες ἐπειδὰν ἀναγνωρισθῶσι, καὶ

---

debent suavissimae, quod expressit Petavius. Quum Codd. *Veterrima quaeque — esse debent suavissima* exhibeant, Beierus ita lect. constituit: *Veterruma quaeque — [debe[n]t esse] suavissima*, ut numero singulari de amicitia intelligatur. Orell. retinuit lect. Codd. *Veterrima quaeque — esse debent suavissima*, quem vd.

κἀκεῖνο δ' ἀληθές ἐστι κτλ.] Plutarch. de multit. amicor. Vol. VII. p. 290 Hutt. *τὸν θρυλλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδιμνον.* Aristot. Ethic. ad Nic. VIII, 4. *κατὰ τὴν παροιμίαν οὐκ ἔστιν εἰδῆσαι ἀλλήλους πρὶν τοὺς λεγομένους ἅλας συναναλῶσαι.*

69 *ὑπεροχαί*] *Excellentiae*, quo vocabulo usus est Aristot. Ethic. Nic. VIII, 15.

τοὺς — ἠβούλετο] *Suosque omnes per se esse posse ampliores volebat* Cic., *posse* omissum in uno Cod. Manut. eiecerunt Victor. Graev. Gernh. Beier. Orell.; Beier. praeterea *esse* uncis circumsepsit.

*θιῶν ἢ βασιλέων παῖδες ὄντες εὑρεθῶσι, τὴν αὐτὴν ὅμως ἔχον-
τες διατελοῦσι στοργὴν πρὸς τοὺς νομεῖς ἐκείνους, οὓς σφῶν
εἶναι πατέρας πολλὰ τὰ ἔτη ἐνόμισαν. Ὅπερ δηλαδὴ πολλῷ
μᾶλλον εἰς τοὺς γνησίους καὶ ἀναμφηρίστους πατέρας ἐπι-
δεικτέον ἐστί. Καὶ γὰρ ἥτις ἐστὶ νοῦ καὶ ἀρετῆς καὶ παντὸς
ἄλλου πλεονεκτήματος ὄνησις, αὕτη τότε μάλιστα συλλέγεται,
ὁπηνίκα εἰς τοὺς ἐγγυτάτω διαδίδοται.*

XX. Τοιγαροῦν ὥςπερ ἐν τῇ φιλίᾳ τῇ τε οἰκειότητος 71
*συναφείᾳ τοὺς ὄντας κρείττους τοῖς ὑποδεεστέροις συγκατα-
βαίνειν προςήκει· οὕτω καὶ τοὺς ὑποδεεστέρους ἀθυμεῖν
ἥκιστα χρή, ὅταν ὑπὸ τῶν φίλων εἴτε τῇ τοῦ νοῦ ὀξύτητι εἴτε
τῇ εὐτυχίᾳ εἴτε τῷ ἀξιώματι παρευδοκιμοῦνται. Ὧν οἱ πλεῖ-
στοι ἢ μεμψιμοιροῦσιν ἀεί τι ἢ καὶ ὀνειδίζουσιν· τηνικαῦτα
δὲ μᾶλλον, ὅταν θεραπευτικῶς ἢ εὐνοϊκῶς ἢ καὶ μετὰ τοῦ
ἰδίου πόνου προϋπηργμένον τι ἀφ' ἑαυτῶν εἰπεῖν δύνωνται.
Μίσους μὲν οὖν ἄξιόν ἐστι τουτὶ τὸ γένος ἀνθρώπων, οἳ τὰς
εὐεργεσίας ὀνειδίζουσιν· ὧν μεμνῆσθαι μὲν πάντως τὸν λα-
βόντα δεῖ, τὸν δ' αὖ δεδωκότα οὐδαμῶς ἀπομνημονεύειν.
Οὐκοῦν ὥςπερ οἱ κρείττους ὑποστέλλειν ἐν φιλίᾳ ἑαυτοὺς ὀφεί-* 72
*λουσιν· οὕτως ἐξαίρειν πως τοὺς καταδεεστέρους. Εἰσὶ γάρ
τινες οἱ τὰς φιλίας ἐπαχθεῖς ποιοῦντες, ὅταν καταφρονεῖσθαι
ὑπολαμβάνωσιν. ὃ δὴ μόνοις ἐπιεικῶς συμβαίνει τοῖς καὶ εὐ-
καταφρονήτους ἑαυτοὺς κρίνουσιν· οἷς τοιαύτην ὅμως τὴν δό-
ξαν καὶ λόγοις καὶ ἔργοις ἀφαιρετέον ἐστί. Τοσοῦτον δὲ νεμη-* 73
*τέον ἑκάστῳ, πρῶτον μὲν ὅσον ἐπιτελέσαι αὐτὸς ἂν ἔχοις·
ἔπειτα δέ, ὅσον στέγειν ἐκεῖνος δύναται, ὃν ἂν φιλεῖν καὶ ᾧ
συμπράττειν ἀξιώσῃς. Οὐ γὰρ οἷός τε ἂν εἴης, καίτοι
καθ' ὑπερβολὴν δυνατὸς ὤν, πάντας τοὺς οἰκείους εἰς τὰς
ἀνωτάτω προάγειν τιμάς· καθάπερ ὁ Σκηπίων Πόπλιον μὲν τὸν
Ῥουπίλιον ἠδυνήθη ὕπατον ἀποδεῖξαι, Λεύκιον δὲ τὸν ἐκείνου
ἀδελφὸν οὐκ ἠδυνήθη. Ἀλλ' εἰ καὶ πάντως ὁτιοῦν ἐξανύσαι
δύναιο χαριζόμενος ἑτέρῳ· σκεπτέον ὅμως εἴη, τί βαστάζειν
οὗτος αὐτὸς ἂν δύναιτο. Καθόλου δὲ μετὰ τὸ ῥωσθῆναι καὶ* 74

ἐὰν — κτῷντο] Corrige *κτῶνται*, vel rectius *κτήσωνται*, *si — con-* 70
secuti sunt.

πολλὰ τὰ ἔτη] Articulus erat omittendus.

CAP. XX. *ὅταν — παρευδοκιμοῦνται*] Corr. *παρευδοκιμῶνται.* 71

Μίσους — ἐστι κτλ.] Plutarch. de discr. adul. et amic. cp. XXII. *Πᾶσα ὀνειδιζομένη χάρις ἐπαχθὴς καὶ ἄχαρις καὶ οὐκ ἀνεκτή.* Demosth. de Cor. p. 316. Reisk. *νομίζω, τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δ' εὖ ποιήσαντα εὐθὺς ἐπιλελῆσθαι αὐτῶν, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἄνθρωπον. Τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν.*

στέγειν] I. q. *sustinere* apud scriptores posteriores. Infra *βα-* 73
στάζειν scriptum est.

κρατυνθῆναι τάς τε γνώμας καὶ τὰς ἡλικίας τὰς φιλίας ἀνακρίνειν εὔλογόν ἐστιν· οὐδ᾽ εἴ τινες κατὰ πρώτην τὴν ἡλικίαν περὶ τὴν κυνηγεσίαν ἢ τὴν σφαίρισιν ἐσπουδακότες ἦσαν, ἀκόλουθόν ἐστι τοὺς τῶν αὐτῶν συνερασθέντας τότε τοῖς οἰκείοις ἐγκρίνειν. οὕτω γὰρ κἂν αἱ τροφοὶ καὶ οἱ παιδαγωγοὶ τὸ πλεῖστον ἂν τῆς εὐνοίας ἀπαιτήσειαν· ὧν ἀμελητέον μὲν οὐχί, ἀλλ᾽ ἕτερόν τινα τρόπον εἰκός ἐστι θεραπεύειν. Οὐ γὰρ ἄλλως ἐνδέχεται βεβαίους τὰς φιλίας διαμένειν. Ἐπειδὴ τοῖς ἀνομοίοις ἤθεσιν ἀνόμοια καὶ τὰ ἐπιτηδεύματα παρακολουθεῖ, ὧν αἱ διαφωνίαι τὰς φιλίας διέστησαν· καὶ οὐκ αἰτία τίς ἐστιν ἑτέρα, δι᾽ ἣν οὔτε οἱ ἀγαθοὶ τοῖς πονηροῖς οὔτε οἱ πονηροὶ τοῖς ἀγαθοῖς εἰς φιλίαν συνελθεῖν δύνανται, πλὴν ὅτι τοσαύτη μεταξὺ τούτων, ὅσην ἐνδέχεται μεγίστην εἶναι, τῶν τρόπων
75 *τε καὶ ἐπιτηδευμάτων ἐστὶν ἡ διαφορά. Ὀρθῶς δὲ καὶ τοῦτο παραγγέλλοι τις ἂν ἐπὶ τῶν φιλιῶν, ὅπως μήτις ἀκράτῳ τῇ εὐνοίᾳ φερόμενος, ὃ πολλάκις γίνεται, τὰς μεγίστας ὠφελείας ἐμποδίζῃ τῶν φίλων. Καὶ γὰρ οὐδὲ τὴν Τροίαν ἐξεῖλεν ἂν ὁ Νεοπτόλεμος, ἵνα πρὸς τοὺς μύθους ἐπανέλθω, εἰ τοῦ Λυκομήδους, παρ᾽ ᾧ ἐτρέφετο, πολλοῖς σὺν δάκρυσι κωλύοντος ἀποχωρεῖν ἀκούειν ἤθελε. Καὶ πολλάκις δὲ οὐ τὰ τυχόντα περιπίπτει πράγματα, ἃ χωρίζεσθαι τῶν φίλων ἀναγκάζει· οἷς ὁ ἐμποδὼν ἀξιῶν στῆναι, ὡς ἀπόντος τὸν πόθον οὐ φέρων, οὗτος πολλὴν ἀσθένειαν καὶ μαλακίαν ὀφλισκάνει τῆς φύσεως,*
76 *καὶ διὰ τοῦτο οὐκ ἄγαν ἐν τῇ φιλίᾳ δίκαιος εἶναι δοκεῖ. Ἓν μὲν οὖν ἁπανταχοῦ δεῖ τοῦτο σκοπεῖν, ὅ,τι τ᾽ ἂν αἰτήσῃς παρὰ τοῦ φίλου καὶ ὅ,τι ἂν αἰτοῦντι χαρίζεσθαι οὐκ ἀπαξιώσῃς αὐτῷ.*

XXI. *Καὶ ἐν τῇ διαλύσει δὲ τῶν φιλιῶν ἐπιφύεταί τις ἔστιν ὅτε ἀναγκαία συμφορά· ἤδη γὰρ τὰς τῶν σοφῶν οἰκειότητας ἀφεὶς ὁ λόγος εἰς τὰς δημώδεις φιλίας μεταπίπτει. Αἱ τῶν φίλων κακίαι πολλάκις ἐκρήγνυνται ποτὲ μὲν εἰς τοὺς αὐτῶν φίλους, ποτὲ δ᾽ εἰς ἀλλοτρίους, ἀλλ᾽ ὥστε τὸ ἐκ τού-*

ἢ τὴν σφαιρίσιν ἐσπουδακότες] Plut. de mult. amic. Vol. VII. p. 290. Hutt. *συσφαιρίσαντες* dicuntur.

οὕτω γὰρ κἂν — ἀπαιτήσειαν] *κἂν* erat omittendum: *postulabunt* i. q. *ἀπαιτήσουσι.*

ὧν — θεραπεύειν] Expressum est glossema *colendi*, iure eiectum ab Aldo, Graevio, Gernhardo, Beiero, Orell.

Οὐ γὰρ ἄλλως] *Enim* plerique Codd. et Edd. omittunt.

75 *ὅπως — φερόμενος*] Petavius secutus est lect. *ne quis intemperata quadam benevolentia*; nec recte *τῇ* pro *τινὶ* posuit: optt. Edd. *ne intemperata quaedam benevolentia.*

παρ᾽ ᾧ ἐτρέφετο] *Apud quem erat educatus*, i. e. *ἐτέθραπτο.*

ὡς — φέρων] Cicero: *quod desiderium non facile ferat*, i. e. *ὡς τὸν πόθον οὐ ῥᾳδίως φέρων.*

76 Cap. XXI. *ἐκρήγνυνται — ἀπερείδεσθαι*] Pro *ἐκρήγνυσθαι erumpere* h. l. convenientius mihi videtur *φανερὸν γίγνεσθαι — φαίνε-*

των ὄνειδος εἰς τοὺς φίλους ἀπερείδεσθαι. Οὐκοῦν τὰς τοιαύ-
τας φιλίας τῇ κατ᾽ ὀλίγον ὑφαιρέσει τῆς συνηθείας ἀνεῖναι δεῖ·
καὶ (ὥσπερ λέγοντος ἤκουσα τοῦ Κάτωνος) ἠρέμα δεῖ μᾶλλον ἢ
ἀθρόως διαιρεῖν· εἰ μή που τάχα ἀφόρητός τις οὕτως ὕβρις
ἀναφλεχθῇ, ὡς μήτε ὀρθῶς μήτε καλῶς ἔχειν μήθ᾽ ὅλως
δυνατὸν εἶναι τὸ μὴ οὐχὶ τὴν ἀλλοτρίωσιν καὶ διάζευξιν παραυ-
τίκα γενέσθαι. Ἐπειδὰν δὲ τῶν τρόπων καὶ τῶν ἐπιτηδευμά- 77
των μεταλλαγή τις, οἵα γενέσθαι φιλεῖ, προσπέσῃ, εἴτε στά-
σις καὶ διχόνοια τῶν ἐν τῇ πολιτείᾳ μερῶν (περὶ γὰρ τῶν κοι-
νῶν φιλιῶν, οὐ τῶν τοῖς σοφοῖς πρὸς ἀλλήλους συνισταμένων,
ὡς ἔφθην εἰπών, ἅπας τονῦν λόγος ἐστὶν ἐμοί)· φυλακτέον
ἂν εἴη τοῦτο, μὴ οὐ μόνον ἀπειπεῖν τὰς φιλίας, ἀλλὰ καὶ τὰς
ἔχθρας δοκῶμεν ἀνειπεῖν. Οὐδὲν γὰρ αἴσχιον ἢ ᾧπερ οἰκείως
σὺ ξυνεβίως πρώην, πρὸς τοῦτον ἐκπεπολεμῶσθαι. Τῆς τοῦ
Κοΐντου Πομπηΐου φιλίας ὁ Σκηπίων, ὥςπερ ἴστε, ἀφειστή-
κει δι᾽ ἐμέ· διὰ δὲ τὴν ἐν πολιτείᾳ διαφορὰν Μετέλλου τοῦ
ἡμῶν ἑταίρου. καὶ δὴ ἄμφω ταῦτα σεμνοπρεπῶς καὶ μετὰ
τῆς αὐθεντίας, ἄνευ δὲ πικρίας καὶ ἀπεχθείας ἔπραξεν. Οὐκ- 78
οῦν τοῦτο πρῶτον σπουδαστέον, ὅπως μὴ διαστάσεις τῶν φί-
λων γένωνται· ἐὰν δέ τι συμβαίνῃ τοιοῦτον, ὅπως ἀποσβε-
σθῆναι μᾶλλον ἢ καταχωσθῆναι δοκῶσιν αἱ φιλίαι. Πρὸς
δὲ τούτοις εὐλαβητέον ἐστί, μὴ εἰς δεινάς ποτε δυςμενείας αἱ
φιλίαι περιτρέπωνται· ὅθεν ἔριδες καὶ βλασφημίαι καὶ παροι-
νίαι φύονται· ἅςπερ, ἐὰν ἀνεκταὶ ὦσι, πάντως οἰστέον, καὶ

σθαι — ἐκφαίνεσθαι: pro ἀπερείδεσθαι posuerim τρέπεσθαι ob verba Ciceronis: *quorum tamen ad amicos redundet infamia.*

Οὐκοῦν — δεῖ] Expressa est lectio deterior *elevandae*, cui praeferenda *eluendae*; de his aliisque lectt. vd. Gernh. et Beier., qui de lect. *eluendae* haec annotavit: „Quae si vera lectio est, Cicero in tralato verbi usu aemulatus est Isocratem in Or. ad Demon. c. 1. §. 3. f. τὰς τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν."

ἠρέμα — διαιρεῖν] *Dissuendae magis quam discindendae* non recte interpretatus est Petavius. *Dissuere* i. q. διαλύειν, *discindere* i. q. διαῤῥηγνύναι — διατέμνειν — διακόπτειν.

εἰ μὴ — ἀναφλεχθῇ] De part. εἰ cum Coniunctivo vd. ad Somn. cp. 23.

καὶ — εἴτε] *Aut studiorum — aut* i. e. ἢ τῶν ἐπιτηδευμάτων — ἤ. 77

εἴτε — μερῶν] *Aut in reipublicae partibus dissensio* non accurate sunt reddita: equidem in Graecum converterim ἡ διχόνοια τῶν ἐν τῇ πόλει στάσεων.

μὴ — ἀπειπεῖν] Non recte verba Ciceronis reddita sunt: *ne non solum amicitiae depositae, sed inimicitiae susceptae videantur. Amicitiam deponere* i. q. τὴν φιλίαν ἀποτίθεσθαι — διαλύεσθαι; *inimicitiam suscipere* τὴν ἔχθραν αἱρεσθαι.

πρώην] De suo addidit Petavius.

πρὸς τοῦτον ἐκπεπολεμῶσθαι] De hac locutione Herodotea non debebat dubium movere Schweighaeus. Lex. Herod. P. I. p. 200.

54 ἦν ἀμείψασθαι. *Καίτοι θαυμάζειν ἔπεισί μοι, εἰ ἐν ὑπερη-*
φανίᾳ τοιαύτῃ καὶ ἀπανθρωπίᾳ κἂν ἕνα πιστὸν ἔχειν ἠδύνατο.
Ἀλλὰ καθάπερ τουτουΐ, ὃν ἔφην, οἱ τρόποι γνησίους παρα-
σκευάζειν τοὺς φίλους οὐκ εἶχον· οὕτω πολλῶν πλούτῳ καὶ δυ-
νάμει ὑπερεχόντων ἡ περιουσία τὰς γνησίας τῶν φιλιῶν οὐ προς-
ίεται. Οὐ γὰρ αὐτὴ μόνον τυφλή ἐστιν ἡ τύχη, ἀλλὰ καὶ τυ-
φλοὺς πολλάκις ἀποδείκνυσιν, οὓς ἂν περιπτύξηται. Οὐκοῦν
ὡς ἐπὶ τὸ πολὺ ὑπὸ τῆς ἄγαν ὑπεροψίας καὶ αὐθαδείας ἐπαί-
ρονται· καὶ τῷ ὄντι δὲ φορτικώτερον ἂν εὕροις οὐδὲν εὐδαιμο-
νοῦντος ἄφρονος. Ἀμέλει τοῦτο ῥᾳδίως ἂν τις κατίδοι, ὅπως
οἱ χρηστοὶ καὶ ἐπιεικεῖς τοὺς τρόπους τέως ὑπάρξαντες ὑπὸ τῆς
ἀρχῆς καὶ ἐξουσίας καὶ τῆς εὐημερίας ἠλλοιώθησαν, ὡς τῶν
55 *τε παλαιῶν ὀλιγωρεῖν φιλιῶν καὶ τὰς καινὰς περιέπειν. Ἀλλὰ*
τί τούτου εὐηθέστερον ἂν εἴη ἢ ὅπως ἄν τις πολλὴν ἔχων
ἀφορμὴν καὶ περιουσίαν καὶ πλοῦτον ὅτι πλεῖστον δύνηται,
τὰ μὲν λοιπὰ παρασκευάζειν, ἅπερ οὖν παρασκευάζουσιν, χρή-
ματά τε καὶ ἵππους καὶ δούλους καὶ περιφανεῖς ἐσθῆτας καὶ
σκεύη πολύτιμα· φίλους δὲ μὴ παρασκευάζειν, τὴν ἀρίστην
ὡς ἀληθῶς καὶ καλλίστην τοῦ βίου ὡς εἰπεῖν ἀποσκευήν;
Τὰ μὲν γὰρ ἄλλα, ὁπόταν εὐτρεπίζωσιν, ὅτῳ ποτὲ οὖν εὐτρε-
πίζουσιν, ἀγνοοῦντές εἰσιν, ὅτου θ' ἕνεκα ταλαιπωροῦσιν (ἐν
γὰρ ἐκείνων ἕκαστον εἰς τὸν ἰσχύϊ πλεονεκτοῦντα περιέστη)
τῶν δὲ φιλιῶν οὐκ ἔστιν ᾧτινι βεβαία καὶ ἀσφαλὴς ἡ κτῆσις οὐ
παραμένει· ὥςτε κἂν ἐκεῖνα μόνιμα τυγχάνοι, ἃ δὴ οἱονεὶ δῶρά
ἐστι τῆς τύχης, ὅμως ὅγε ἄγριος καὶ τῶν φίλων ἠρημωμένος
βίος οὐκ ἂν ἡδὺς εἶναι δύναιτο. Ἀλλὰ περὶ μὲν τούτων τέως
εἰρήσθω.

---

54 *εἰ — κἂν*] Corrige *εἰ — καί.*
οὓς ἂν περιπτύξηται] i. e. quoscunque complectitur, sed Cic. *quos complexa est*, i. e. *οὓς περιεπτύξατο*; loquitur de re certa. Aelian. V. H. II, 19. de Alexandr. — *ὑπὸ τῆς εὐτυχίας τῆς περιλαβούσης αὐτόν.* Huc pertinet Menandr. sententia :

ὁ πλοῦτος τυφλόν·
τυφλοὺς δ' ἐς αὐτὸν ἐμβλέποντας δεικνύει.

55 *ἅπερ οὖν — ἵππους*] Secutus est Petavius lect. deteriorem *quae parantur, pecuniam, equos* pro *quae parantur pecunia, equos* i. e. *χρήμασιν, ἵππους.*
φίλους — ἀποσκευήν] *Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου* Poet. gnom. ap. Brunck. v. 582; *ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος* Xenoph. Memor. II, 4, 1; *ἐγὼ οὐδὲν ἄλλο ἡγοῦμαι ἀνθρώποις εἶναι τούτου κτῆμα ἄμεινον ἢ κάλλιον* Lucian. Toxar. Cap. 62. Petavius *ὡς ἀληθῶς* de suo interposuit.
εὐτρεπίζωσιν — εὐτρεπίζειν] *Parare* h. l. *παρασκευάζειν — πορίζειν — κτᾶσθαι.*
ὅμως — βίος] *Tamen vita inculta et deserta ab amicis* Cic., quae vocabula quoniam ab agro ducta sunt, pro *ἄγριος* mihi ponendum videtur *ἀνέργαστος — ἀθεράπευτος.*

XVI. Δεῖ δὲ ὅρους ἐν τῇ φιλίᾳ καὶ τοῦ φιλεῖν τέλη κα- 56
ταστῆσαί τινα· περὶ ὧν γνώμας ὁρῶ περιφέρεσθαι τρεῖς, ὧν
οὐδεμίαν δέχομαι. Ἡ μὲν οὖν μία τούτων ἐστίν, ὡς παρα-
πλησίως ἡμᾶς πρὸς τοὺς φίλους διακεῖσθαι δεῖ, ὡς πρὸς ἑαυ-
τοὺς ἔχομεν· ἡ δὲ δευτέρα, ὅτι τὴν παρ᾽ ἡμῶν εἰς τοὺς φί-
λους εὔνοιαν πρὸς τὴν παρὰ τούτων εἰς ἡμᾶς χρὴ ἴσην καὶ
ὁμοίαν ὑπάρχειν· τρίτη δ᾽ αὖ, ὅτι, ὅσου τιμᾷ τις ἑαυτόν, το-
σούτου τιμᾶσθαι δέον ἐστὶν ὑπὸ τῶν φίλων. Ἀλλ᾽ ἔγωγε τῶν
τριῶν δοξῶν ἐκείνων οὐδεμιᾷ συγκατατίθεμαι. Οὔτε γὰρ ἀλη-
θής ἐστιν ἡ πρώτη ἡ πρὸς τὸν φίλον οὕτως ὡς πρὸς ἡμᾶς
αὐτοὺς διατίθεσθαι προσήκειν λέγουσα. Πόσα γάρ ἐστιν, ἃ 57
ἡμῶν ἕνεκα δρᾶν οὐδέποτ᾽ ἂν ἀνασχόμενοι ποιοῦμεν ὅμως τοῖς
φίλοις χαριζόμενοι; οἷον ἂν εἴη δεῖσθαί τι ἀναξίου τινὸς καὶ
ἱκετείαν προσφέρειν ἢ ἀπηνέστερον πρὸς ὁντιναοῦν ἀποτείνε-
σθαι καὶ σφοδρότερον ἐπιπλήττειν· ἅπερ ἐν μὲν τοῖς ἰδίοις
ἡμῶν οὐκ ἄγαν εὐπρεπῶς, ἐν δὲ τοῖς τῶν φίλων μετὰ πάσης
ποιοῦμεν τῆς εὐσχημοσύνης. Καὶ πολλὰ δὲ συμβαίνει, ἐν οἷς
τῶν ἑαυτοῖς συμφερόντων οὐκ ὀλίγα περιαιροῦσι σφᾶς αὐτοὺς
οἱ ἀγαθοὶ ἢ περιαιρουμένων ἀνέχονται, ὅπως οἱ φίλοι μᾶλ-
λον ἢ αὐτοὶ τούτων ἀπολαύωσιν. Ἡ δὲ δευτέρα δόξα τῶν 58
τριῶν ἐστὶν ἡ τὴν φιλίαν ἔργων τε καὶ θελημάτων ἰσότητι πε-
ριγράφουσα. Ἀλλὰ τοῦτο ἄντικρύς ἐστι γλίσχρως ἄγαν καὶ
μικρολόγως εἰς ψηφισμοὺς τὴν φιλίαν περιστῆσαι, τούτου στο-
χαζόμενον, ὅπως οἱ τῆς λήψεως καὶ τῆς δόσεως λόγοι πρὸς
ἀλλήλους ἀπαρτίζωσιν. Ἐμοὶ δὲ εὐπορωτέρα καὶ δαψιλεστέρα
πως εἶναι δοκεῖ ἡ ἀληθινὴ φιλία, μηδ᾽ ἀκριβῶς οὕτω παρα-
φυλάττεσθαι, ὡς μὴ πλέον τι ὧνπερ εἴληφεν ἀποδιδῷ. Οὐ
γὰρ δὴ φοβητέον τοῦτο, μήτι ἐκπέσῃ ἢ χαμαὶ παραῤῥυῇ ἢ
τοῦ δέοντος πλέον ἐν φιλίᾳ τι συναθροισθῇ. Ὁ τρίτος τῶν εἰ- 59
ρημένων ὅρος τῆς φιλίας λείπεται τῶν πάντων ἀτοπώτατος τὸ
δεῖν τοσούτου τιμᾶσθαι ὑπὸ τῶν φίλων, ὅσου ἂν τις ἑαυτὸν
ἀξιοῖ. Καίτοι πολλάκις ἐνυπάρχει τισὶν ἢ ταπεινότερον τὸ
φρόνημα ἢ τοῦ λαμπροτέρας ἐπιλαβέσθαι τύχης ἀσθενεστέρα

Cap. XVI. *Πόσα — χαριζόμενοι;*] Petavius cum plerisque Edd. signum interrogandi posuit, rectius Beier. Orell. exclamandi: tum ὅσα est scribendum. De sententiis cf. Xenoph. Mem. II, 4, 7. πολλάκις δὲ ἃ πρὸ αὑτοῦ τις οὐκ ἐξειργάσατο ἢ οὐκ εἶδεν ἢ οὐκ ἤκουσεν ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν. 57

γλίσχρως — στοχαζόμενον] Petavius *nimis exigue et exiliter* expressit, quam omnium fere Codd. et Edd. lect. tuentur Beier. Orell.; *nimis* Gernhardus delevit. Quum ψηφισμός non sit voc. Graec., ψήφους erat ponendum. *Ad calculos revocare* i. q. ψηφίζειν — ψήφοις λογίζεσθαι; tum verba τούτου στοχαζόμενον abesse possunt. Pro δαψηλεστέρα, mendo typographico, emendavi δαψιλεστέρα. 58

ἡ ἐλπίς. Οὔκουν φίλῳ πρεπῶδες ἂν εἴη, τοιοῦτον εἰς ἐκεῖνον εἶναι, οἷος οὗτός ἐστιν εἰς ἑαυτόν· τοὐναντίον δὲ μᾶλλον ὡς οἷόντε πειράζεσθαι ἀναπεπτωκότα τὸν τοῦ φίλου θυμὸν ἐγείρειν εἴς τε τὸ ἄμεινον ἐλπίζειν καὶ φρονεῖν ἀνακαλέσασθαι. Τοιγαροῦν ἕτερόν τινα τῇ γνησίᾳ φιλίᾳ τὸν ὅρον ὑπογραπτέον δοκεῖ. βούλομαι δὲ πρότερον εἰπεῖν, ὃ μάλιστα μέμφεσθαι ὁ Σκηπίων εἰώθει. Ἔλεγε γοῦν ἐχθίω τῇ φιλίᾳ φωνὴν οὐδεμίαν ἂν ἐξευρεθῆναι ἢ τοῦ φήσαντος, οὕτω φιλεῖν δεῖν τινα, ὡς καὶ μισήσοντά ποτε· ἀλλ' οὐδὲ πιστεύειν δύνασθαι, τοιόνδε τι ὑπὸ τοῦ Βίαντος, ὡς λόγος εἶχεν, εἰρῆσθαι, ἀνδρὸς εἰς σοφίαν διαβεβοημένου καὶ ἑνὸς τῶν ἑπτά· μᾶλλον μέντοι ταύτην εἶναι γνώμην ἀπέφαινε βδελυροῦ τινος ἀνθρώπου ἢ τὴν φιλοτιμίαν νοσοῦντος ἢ πάντα πρὸς τὸ ἑαυτοῦ κράτος ἀναφέροντος. Πῶς γὰρ ἄν τις φίλος εἴη τούτου, ὃν καὶ ἐχθρὸν ἔχειν δύνασθαι νομιεῖ; Πρὸς δὲ τούτοις ἀνάγκη πᾶσα βούλεσθαι καὶ εὔχεσθαι, ὡς τὰ πλεῖστα τὸν φίλον ἁμαρτάνειν, ἵνα πλείους ἑαυτῷ τοῦ ἐπιπλήττειν λαβὰς παρέχοι· πάλιν δ' αὖ ἐπὶ τοῖς ὑπὸ τῶν φίλων κατορθώμασι καὶ εὐπραγίαις ἀγανακτεῖν αὐ-
60 τοὺς καὶ λυπεῖσθαι καὶ φθονεῖν. Οὐκοῦν τοιοῦτο τὸ παράγγελμα, οὗτινος ἂν εἴη, εἰς τὸ τὴν φιλίαν ἀναιρεῖν συμφέρει. Τοῦτο δὲ μᾶλλον ἔδει παραγγέλλειν, ὅπως τοσαύτῃ πρὸς τὸ τὰς φιλίας συστῆσαι τῇ ἐπιμελείᾳ χρησώμεθα, ὡς μηδέποτε τοῦτον φιλεῖν ἄρξασθαι, ὃν ἐπίδοξοι ὦμεν μισῆσαί ποτε. Ἀλλ' εἴ που κατὰ τὴν τῶν φίλων αἵρεσιν ἀστοχήσαιμεν, τοῦτο δὴ εὐγνωμόνως φέρειν ὁ Σκηπίων ᾤετο προσήκειν μᾶλλον ἢ τὸν τῆς ἀπεχθείας καιρὸν ἐνθυμεῖσθαι.

61 XVII. Τοιούτοις οὖν τοῖς ὅροις χρηστέον ἐμοὶ δοκεῖ, ὡς, ἐπειδὰν διόρθωσιν λάβῃ τὰ τῶν φίλων ἤθη, τηνικαῦτα πάντων μεταξὺ τούτων ἁπαξαπλῶς καὶ πραγμάτων καὶ βουλευμάτων καὶ θελημάτων κοινωνίαν εἶναι δεῖν· ὥστε κἂν κατὰ παρίστασίν τινα ξυμβῇ σμικρόν τι τοῦ δικαίου καθυφειμέναις

πειράζεσθαι] Rectius πειρᾶσθαι vd. Lexica.

59 Ἔλεγε γοῦν κτλ.] Aristot. Rhet. II, 21. ὅτι οὐ δεῖ, ὥσπερ φασί, φιλεῖν ὡς μισήσοντα, ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντα. Diog. Laert. I, 87. de Biante: ἔλεγε — καὶ φιλεῖν ὡς μισήσοντας, τοὺς γὰρ πλείστους εἶναι κακούς. Vd. de hoc dicto celebrato Gernh. et Beier. Pro οὐδεμίαν corrige μηδεμίαν ob Infin.

ὑπὸ — ἑπτά] Cicero simpliciter: *A Biante — qui sapiens habitus esset unus e septem.* Sic Plut. Solon. Cap. 12. ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν.

τὴν φιλοτιμίαν νοσοῦντος] *Νοσεῖν* dicitur quidem de hominibus, quorum animus cupiditatibus est perturbatus, sed h. l. simplex Adiectivum φιλότιμος — φιλόδοξος praetulerim.

60 οὗτινος ἂν εἴη] *Cuiuscumque est* Cic., i. e. οὗτινος ἂν ᾖ vel οὗτινός ποτ' ἐστι.

χρῆναι ταῖς τῶν φίλων βουλήσεσιν ἐπικουρεῖν, ὅταν περὶ τῆς
κεφαλῆς ἢ περὶ τῆς ἐπιτιμίας ἀγὼν αὐτοῖς ᾖ, παρεκκλίνειν
τῆς ὁδοῦ προσήκειν· μόνον ἐὰν μὴ ἐσχάτως αἰσχρόν τι ἐντεῦ-
θεν ἀκολουθῇ. ἔστι γὰρ ἣ νέμεσθαί τινα τῇ φιλίᾳ συγγνώμην
ἐνδέχεται. Ἀλλὰ μὴν οὐδὲ τῆς δόξης ὀλιγωρητέον ἐστίν, οὐδὲ
φαύλην ἡγητέον ἀφορμὴν εἰς τῶν πραγμάτων διοίκησιν εἶναι
τὴν τῶν πολιτῶν εὔνοιαν· ἣν θωπείαις καὶ κολακείαις αἰσχρὸν
ἐπισπάσασθαι· πλὴν οὐ παραιτητέον ἐστὶ τὴν ἀρετήν, ἥτις
συμπαρομαρτοῦσαν ἔχει τὴν ἀγάπησιν. Ἐκεῖνος μὲν οὖν (ἤδη 62
γὰρ πρὸς τὸν Σκηπίωνα ἐπανιτέον ἐμοί, οὗ πᾶς ἦν ὑπὲρ τῆς
φιλίας ὁ λόγος) πολλάκις ἐμέμφετο, ὅτι ἐν τοῖς λοιποῖς ἅπασιν
οἱ ἄνθρωποι πλείω ἐπιδείκνυνται τὴν ἐπιμέλειαν. καὶ γὰρ αἶ-
γας ἢ οἶς ὁπόσας κέκτηται, ἕκαστον ἔφασκεν ἔχειν εἰπεῖν·
φίλους δ' αὖ ὁπόσους ἔχοι, λέγειν οὐ δύνασθαι· τοὺς δὲ αὐ-
τοὺς καὶ τῆς ἐκείνων κτήσεως ἐπιμέλειαν ποιεῖσθαι, περὶ δὲ
τὴν τῶν φίλων αἵρεσιν ἀμελεῖς εἶναι· οὐδ' ἔχειν οἱονεὶ σημεῖά
τινα καὶ χαρακτῆρας, δι' ὧν τοὺς πρὸς τὴν φιλίαν ἐπιτηδείους
διαγινώσκωσι. Τοιγαροῦν τοὺς βεβαίους καὶ ἀσφαλεῖς καὶ
εὐσταθεῖς ἐπιλέγεσθαι δεῖ· οἵου δῆτα τοῦ γένους σπάνις ἐστὶ
πολλὴ καὶ ἡ διάκρισις δὲ χαλεπὴ πρὶν ἢ πεῖρᾳ καταμαθεῖν·
οὐκοῦν ἐν αὐτῇ πειρατέον ἐστὶ τῇ φιλίᾳ. Οὕτως ἡ φιλία φθά-
νει τὴν κρίσιν καὶ τῆς πείρας ἐξουσίαν ἀφαιρεῖ. Διὸ φρονί- 63
μου ἔργον ἐστίν, ὥςπερ τὸν δρόμον, οὕτω τῆς φιλίας τὴν ὁρ-
μὴν ἐπέχειν, ἵνα, καθάπερ τοῖς ἵπποις μετὰ τὸ πεῖραν αὐτῶν
λαβεῖν, οὕτω μετὰ τὸ ἀμηγέπη δοκιμάσαι τοὺς τῶν φίλων τρό-
πους ταῖς φιλίαις χρησώμεθα. Ἐνίων μὲν οὐκ ἐν ὀλίγοις ταῖς

Cap. XVII. ὅταν — αὐτοῖς ᾖ] *Caput* i. q. salus statusque omnis civilis non dicitur κεφαλή.

ἣ — ἐνδέχεται] Apud Lucianum (vd. Lex. Lucian. s. v.) συγγνώμην ἀπονέμειν saepius, συγγνώμην νέμειν apud Heliodorum legitur: apud alios scriptores συγγνώμην ἔχειν — ποιεῖσθαι.

καὶ γὰρ αἶγας] Expressa est lectio a Beiero quoque recepta *ca-* 62
pras — dicere posse — non posse dicere: vulgo *ut capras — dicere
posset — non dicere posset* vd. Graev. et Gernh. Cicero ante ocu-
los locum habuit Xenoph. Memor. II, 4, 2 et 4. ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως. καὶ γὰρ οἰκίας καὶ ἀγροὺς καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ σκεύη κτωμένοις τε ἐπιμελῶς ὁρᾶν ἔφη καὶ τὰ ὄντα σώζειν πειρωμένοις, φίλον δέ, ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, ὁρᾶν ἔφη τοὺς πολλοὺς οὔτε ὅπως κτήσονται φροντίζοντας οὔτε ὅπως οἱ ὄντες ἑαυτοῖς σώζονται. —— ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων τὸ πλῆθος εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους ἀνατίθεσθαι.

ὥςπερ τὸν δρόμον] *Ut cursum* expressit Petavius, vulgata optt. 63
Codd. et Edd. est *ut currum* vd. Gernh. Beier. Orell.

χρήμασι πολλάκις τὸ κοῦφον ἐλέγχεται· ἄλλοι δὲ τῶν ἐλαττόνων οὐχ ἡττηθέντες ἐν τοῖς μείζοσι γνωρίζονται. Ἀλλ' ἐάν τινες εὑρεθεῖεν οἱ τὰ χρήματα προτιμᾶν τῆς φιλίας βάναυσον εἶναι νομίζοντες· ποῖ δὴ τοιούτους ἂν εὕροις, οἳ δὴ τιμὰς καὶ ἀρχὰς καὶ ἐπικρατείας ἢ δυναστείας καὶ πλοῦτον περὶ πλείονος ἢ τὴν φιλίαν οὐ ποιήσονται, ὥςτε τούτων ἐκ θατέρας εἰς μέσον προτεθέντων, ἐκ δὲ θατέρας προκειμένων τῶν τῆς φιλίας δικαίων, οὐκ ἐκεῖνα πολλῷ μᾶλλον αἱρεῖσθαι; Ἀσθενὴς γὰρ ἡ φύσις ἐστὶν ἡμῶν πρὸς τὸ τῆς δυνάμεως καταφρονεῖν· ἧς κἂν τῆς φιλίας ὀλιγωρήσαντες ἐπέτυχον, συγκρύψαι ἂν καὶ συσκιάσαι τὸ δρώμενον ὑπολαμβάνουσι τῷ οὐκ ἐπὶ τῇ τυχούσῃ
64 *αἰτίᾳ τῆς φιλίας ἀμελῆσαι δοκεῖν. Ταύτῃ τοι αἱ ἀληθιναὶ φιλίαι ἐν τοῖς τῶν ἀρχῶν ἐφιεμένοις καὶ πολιτευομένοις μόλις εὑρίσκονται. Ἔστι γὰρ ὅπῃ τοῦτον ἂν εὕροις, ὃς τὴν ἑαυτοῦ τιμὴν ὑστέραν ἄγοι τῆς τοῦ φίλου τιμῆς; Τί δέ; ἵνα τοῦτο παραλείποιμι, πῶς οἴει δειναί, πῶς ἀφόρητοι δοκοῦσι πολλοῖς αἱ τῶν συμφορῶν κοινωνίαι; πρὸς ἃς δυςεύρετοί εἰσιν οἱ συγκαταβαίνειν ἐθέλοντες. Καίτοι ὀρθῶς εἴρηται τοῦτο τῷ Ἐννίῳ·*

Φίλος βέβαιος ἐν ἀβεβαίοις φαίνεται.

Ἀλλ' ὅμως δύο ταῦτα τὴν πολλῶν κουφότητα καὶ ἀσθένειαν ἐξελέγχουσιν, ὅταν ἢ ἐν ταῖς εὐημερίαις ὑπερορῶσιν ἢ ἐν ταῖς ἀτυχίαις καταλείπωσιν.

XVIII. *Ὅςτις οὖν κατ' ἄμφω ἐμβριθῇ καὶ πάγιον καὶ μόνιμον ἐν τῇ φιλίᾳ ἑαυτὸν παρέχοι, τοῦτον ἄντικρυς τῷ σπανιωτάτῳ καὶ μονονουχὶ θείῳ γένει τῶν ἀνθρώπων ἐγκριτέον ἐστί.*
65 *Τὸ δὲ στήριγμα τῆς εὐσταθείας καὶ ἀσφαλείας, ἣν ἐν τῇ φιλίᾳ ποθοῦμεν, ἡ πίστις ἐστίν. οὐδὲν γὰρ μόνιμον, ὅ, τι ἄπιστον ἂν εἴη. πρὸς δὲ δὴ τούτοις καὶ ἁπλοϊκὸν καὶ κοινὸν ὁμογνώμονά τε καὶ ὑπὸ τῶν αὐτῶν ἀγόμενον εἰκὸς αἱρεῖσθαι· ὃ πρὸς*

Ἀλλ' ἐάν τινες — εὕροις] Pro *ἐάν* pone *εἰ* et *ποῦ* pro *ποῖ*. Verba Ciceronis *Sin erunt aliqui reperti — ubi eos inveniemus* rectius ita interpreteris: *Ἀλλ' ἐάν τινες εὑρεθῶσι — ποῦ δὴ τοιούτους εὑρήσομεν.*

ὥςτε — οὐκ ἐκεῖνα] Corrige *ὥςτε — μὴ ἐκεῖνα.*

ἧς — δοκεῖν] Corrige *κἂν ἐπιτύχωσι — τῷ μὴ ἀμελῆσαι δοκεῖν*: recte expressa est lectio *obscuratum iri* per *συγκρύψαι καὶ συσκιάσαι* (de qua vd. Gernh. et Beier.), quanquam alterutro tantum verbo opus erat.

64 *ἐν τοῖς τῶν ἀρχῶν ἐφιεμένοις*] *In honoribus versari* i. q. *τιμὰς ἔχειν — ἀρχὰς μεταχειρίζεσθαι.*

ἵνα τοῦτο παραλείποιμι] *Haec ut omittam*, i. e. *ἵνα τοῦτο παραλείπω.*

Ἐννίῳ] Conf. sent. Eur. Hec. 1226. Pflugk. *ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι φίλοι.*

65 Cap. XVIII. *ὁμογνώμονά — ἀγόμενον*] Beierus *consentire* interpretatur *ὁμοδοξεῖν*, qua eadem notione Aristot. Ethic. ad Nic.

πεισμένος καί τι καὶ ὑπὲρ ἐκεῖνον αὐτὸν ἐθρασυνάμην, ὃν ἔφθην εἰπών. Ὁ μὲν γὰρ Κάτων περὶ τῆς μεγαλοψυχίας καὶ ἐγκρατείας, περί τε θανάτου καὶ παντοίου τῆς ἀρετῆς ἐπαίνου, περὶ θεῶν τ' αὖ καὶ περὶ τῆς εἰς τὴν πατρίδα στοργῆς εὖ μάλα Στωϊκῶς καὶ ῥητορικῆς δίχα φιλοκαλίας εἴωθε διαλέγεσθαι. Ἐγὼ δὲ ἅπερ κἂν τοῖς γυμνασίοις καὶ ἐν σχολῇ μόλις ἀποδέχονται οἱ Στωϊκοί, αὐτὰ ταῦτά σοι οἱονεὶ παίζων εἰς κοινοὺς τόπους φέρων συνεσκεύασα, 4 ἃ καὶ διὰ τὸ θαυμάσια εἶναι καὶ παρὰ τὴν τῶν πολλῶν δόξαν κἀκείνοις ὀνομάζειν π α ρ ά δ ο ξ α νομίζεται. Οὐκοῦν πεῖραν ἐνταῦθα λαβεῖν ἐβουλήθην, πότερον εἰς φῶς τὰ τοιαῦτα οἷόν τέ ἐστιν εἰσάγειν, τουτέστιν εἰς ἀγορὰν καὶ οὕτως ἀπαγγέλλεσθαι, ὡς εὐδοκιμεῖν, ἢ εἰ μὴ τοῦτο, πότερον ἄλλο τί ἐστιν ὁ παιδείας γέμων, καὶ ἄλλος δημώδης ὁ λόγος. καὶ παρὰ τοῦτο δὲ

βῶν προθυμότερον διὰ τοῦτο καὶ θαῤῥαλεώτερον ἢ αὐτὸς ἐκεῖνος ὁ Κάτων, οὗ πέρι τάδε φημί, ἐποίησα. Κάτων μὲν γὰρ μόνον περὶ μεγαλοψυχίας, περὶ ἐγκρατείας, περὶ θανάτου, περὶ ἀρετῆς κάλλους, περὶ θεῶν ἀθανάτων, περὶ τῆς πρὸς τὴν πατρίδα φιλίας τὸν Στωϊκὸν τρόπον ἄνευ ῥητορικοῦ κόσμου εἴωθε διαλέγεσθαι. Ἐγὼ δέ σοι, ἃ μόγις οἱ Στωϊκοὶ πολλῆς σχολῆς τυγχάνοντες ἐν τῇ διατριβῇ πιθανῶς κατασκευάζουσιν, οἷον παίζων εἰς τόπους κοινοὺς συντέθεικα. ἅτινα θαυμάσια ὄντα καὶ πᾶσιν ἀπίθανα ἀπὸ ἐκείνων δῆθα καὶ π α ρ ά δ υ ξ α ὀνομάζεται· πειρᾶσθαι ἠθέλησα, εἰ δυνηθείη εἴς τε τὸ φῶς προάγεσθαι, τοῦτό ἐστιν εἰς τὸ δικαστήριον, καὶ οὕτω ῥηθῆναι, ὥστε προςίεσθαι παρὰ πάντων καὶ εὐδοκιμεῖν· ἢ τάχα ἄλλος εἴη λόγος ὁ φιλόσοφος, ἄλλος ὁ δημοτικός.

ἐκλάμπῃ καὶ οἱονεὶ θεραπεύηται. Blumius Anleit. p. 167. commendat structuram *οὐδὲν — οὕτως — ὥςτε μή*, idemque recte *horridum τραχύ*, convenientius quam Petav. *ἀκαλλές* et Turn. *κατεσκληκός*.

καὶ — ἐθρασυνάμην] Cic. *feci etiam audacius, quam ille ipse.* Recte Turnebus: *προθυμότερον — καὶ θαῤῥαλεώτερον ἢ αὐτὸς ἐκεῖνος — ἐποίησα*; nam *θρασύνεσθαι ὑπέρ τινα* dici nequit pro: *audacius facere quam aliquem.* Infra *nullis* ante *oratoriis* a P. et T. male expressum.

ἃ καὶ — νομίζεται. Οὐκοῦν] Petavius sequitur lect. *Quae — appellantur. Ac tentare* — Turnebus coniunctionem omittit. Recte distinguitur commate post *appellantur* omissa coniunctione, ut ab Gernh. et Orell. Petavius rectius *καὶ παρὰ τὴν τῶν πολλῶν δόξαν*, i. e. *contraque opinionem omnium*, quam Turnebus: *καὶ πᾶσιν ἀπίθανα.* 4

τουτέστιν εἰς ἀγοράν] *Id est in forum*, Turn. minus recte *τοῦτό ἐστιν εἰς τὸ δικαστήριον*: quae verba merito Orellius uncis liberavit.

δημώδης ὁ λόγος] Est *popularis oratio*, non *δημοτικός*, ut est apud Turnebum.

κην τὴν πολυετίαν φέροντος ἥδισται ὀφείλουσιν εἶναι. κἀκεῖνο
δ᾽ ἀληθές ἐστι τὸ τεθρυλλημένον, πολλοὺς τῶν ἁλῶν μεδί-
μνους συμφαγεῖν δεῖν, ἵνα τὸ τῆς φιλίας καθῆκον ἐκπληρωθῇ.
68 Τὰς δὲ καινότητας, ἐὰν ἐλπίδα παρέχωσιν, ὥςθ᾽ οἷον ἐν οὐ
ψευδομένῃ πόᾳ τὸν καρπὸν ὑποφαίνειν, οὐδ᾽ αὐτὰς ἀποδιο-
πομπήσασθαι δεῖ· τὴν μέντοι ἀρχαιότητα κατὰ χώραν ἐατέον.
πλείστη γὰρ ὅση δύναμις ἔνεστι τῇ τε ἀρχαιότητι καὶ τῇ συν-
ηθείᾳ. Καὶ ἐν αὐτῷ δὲ τῷ ἵππῳ, οὗ πέρι ἄρτι μνήμην ἐποιη-
σάμην, ἣν μή τι ἐμποδὼν ᾖ, οὐκ ἔστιν ὅςτις τῷ εἰθισμένῳ
ἥδιον ἂν χρῷτο ἢ τῷ οὔπω ὑπὸ χεῖρας ἐλθόντι καὶ καινῷ.
Καὶ οὐκ ἐν τούτῳ μόνον, ὅπερ ἔμψυχόν ἐστιν, ἀλλὰ καὶ ἐν
τοῖς ἀψύχοις ἡ συνήθεια ἰσχὺν ἔχει· ἐπεὶ δὲ τοῖς ὀρεινοῖς χαί-
69 ρομεν καὶ ὑλώδεσι τόποις, οἷς ἐπὶ πολὺ ἐνδιετρίψαμεν. Ἀλλὰ
μέγιστον δὴ τοῦτο κατὰ τὴν φιλίαν ἐστὶ τὸ τὸν κρείττονα τῷ
ἥττονι ἐξισοῦσθαι. πολλάκις γὰρ ὑπεροχαί τινες ὑπάρχουσιν,
οἷα τοῦ Σκηπίωνος ἐν ἡμετέρᾳ ἦν, ἵνα εἴπω οὕτως, ἀγέλῃ.
Οὐ μέντοι αὐτὸς οὔτε τοῦ Φίλου οὔτε τοῦ Ῥουπιλίου οὔτε
τοῦ Μουμμίου οὔτε τῶν τῆς ἐλάττονος τάξεως φίλων προὐτί-
μησεν ἑαυτόν· Κόϊντον δὲ Μάξιμον τὸν ἀδελφόν, ἄνδρα ἄλ-
λως μὲν ἄριστον, οὐ μὴν πρὸς ἑαυτόν, ὡς προὔχοντα,
καθότι ἐπροτέρει τῇ ἡλικίᾳ, ἐθεράπευεν· τοὺς δ᾽ αὖ οἰκείους
ἅπαντας ἀμείνω δι᾽ ἑαυτοῦ δύνασθαι πράττειν πάντως ἠβού-
70 λετο. Ὃ καὶ πᾶσι δραστέον καὶ μιμητέον ἐστίν, ὅπως, ἐὰν
ἐξοχήν τινα τῆς ἀρετῆς ἢ ἀγχινοίας ἢ τύχης κτῷντο, ταύ-
της μεταδῶσι τοῖς φίλοις καὶ τοῖς πλησίον κοινώσωνται· οἷον
εἰ ἐξ ἀδόξων ἔφυσαν γονέων, εἴτε συγγενεῖς ἔχουσι κατὰ τὴν
γνώμην ἢ κατὰ τὴν τύχην ἀσθενεστέρους, τούτων ἐπαύξωσι
τὰς ἀφορμὰς καὶ τιμῆς αὐτοῖς καὶ ἀξιώματος εἰς προσθήκην
γένωνται· καθάπερ ἐν τοῖς δράμασιν οἱ διὰ τὴν γένους ἄγνοιαν
ἐν δουλείᾳ χρόνον τινὰ ζήσαντες ἐπειδὰν ἀναγνωρισθῶσι, καὶ

---

debent suavissimae, quod expressit Petavius. Quum Codd. *Veterrima quaeque — esse debent suavissima* exhibeant, Beierus ita lect. constituit: *Veterruma quaeque* — [*debe*[*n*]*t esse*] *suavissima*, ut numero singulari de amicitia intelligatur. Orell. retinuit lect. Codd. *Veterrima quaeque — esse debent suavissima*, quem vd.

κἀκεῖνο δ᾽ ἀληθές ἐστι κτλ.] Plutarch. de multit. amicor. Vol. VII. p. 290 Hutt. *τὸν θρυλλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδιμνον.* Aristot. Ethic. ad Nic. VIII, 4. *κατὰ τὴν παροιμίαν οὐκ ἔστιν εἰδῆσαι ἀλλήλους πρὶν τοὺς λεγομένους ἅλας συναναλῶσαι.*

69 *ὑπεροχαί*] *Excellentiae*, quo vocabulo usus est Aristot. Ethic. Nic. VIII, 15.

τοὺς — ἠβούλετο] *Suosque omnes per se esse posse ampliores volebat* Cic., *posse* omissum in uno Cod. Manut. eiecerunt Victor. Graev. Gernh. Beier. Orell.; Beier. praeterea *esse* uncis circumsepsit.

θεῶν ἢ βασιλέων παῖδες ὄντες εὑρεθῶσι, τὴν αὐτὴν ὅμως ἔχοντες διατελοῦσι στοργὴν πρὸς τοὺς νομεῖς ἐκείνους, οὓς σφῶν εἶναι πατέρας πολλὰ τὰ ἔτη ἐνόμισαν. Ὅπερ δηλαδὴ πολλῷ μᾶλλον εἰς τοὺς γνησίους καὶ ἀναμφηρίστους πατέρας ἐπιδεικτέον ἐστί. Καὶ γὰρ ἥτις ἐστὶ νοῦ καὶ ἀρετῆς καὶ παντὸς ἄλλου πλεονεκτήματος ὄνησις, αὕτη τότε μάλιστα συλλέγεται, ὁπηνίκα εἰς τοὺς ἐγγυτάτω διαδίδοται.

XX. Τοιγαροῦν ὥςπερ ἐν τῇ φιλίᾳ τῇ τε οἰκειότητος 71
συναφείᾳ τοὺς ὄντας κρείττους τοῖς ὑποδεεστέροις συγκαταβαίνειν προςήκει· οὕτω καὶ τοὺς ὑποδεεστέρους ἀθυμεῖν ἥκιστα χρή, ὅταν ὑπὸ τῶν φίλων εἴτε τῇ τοῦ νοῦ ὀξύτητι εἴτε τῇ εὐτυχίᾳ εἴτε τῷ ἀξιώματι παρευδοκιμοῦνται. Ὧν οἱ πλεῖστοι ἢ μεμψιμοιροῦσιν ἀεί τι ἢ καὶ ὀνειδίζουσιν· τηνικαῦτα δὲ μᾶλλον, ὅταν θεραπευτικῶς ἢ εὐνοϊκῶς ἢ καὶ μετὰ τοῦ ἰδίου πόνου προϋπηργμένον τι ἀφ' ἑαυτῶν εἰπεῖν δύνωνται. Μίσους μὲν οὖν ἄξιόν ἐστι τουτὶ τὸ γένος ἀνθρώπων, οἳ τὰς εὐεργεσίας ὀνειδίζουσιν· ὧν μεμνῆσθαι μὲν πάντως τὸν λαβόντα δεῖ, τὸν δ' αὖ δεδωκότα οὐδαμῶς ἀπομνημονεύειν.
Οὐκοῦν ὥςπερ οἱ κρείττους ὑποστέλλειν ἐν φιλίᾳ ἑαυτοὺς ὀφεί- 72
λουσιν· οὕτως ἐξαίρειν πως τοὺς καταδεεστέρους. Εἰσὶ γάρ τινες οἱ τὰς φιλίας ἐπαχθεῖς ποιοῦντες, ὅταν καταφρονεῖσθαι ὑπολαμβάνωσιν. Ὃ δὴ μόνοις ἐπιεικῶς συμβαίνει τοῖς καὶ εὐκαταφρονήτους ἑαυτοὺς κρίνουσιν· οἷς τοιαύτην ὅμως τὴν δόξαν καὶ λόγοις καὶ ἔργοις ἀφαιρετέον ἐστί. Τοσοῦτον δὲ νεμη- 73
τέον ἑκάστῳ, πρῶτον μὲν ὅσον ἐπιτελέσαι αὐτὸς ἂν ἔχοις· ἔπειτα δέ, ὅσον στέγειν ἐκεῖνος δύναται, ὃν ἂν φιλεῖν καὶ ᾧ συμπράττειν ἀξιώσῃς. Οὐ γὰρ οἷός τε ἂν εἴης, καίτοι καθ' ὑπερβολὴν δυνατὸς ὤν, πάντας τοὺς οἰκείους εἰς τὰς ἀνωτάτω προάγειν τιμάς· καθάπερ ὁ Σκηπίων Πόπλιον μὲν τὸν Ῥουπίλιον ἠδυνήθη ὕπατον ἀποδεῖξαι, Λεύκιον δὲ τὸν ἐκείνου ἀδελφὸν οὐκ ἠδυνήθη. Ἀλλ' εἰ καὶ πάντως ὁτιοῦν ἐξανύσαι δύναιο χαριζόμενος ἑτέρῳ· σκεπτέον ὅμως εἴη, τί βαστάζειν
οὗτος αὐτὸς ἂν δύναιτο. Καθόλου δὲ μετὰ τὸ ῥωσθῆναι καὶ 74

ἐὰν — κτῶντο] Corrige κτῶνται, vel rectius κτήσωνται, *si — consecuti sunt.* 70

πολλὰ τὰ ἔτη] Articulus erat omittendus.

Cap. XX. ὅταν — παρευδοκιμοῦνται] Corr. παρευδοκιμῶνται. 71

Μίσους — ἐστι κτλ.] Plutarch. de discr. adul. et amic. cp. XXII. Πᾶσα ὀνειδιζομένη χάρις ἐπαχθὴς καὶ ἄχαρις καὶ οὐκ ἀνεκτή. Demosth. de Cor. p. 316. Reisk. νομίζω, τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δ' εὖ ποιήσοντα εὐθὺς ἐπιλελῆσθαι αὐτῶν, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἄνθρωπον. Τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν.

στέγειν] I. q. *sustinere* apud scriptores posteriores. Infra βα- 73
στάζειν scriptum est.

κρατυνθῆναι τάς τε γνώμας καὶ τὰς ἡλικίας τὰς φιλίας ἀνα-
κρίνειν εὔλογόν ἐστιν· οὐδ᾽ εἴ τινες κατὰ πρώτην τὴν ἡλικίαν
περὶ τὴν κυνηγεσίαν ἢ τὴν σφαίρισιν ἐσπουδακότες ἦσαν, ἀκό-
λουθόν ἐστι τοὺς τῶν αὐτῶν συνερασθέντας τότε τοῖς οἰκείοις
ἐγκρίνειν. οὕτω γὰρ κἂν αἱ τροφοὶ καὶ οἱ παιδαγωγοὶ τὸ πλεῖ-
στον ἂν τῆς εὐνοίας ἀπαιτήσειαν· ὧν ἀμελητέον μὲν οὐχί,
ἀλλ᾽ ἕτερόν τινα τρόπον εἰκός ἐστι θεραπεύειν. Οὐ γὰρ ἄλλως
ἐνδέχεται βεβαίους τὰς φιλίας διαμένειν. Ἐπειδὴ τοῖς ἀνο-
μοίοις ἤθεσιν ἀνόμοια καὶ τὰ ἐπιτηδεύματα παρακολουθεῖ, ὧν
αἱ διαφωνίαι τὰς φιλίας διέστησαν· καὶ οὐκ αἰτία τίς ἐστιν
ἑτέρα, δι᾽ ἣν οὔτε οἱ ἀγαθοὶ τοῖς πονηροῖς οὔτε οἱ πονηροὶ
τοῖς ἀγαθοῖς εἰς φιλίαν συνελθεῖν δύνανται, πλὴν ὅτι τοσαύτη
μεταξὺ τούτων, ὅσην ἐνδέχεται μεγίστην εἶναι, τῶν τρόπων
75 *τε καὶ ἐπιτηδευμάτων ἐστὶν ἡ διαφορά. Ὀρθῶς δὲ καὶ τοῦτο*
παραγγέλλοι τις ἂν ἐπὶ τῶν φιλιῶν, ὅπως μήτις ἀκράτῳ τῇ εὐ-
νοίᾳ φερόμενος, ὃ πολλάκις γίνεται, τὰς μεγίστας ὠφελείας
ἐμποδίζῃ τῶν φίλων. Καὶ γὰρ οὐδὲ τὴν Τροίαν ἐξεῖλεν ἂν ὁ
Νεοπτόλεμος, ἵνα πρὸς τοὺς μύθους ἐπανέλθω, εἰ τοῦ Λυκο-
μήδους, παρ᾽ ᾧ ἐτρέφετο, πολλοῖς σὺν δάκρυσι κωλύοντος
ἀποχωρεῖν ἀκούειν ἤθελε. Καὶ πολλάκις δὲ οὐ τὰ τυχόντα
περιπίπτει πράγματα, ἃ χωρίζεσθαι τῶν φίλων ἀναγκάζει· οἷς
ὁ ἐμποδὼν ἀξιῶν στῆναι, ὡς ἀπόντος τὸν πόθον οὐ φέρων,
οὗτος πολλὴν ἀσθένειαν καὶ μαλακίαν ὀφλισκάνει τῆς φύσεως,
76 *καὶ διὰ τοῦτο οὐκ ἄγαν ἐν τῇ φιλίᾳ δίκαιος εἶναι δοκεῖ. Ἓν*
μὲν οὖν ἁπανταχοῦ δεῖ τοῦτο σκοπεῖν, ὅ,τι τ᾽ ἂν αἰτήσῃς
παρὰ τοῦ φίλου καὶ ὅ,τι ἂν αἰτοῦντι χαρίζεσθαι οὐκ ἀπαξιώ-
σῃς αὐτῷ.

XXI. *Καὶ ἐν τῇ διαλύσει δὲ τῶν φιλιῶν ἐπιφύεταί τις*
ἔστιν ὅτε ἀναγκαία συμφορά· ἤδη γὰρ τὰς τῶν σοφῶν οἰκειό-
τητας ἀφεὶς ὁ λόγος εἰς τὰς δημώδεις φιλίας μεταπίπτει. Αἱ
τῶν φίλων κακίαι πολλάκις ἐκρήγνυνται ποτὲ μὲν εἰς τοὺς
αὐτῶν φίλους, ποτὲ δ᾽ εἰς ἀλλοτρίους, ἀλλ᾽ ὥστε τὸ ἐκ τού-

ἢ τὴν σφαιρίσιν ἐσπουδακότες] Plut. de mult. amic. Vol. VII. p. 290. Hutt. *συσφαιρίσαντες* dicuntur.

οὕτω γὰρ κἂν — ἀπαιτήσειαν] *κἂν* erat omittendum: *postulabunt* i. q. *ἀπαιτήσουσι.*

ὧν — θεραπεύειν] Expressum est glossema *colendi*, iure eiectum ab Aldo, Graevio, Gernhardo, Beiero, Orell.

Οὐ γὰρ ἄλλως] *Enim* plerique Codd. et Edd. omittunt.

75 *ὅπως — φερόμενος*] Petavius secutus est lect. *ne quis intemperata quadam benevolentia*; nec recte *τῇ* pro *τινὶ* posuit: optt. Edd. *ne intemperata quaedam benevolentia.*

παρ᾽ ᾧ ἐτρέφετο] *Apud quem erat educatus*, i. e. *ἐτέθραπτο.*

ὡς — φέρων] Cicero: *quod desiderium non facile ferat*, i. e. *ὡς τὸν πόθον οὐ ῥᾳδίως φέρων.*

76 Cap. XXI. *ἐκρήγνυνται — ἀπερείδεσθαι*] Pro *ἐκρήγνυσθαι erumpere* h. l. convenientius mihi videtur *φανερὸν γίγνεσθαι — φαίνε-*

των ὄνειδος εἰς τοὺς φίλους ἀπερείδεσθαι. Οὐκοῦν τὰς τοιαύ-
τας φιλίας τῇ κατ᾽ ὀλίγον ὑφαιρέσει τῆς συνηθείας ἀνεῖναι δεῖ·
καὶ (ὥςπερ λέγοντος ἤκουσα τοῦ Κάτωνος) ἠρέμα δεῖ μᾶλλον ἢ
ἀθρόως διαιρεῖν· εἰ μή που τάχα ἀφόρητός τις οὕτως ὕβρις
ἀναφλεχθῇ, ὡς μήτε ὀρθῶς μήτε καλῶς ἔχειν μήθ᾽ ὅλως
δυνατὸν εἶναι τὸ μὴ οὐχὶ τὴν ἀλλοτρίωσιν καὶ διάζευξιν παραυ-
τίκα γενέσθαι. Ἐπειδὰν δὲ τῶν τρόπων καὶ τῶν ἐπιτηδευμά- 77
των μεταλλαγή τις, οἷα γενέσθαι φιλεῖ, προςπέσῃ, εἴτε στά-
σις καὶ διχόνοια τῶν ἐν τῇ πολιτείᾳ μερῶν (περὶ γὰρ τῶν κοι-
νῶν φιλιῶν, οὐ τῶν τοῖς σοφοῖς πρὸς ἀλλήλδυς συνισταμένων,
ὡς ἔφθην εἰπών, ἅπας τονῦν λόγος ἐστὶν ἐμοί)· φυλακτέον
ἂν εἴη τοῦτο, μὴ οὐ μόνον ἀπειπεῖν τὰς φιλίας, ἀλλὰ καὶ τὰς
ἔχθρας δοκῶμεν ἀνειπεῖν. Οὐδὲν γὰρ αἴσχιον ἢ ᾧπερ οἰκείως
σὺ ξυνεβίως πρώην, πρὸς τοῦτον ἐκπεπολεμῶσθαι. Τῆς τοῦ
Κοΐντου Πομπηΐου φιλίας ὁ Σκηπίων, ὥςπερ ἴστε, ἀφειστή-
κει δι᾽ ἐμέ· διὰ δὲ τὴν ἐν πολιτείᾳ διαφορὰν Μετέλλου τοῦ
ἡμῶν ἑταίρου. καὶ δὴ ἄμφω ταῦτα σεμνοπρεπῶς καὶ μετὰ
τῆς αὐθεντίας, ἄνευ δὲ πικρίας καὶ ἀπεχθείας ἔπραξεν. Οὐκ- 78
οῦν τοῦτο πρῶτον σπουδαστέον, ὅπως μὴ διαστάσεις τῶν φί-
λων γένωνται· ἐὰν δέ τι συμβαίνῃ τοιοῦτον, ὅπως ἀποσβε-
σθῆναι μᾶλλον ἢ καταχωσθῆναι δοκῶσιν αἱ φιλίαι. Πρὸς
δὲ τούτοις εὐλαβητέον ἐστί, μὴ εἰς δεινάς ποτε δυςμενείας αἱ
φιλίαι περιτρέπωνται· ὅθεν ἔριδες καὶ βλασφημίαι καὶ παροι-
νίαι φύονται· ἅςπερ, ἐὰν ἀνεκταὶ ὦσι, πάντως οἰστέον, καὶ

σθαι — ἐκφαίνεσθαι: pro ἀπερείδεσθαι posuerim τρέπεσθαι ob verba Ciceronis: *quorum tamen ad amicos redundet infamia.*

Οὐκοῦν — δεῖ] Expressa est lectio deterior *elevandae*, cui praeferenda *eluendae*; de his aliisque lectt. vd. Gernh. et Beier., qui de lect. *eluendae* haec annotavit: „Quae si vera lectio est, Cicero in tralato verbi usu aemulatus est Isocratem in Or. ad Demon. c. 1. §. 3. f. τὰς τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν."

ἠρέμα — διαιρεῖν] *Dissuendae magis quam discindendae* non recte interpretatus est Petavius. *Dissuere* i. q. διαλύειν, *discindere* i. q. διαῤῥηγνύναι — διατέμνειν — διακόπτειν.

εἰ μὴ — ἀναφλεχθῇ] De part. εἰ cum Coniunctivo vd. ad Somn. cp. 23.

καὶ — εἴτε] *Aut studiorum — aut* i. e. ἢ τῶν ἐπιτηδευμάτων — ἤ.
εἴτε — μερῶν] *Aut in reipublicae partibus dissensio* non accu- 77
rate sunt reddita: equidem in Graecum converterim ἡ διχόνοια τῶν ἐν τῇ πόλει στάσεων.

μὴ — ἀπειπεῖν] Non recte verba Ciceronis reddita sunt: *ne non solum amicitiae depositae, sed inimicitiae susceptae videantur. Amicitiam deponere* i. q. τὴν φιλίαν ἀποτίθεσθαι — διαλύεσθαι; *inimicitiam suscipere* τὴν ἔχθραν αἱρεῖσθαι.

πρώην] De suo addidit Petavius.

πρὸς τοῦτον ἐκπεπολεμῶσθαι] De hac locutione Herodotea non debebat dubium movere Schweighaeus. Lex. Herod. P. I. p. 200.

ταύτην χρὴ τῇ παλαιᾷ φιλίᾳ νέμειν τὴν αἰδῶ, ὡς μὴ τὸν ἀδι-
κούμενον, ἀλλὰ τὸν ἀδικοῦντα αἰτίαν ὑπέχειν. Ὅλως δὲ πρὸς
πάντα τὰ τοιαῦτα κακὰ καὶ ἀτοπήματα μία ἐστὶν αὕτη προ-
φυλακὴ καὶ προμήθεια τὸ μὴ προπετῶς ἄρχεσθαι φιλεῖν
79 μήτε τοὺς ἀναξίους. Ἄξιοι δὲ τῆς φιλίας εἰσίν, οἷς ἔνεστιν
αὐτοῖς αἰτία τις, δι᾽ ἣν φιληθεῖεν ἄν. Τὸ δὲ γένος τουτὶ σπά-
νιόν ἐστι· καὶ δὴ σπάνια πάντα τὰ ὑπερφυῆ· καὶ οὐδέν ἐστι
χαλεπώτερον ἢ εὑρεῖν, ὃ ἐκ παντὸς κατὰ τὸ ἑαυτοῦ γένος τέ-
λειον ἂν ᾖ. Ἀλλ᾽ οἱ πλεῖστοι ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν
ἀγαθὸν οἴδασιν οὐδὲν εἰ μὴ τὸ ἐπωφελὲς ὄν· καὶ φίλους οἱο-
νεὶ θρέμματα τοὺς τοιούτους ἀγαπῶσι μάλιστα, ἐξ ὧν πλεῖ-
80 στον ἂν δρέψασθαι τὸν καρπὸν ἐλπίζουσιν. Οὕτω δὲ τῆς καλ-
λίστης καὶ τῇ φύσει οἰκειοτάτης ἀμοιροῦσι φιλίας, ἣν καθ᾽ ἑαυ-
τὴν καὶ δι᾽ ἑαυτὴν αἱροῦνται· οὔτε παράδειγμα αὐτοὶ ἑαυτοῖς
ὑπόκεινται, οἵα τε καὶ ὅση ἡ τῆς φιλίας αὕτη δύναμις ὑπάρχει.
Πᾶς γάρ τις ἑαυτὸν ἀγαπᾷ, οὐχ ἵνα μισθόν τινα τῆς ἀγαπή-
σεως ταύτης αὑτὸν εἰςπράττῃ, ἀλλ᾽ ὅτι ἕκαστος αὑτῷ καθ᾽ ἑαυ-
τὸν ἀγαπητός ἐστιν. Ὅπερ ἐὰν μὴ εἰς τὴν φιλίαν μετενεχθῇ,
ἀληθὴς φίλος οὐκ ἂν εὑρεθείη ποτέ. τοιοῦτον δὲ λέγω, ὃς οἷον
81 ἕτερος ὁ αὐτός ἐστι. Εἰ δὲ ἐν τοῖς κτήνεσι τοῦτο καὶ τοῖς πτη-
νοῖς καὶ τοῖς νηκτοῖς καὶ ἀγρίοις τιθασσοῖς τε καὶ ἀνημέροις
φαίνεται, πρῶτον μὲν ὅπως ἀγαπῶσιν ἑαυτά (τοῦτο γὰρ ὁμοίως
τοῖς ζώοις ἅπασι συμφύεται)· ἔπειτα δ᾽ ὅπως ζητοῦσι καὶ ἐφίεν-
ται τῶν ὁμογενῶν, ἵν᾽ αὐτοῖς συναθροισθῶσι· καὶ τοῦτο
μετ᾽ ἐπιθυμίας ποιοῦνται καὶ κατὰ μίμησίν τινα τῆς ἀνθρω-
πίνης ἀγαπήσεως· πόσῳ μᾶλλον φύσει τοῦτο ἐν ἀνθρώπῳ γί-
νεται, ὃς καὶ ἑαυτὸν φιλεῖ καὶ τὸν ἕτερον προςκτᾶται, οὗ
τὴν ψυχὴν οὕτω τῇ ἑαυτοῦ συνανακιρνᾷ ψυχῇ, ὡς μονονουχὶ
μίαν ἐξ ἀμφοῖν ἀπεργάζεσθαι.

---

79 καὶ — ὑπερφυῆ] *Praeclarus* non est ὑπερφυής, sed ἐπίσημος — ἐξαίρετος — ὑπερβάλλων.

οἴδασιν] Ἴσασιν Atticorum est; vd. de hac forma supra ad cp. 2.

δρέψασθαι τὸν καρπόν] Δρέπω et δρέπομαι poetis in usu, imprimis Pindaro: ut σοφίας καρπὸν δρέπειν Fragm. 227. vd. Ind. Vocab. in Edit. Boeckh. Tom. II. P. II. s. v. Apud scriptores prosaicos *fructum capere* i. q. καρπὸν κομίζεσθαι — λαμβάνειν — ἀπολαμβάνειν.

80 ὃς — ἐστι] Aristot. Ethic. ad Nicom. IX, 4. ἔστι γὰρ ὁ φίλος ἄλλος αὐτός. Ibid. IX, 9. ἕτερος γὰρ αὐτὸς ὁ φίλος ἐστί. Philon. Iud. fragm. T. II. p. 658. τὸ Πυθαγόρειον ῥῆμα, ὅτι ἄρα ἐστὶ φίλος ἕτερος ἐγώ.

81 ἵν᾽ αὐτοῖς συναθροισθῶσι] *Se applicare ad aliquem* apud Cicer. i. q. Προςτίθεσθαι — πλησιάζειν τινί — ἔχεσθαί τινος.

καὶ τὸν ἕτερον προςκτᾶται] *Et alterum acquirit*, quae lectio posthabenda alteri *anquirit* in optt. Edd. receptae. *Anquirere* i. q. ἀναζητεῖν — ἐρευνᾶν — διεξερευνᾶσθαι.

XXII. Ἀλλ᾽ οἱ πολλοὶ διεστραμμένως, ἵνα μὴ ἀναιδῶς 82
εἴπω, τοιοῦτον ἔχειν φίλον ἐθέλουσιν, ὁποίους παρέχειν ἑαυτοὺς οὐ δύνανται· καὶ ἃ τοῖς φίλοις οὐ νέμουσιν αὐτοί, παρ᾽ ἐκείνων λαβεῖν ἀξιοῦσιν. Εἰκὸς δὲ τοῦτο δῆθέν ἐστι τὸ καλοκάγαθὸν εἶναι αὐτὸν ἄνδρα πρῶτον, εἶτα δ᾽ ἕτερόν τινα ὅμοιον ἑαυτῷ ζητεῖν. Ἐν γὰρ τοῖς οὕτως ἔχουσιν ἐκεῖνο δή, ὃ πάλαι γυμνάζομεν, τὸ μόνιμον τῆς φιλίας συγκρατεῖσθαι δύναται, ὅταν ἄνθρωποι τῇ εὐνοίᾳ πρὸς ἀλλήλους συνημμένοι πρῶτον μὲν τῶν ἐπιθυμιῶν ἄρξουσιν, αἷς δουλεύουσιν οἱ λοιποί· ἔπειτα δὲ τῇ ἐπιεικείᾳ καὶ δικαιοσύνῃ χαρήσονται καὶ πάντα δ᾽ ὑπὲρ ἑτέρου ὁ ἕτερος ἀναδέξεται καὶ οὐδὲν οὐδέποτε εἰ μὴ καλῶς ἔχον καὶ ὀρθῶς παρὰ θατέρου ἅτερος αἰτήσεται, οὐ μόνον δὲ θεραπεύσουσι καὶ φιλήσουσιν, ἀλλὰ καὶ αἰδέσονται ἀλλήλους. Μέγιστον γὰρ τῷ ὄντι κόσμον ἀφαιρεῖται τῆς φιλίας ὁ τῆς αἰδοῦς αὐτὴν ἀποστερῶν. Οὐκοῦν ὀλεθρία τούτοις πρόσεστιν ἀπάτη, οἳ παντοδαπῆς ἀκολασίας καὶ ἁμαρτίας ἐξουσίαν ἐν τῇ φιλίᾳ νομίζουσιν ἐπιτετράφθαι. Τῶν γὰρ ἀρε- 83
τῶν συνεργός, οὐ τῶν κακιῶν ἀκόλουθος ἡ φιλία ὑπὸ τῆς φύσεως ἐδωρήθη· ἵνα, ἐπειδὴ μονωθεῖσα ἡ ἀρετὴ τῶν ἀκροτάτων ἐφικέσθαι οὐκ ἂν οἵα τε ἦν, συμπλακεῖσα τῇ ἑτέρᾳ καὶ συζευχθεῖσα φθάνειν ἐκεῖ δυνηθῇ. ἡ δὲ αὐτὴ κοινωνία τινῶν μεταξὺ ἐὰν ᾖ ἢ ἐγένετο ἢ μέλλει ἔσεσθαι, τούτους πρὸς τὸ μέγιστον τυχεῖν τοῦ τῆς φύσεως ἀγαθοῦ βελτίστην καὶ εὐδαιμονεστάτην περιβεβλῆσθαι φρουρὰν ὑποληπτέον. Αὕτη δή 84

CAP. XXII. *διεστραμμένως — ἔχειν*] *Perverse* rectius dicitur 82
ἀτόπως — οὐκ ὀρθῶς. Beier. eiecit *habere*.

καλοκάγαθόν] Lobeck. ad Phryn. p. 603. dubitat, num hoc vocabulum compositum Graecum haberi possit.

ὅταν — ἄρξουσιν — χαρήσονται — ἀναδέξεται — αἰτήσεται — θεραπεύσουσι — φιλήσουσιν — αἰδέσονται] Reppne *ἄρξωσιν — χαρῶσι* (de Futur. *χαρησ.* posterioribus Graecis usitato vd. Pass. Lex. Matth. Gr. Gr. Vol. I. p. 496.) — *ἀναδέξηται* [pro *οὐδὲν οὐδέποτε* corr. *μηδὲν μηδέποτε*] — *αἰτήσηται — θεραπεύσωσι — φιλήσωσιν — αἰδεσθῶσιν*.

ὁ τῆς αἰδοῦς αὐτὴν ἀποστερῶν] Reposui *αἰδοῦς* pro *αἰδῷ* aperte falso.

τῶν γὰρ — ἐδωρήθη] *Enim* in aliquot Edd. et Cod. Dresd. a. 83
vulgo omittitur. Aor. 1. *ἐδωρήθη* significatione passiva rarissime reperitur: vd. Herod. VIII, 85. H. l. convenientius *ἐδόθη*.

ἐφικέσθαι — φθάνειν] Quum apud Ciceronem *pervenire — perveniret* exstet, nec *φθάνειν* simplicem notionem perveniendi, sed occupandi vel prius aliquid faciendi (cf. Lexica) habeat, *ἐφικέσθαι* bis ponendum est.

ἡ δὲ — ἐγένετο] Expressa est lectio *quae si quos inter societas*, at textus Latinus Petavii exhibet *quae si quos inter socios*, quae utrum sit varia lectio dicenda (nusquam certe enotata), an mendum typographicum non decrerim. Pro *ἐὰν ᾖ* motus verbis Ciceronis posuerim *εἰ ἢ ἔστιν ἢ ἐγένετο*.

ἡ ἐλπίς. Οὔκουν φίλῳ πρεπῶδες ἂν εἴη, τοιοῦτον εἰς ἐκεῖνον
εἶναι, οἷος οὗτός ἐστιν εἰς ἑαυτόν· τοὐναντίον δὲ μᾶλλον ὡς
οἷόντε πειράζεσθαι ἀναπεπτωκότα τὸν τοῦ φίλου θυμὸν ἐγεί-
ρειν εἴς τε τὸ ἄμεινον ἐλπίζειν καὶ φρονεῖν ἀνακαλέσασθαι.
Τοιγαροῦν ἕτερόν τινα τῇ γνησίᾳ φιλίᾳ τὸν ὅρον ὑπογραπτέον
δοκεῖ. βούλομαι δὲ πρότερον εἰπεῖν, ὃ μάλιστα μέμφεσθαι ὁ
Σκηπίων εἰώθει. Ἔλεγε γοῦν ἐχθίω τῇ φιλίᾳ φωνὴν οὐδεμίαν
ἂν ἐξευρεθῆναι ἢ τοῦ φήσαντος, οὕτω φιλεῖν δεῖν τινα, ὡς
καὶ μισήσοντά ποτε· ἀλλ' οὐδὲ πιστεύειν δύνασθαι, τοιόνδε τι
ὑπὸ τοῦ Βίαντος, ὡς λόγος εἶχεν, εἰρῆσθαι, ἀνδρὸς εἰς σο-
φίαν διαβεβοημένου καὶ ἑνὸς τῶν ἑπτά· μᾶλλον μέντοι ταύτην
εἶναι γνώμην ἀπέφαινε βδελυροῦ τινος ἀνθρώπου ἢ τὴν φιλο-
τιμίαν νοσοῦντος ἢ πάντα πρὸς τὸ ἑαυτοῦ κράτος ἀναφέρον-
τος. Πῶς γὰρ ἄν τις φίλος εἴη τούτου, ὃν καὶ ἐχθρὸν ἔχειν
δύνασθαι νομιεῖ; Πρὸς δὲ τούτοις ἀνάγκη πᾶσα βούλεσθαι καὶ
εὔχεσθαι, ὡς τὰ πλεῖστα τὸν φίλον ἁμαρτάνειν, ἵνα πλείους
ἑαυτῷ τοῦ ἐπιπλήττειν λαβὰς παρέχοι· πάλιν δ' αὖ ἐπὶ τοῖς
ὑπὸ τῶν φίλων κατορθώμασι καὶ εὐπραγίαις ἀγανακτεῖν αὐ-
60 τοὺς καὶ λυπεῖσθαι καὶ φθονεῖν. Οὐκοῦν τοιοῦτο τὸ παράγ-
γελμα, οὗτινος ἂν εἴη, εἰς τὸ τὴν φιλίαν ἀναιρεῖν συμφέρει.
Τοῦτο δὲ μᾶλλον ἔδει παραγγέλλειν, ὅπως τοσαύτῃ πρὸς τὸ
τὰς φιλίας συστῆσαι τῇ ἐπιμελείᾳ χρησώμεθα, ὡς μηδέποτε
τοῦτον φιλεῖν ἄρξασθαι, ὃν ἐπίδοξοι ὦμεν μισῆσαί ποτε.
Ἀλλ' εἴ που κατὰ τὴν τῶν φίλων αἵρεσιν ἀστοχήσαιμεν, τοῦτο
δὴ εὐγνωμόνως φέρειν ὁ Σκηπίων ᾤετο προσήκειν μᾶλλον ἢ
τὸν τῆς ἀπεχθείας καιρὸν ἐνθυμεῖσθαι.

61 XVII. Τοιούτοις οὖν τοῖς ὅροις χρηστέον ἐμοὶ δοκεῖ,
ὡς, ἐπειδὰν διόρθωσιν λάβῃ τὰ τῶν φίλων ἤθη, τηνικαῦτα
πάντων μεταξὺ τούτων ἁπαξαπλῶς καὶ πραγμάτων καὶ βουλευ-
μάτων καὶ θελημάτων κοινωνίαν εἶναι δεῖν· ὥστε κἂν κατὰ
παρίστασίν τινα ξυμβῇ σμικρόν τι τοῦ δικαίου καθυφειμέναις

πειράζεσθαι] Rectius πειρᾶσθαι vd. Lexica.

59 Ἔλεγε γοῦν κτλ.] Aristot. Rhet. II, 21. ὅτι οὐ δεῖ, ὥσπερ φασί, φιλεῖν ὡς μισήσοντα, ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντα. Diog. Laert. I, 87. de Biante: ἔλεγε — καὶ φιλεῖν ὡς μισήσοντας, τοὺς γὰρ πλείστους εἶναι κακούς. Vd. de hoc dicto celebrato Gernh. et Beier. Pro οὐδεμίαν corrige μηδεμίαν ob Infin.

ὑπὸ — ἑπτά] Cicero simpliciter: *A Biante — qui sapiens habitus esset unus e septem.* Sic Plut. Solon. Cap. 12. ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν.

τὴν φιλοτιμίαν νοσοῦντος] Νοσεῖν dicitur quidem de hominibus, quorum animus cupiditatibus est perturbatus, sed h. l. simplex Adiectivum φιλότιμος — φιλόδοξος praetulerim.

60 οὗτινος ἂν εἴη] *Cuiuscumque est* Cic., i. e. οὗτινος ἂν ᾖ vel οἵτινός ποτ' ἐστι.

χρῆναι ταῖς τῶν φίλων βουλήσεσιν ἐπικουρεῖν, ὅταν περὶ τῆς
κεφαλῆς ἢ περὶ τῆς ἐπιτιμίας ἀγὼν αὐτοῖς ᾖ, παρεκκλίνειν
τῆς ὁδοῦ προςήκειν· μόνον ἐὰν μὴ ἐσχάτως αἰσχρόν τι ἐντεῦ-
θεν ἀκολουθῇ. ἔστι γὰρ ᾗ νέμεσθαί τινα τῇ φιλίᾳ συγγνώμην
ἐνδέχεται. Ἀλλὰ μὴν οὐδὲ τῆς δόξης ὀλιγωρητέον ἐστίν, οὐδὲ
φαύλην ἡγητέον ἀφορμὴν εἰς τῶν πραγμάτων διοίκησιν εἶναι
τὴν τῶν πολιτῶν εὔνοιαν· ἣν θωπείαις καὶ κολακείαις αἰσχρὸν
ἐπισπάσασθαι· πλὴν οὐ παραιτητέον ἐστὶ τὴν ἀρετήν, ἥτις
συμπαρομαρτοῦσαν ἔχει τὴν ἀγάπησιν. Ἐκεῖνος μὲν οὖν (ἤδη 62
γὰρ πρὸς τὸν Σκηπίωνα ἐπανιτέον ἐμοί, οὗ πᾶς ἦν ὑπὲρ τῆς
φιλίας ὁ λόγος) πολλάκις ἐμέμφετο, ὅτι ἐν τοῖς λοιποῖς ἅπασιν
οἱ ἄνθρωποι πλείω ἐπιδείκνυνται τὴν ἐπιμέλειαν. καὶ γὰρ αἶ-
γας ἢ οἷς ὁπόσας κέκτηται, ἕκαστον ἔφασκεν ἔχειν εἰπεῖν·
φίλους δ᾽ αὖ ὁπόσους ἔχοι, λέγειν οὐ δύνασθαι· τοὺς δὲ αὐ-
τοὺς καὶ τῆς ἐκείνων κτήσεως ἐπιμέλειαν ποιεῖσθαι, περὶ δὲ
τὴν τῶν φίλων αἵρεσιν ἀμελεῖς εἶναι· οὐδ᾽ ἔχειν οἱονεὶ σημεῖά
τινα καὶ χαρακτῆρας, δι᾽ ὧν τοὺς πρὸς τὴν φιλίαν ἐπιτηδείους
διαγινώσκωσι. Τοιγαροῦν τοὺς βεβαίους καὶ ἀσφαλεῖς καὶ
εὐσταθεῖς ἐπιλέγεσθαι δεῖ· οἷον δῆτα τοῦ γένους σπάνις ἐστὶ
πολλὴ καὶ ἡ διάκρισις δὲ χαλεπὴ πρὶν ἢ πείρᾳ καταμαθεῖν·
οὐκοῦν ἐν αὐτῇ πειρατέον ἐστὶ τῇ φιλίᾳ. Οὕτως ἡ φιλία φθά-
νει τὴν κρίσιν καὶ τῆς πείρας ἐξουσίαν ἀφαιρεῖ. Διὸ φρονί- 63
μου ἔργον ἐστίν, ὥςπερ τὸν δρόμον, οὕτω τῆς φιλίας τὴν ὁρ-
μὴν ἐπέχειν, ἵνα, καθάπερ τοῖς ἵπποις μετὰ τὰ πεῖραν αὐτῶν
λαβεῖν, οὕτω μετὰ τὸ ἀμηγέπη δοκιμάσαι τοὺς τῶν φίλων τρό-
πους ταῖς φιλίαις χρησώμεθα. Ἐνίων μὲν οὖν ἐν ὀλίγοις ταῖς

Cap. XVII. ὅταν — αὐτοῖς ᾖ] *Caput* i. q. salus statusque omnis civilis non dicitur κεφαλή.

ᾗ — ἐνδέχεται] Apud Lucianum (vd. Lex. Lucian. s. v.) *συγγνώμην ἀπονέμειν* saepius, *συγγνώμην νέμειν* apud Heliodorum legitur: apud alios scriptores *συγγνώμην ἔχειν — ποιεῖσθαι.*

καὶ γὰρ αἶγας] Expressa est lectio a Beiero quoque recepta *ca- 62
pras — dicere posse — non posse dicere:* vulgo *ut capras — dicere posset — non dicere posset* vd. Graev. et Gernh. Cicero ante oculos locum habuit Xenoph. Memor. II, 4, 2 et 4. *ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως. καὶ γὰρ οἰκίας καὶ ἀγροὺς καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ σκεύη κτωμένοις τε ἐπιμελῶς ὁρᾶν ἔφη καὶ τὰ ὄντα σώζειν πειρωμένοις, φίλον δέ, ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, ὁρᾶν ἔφη τοὺς πολλοὺς οὔτε ὅπως κτήσονται φροντίζοντας οὔτε ὅπως οἱ ὄντες ἑαυτοῖς σώζονται. —— ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων τὸ πλῆθος εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους ἀνατίθεσθαι.*

ὥςπερ τὸν δρόμον] *Ut cursum* expressit Petavius, vulgata optt. 63
Codd. et Edd. est *ut currum* vd. Gernh. Beier. Orell.

χρήμασι πολλάκις τὸ κοῦφον ἐλέγχεται· ἄλλοι δὲ τῶν ἐλαττό-
νων οὐχ ἡττηθέντες ἐν τοῖς μείζοσι γνωρίζονται. Ἀλλ' ἐάν τι-
νες εὑρεθεῖεν οἱ τὰ χρήματα προτιμᾶν τῆς φιλίας βάναυσον εἶ-
ναι νομίζοντες· ποῖ δὴ τοιούτους ἂν εὕροις, οἳ δὴ τιμὰς καὶ
ἀρχὰς καὶ ἐπικρατείας ἢ δυναστείας καὶ πλοῦτον περὶ πλείονος
ἢ τὴν φιλίαν οὐ ποιήσονται, ὥςτε τούτων ἐκ θατέρας εἰς μέ-
σον προτεθέντων, ἐκ δὲ θατέρας προκειμένων τῶν τῆς φιλίας
δικαίων, οὐκ ἐκεῖνα πολλῷ μᾶλλον αἱρεῖσθαι; Ἀσθενὴς γὰρ
ἡ φύσις ἐστὶν ἡμῶν πρὸς τὸ τῆς δυνάμεως καταφρονεῖν· ἧς
κἂν τῆς φιλίας ὀλιγωρήσαντες ἐπέτυχον, συγκρύψαι ἂν καὶ
συσκιάσαι τὸ δρώμενον ὑπολαμβάνουσι τῷ οὐκ ἐπὶ τῇ τυχούσῃ
64 αἰτίᾳ τῆς φιλίας ἀμελῆσαι δοκεῖν. Ταύτῃ τοι αἱ ἀληθιναὶ φι-
λίαι ἐν τοῖς τῶν ἀρχῶν ἐφιεμένοις καὶ πολιτευομένοις μόλις εὑ-
ρίσκονται. Ἔστι γὰρ ὅπῃ τοῦτον ἂν εὕροις, ὃς τὴν ἑαυτοῦ
τιμὴν ὑστέραν ἄγοι τῆς τοῦ φίλου τιμῆς; Τί δέ; ἵνα τοῦτο πα-
ραλείποιμι, πῶς οἴει δειναί, πῶς ἀφόρητοι δοκοῦσι πολλοῖς
αἱ τῶν συμφορῶν κοινωνίαι; πρὸς ἃς δυσεύρετοί εἰσιν οἱ συγκα-
ταβαίνειν ἐθέλοντες. Καίτοι ὀρθῶς εἴρηται τοῦτο τῷ Ἐννίῳ·

Φίλος βέβαιος ἐν ἀβεβαίοις φαίνεται.

Ἀλλ' ὅμως δύο ταῦτα τὴν πολλῶν κουφότητα καὶ ἀσθένειαν
ἐξελέγχουσιν, ὅταν ἢ ἐν ταῖς εὐημερίαις ὑπερορῶσιν ἢ ἐν ταῖς
ἀτυχίαις καταλείπωσιν.

XVIII. Ὅςτις οὖν κατ' ἄμφω ἐμβριθῆ καὶ πάγιον καὶ
μόνιμον ἐν τῇ φιλίᾳ ἑαυτὸν παρέχοι, τοῦτον ἄντικρυς τῷ σπα-
νιωτάτῳ καὶ μονονουχὶ θείῳ γένει τῶν ἀνθρώπων ἐγκριτέον ἐστί.
65 Τὸ δὲ στήριγμα τῆς εὐσταθείας καὶ ἀσφαλείας, ἣν ἐν τῇ φιλίᾳ
ποθοῦμεν, ἡ πίστις ἐστίν. οὐδὲν γὰρ μόνιμον, ὅ, τι ἄπιστον
ἂν εἴη. πρὸς δὲ δὴ τούτοις καὶ ἁπλοϊκὸν καὶ κοινὸν ὁμογνώ-
μονά τε καὶ ὑπὸ τῶν αὐτῶν ἀγόμενον εἰκὸς αἱρεῖσθαι· ἃ πρὸς

Ἀλλ' ἐάν τινες — εὕροις] Pro *ἐάν* pone *εἰ* et *ποῦ* pro *ποῖ*. Verba Ciceronis *Sin erunt aliqui reperti — ubi eos inveniemus* rectius ita interpreteris: *Ἀλλ' ἐὰν τινες εὑρεθῶσι — ποῦ δὴ τοιούτους εὑρήσομεν*.

ὥςτε — οὐκ ἐκεῖνα] Corrige *ὥςτε — μὴ ἐκεῖνα*.

ἧς — δοκεῖν] Corrige *κἂν ἐπιτύχωσι — τῷ μὴ ἀμελῆσαι δοκεῖν*: recte expressa est lectio *obscuratum iri* per *συγκρύψαι καὶ συσκιάσαι* (de qua vd. Gernh. et Beier.), quanquam alterutro tantum verbo opus erat.

64 *ἐν τοῖς τῶν ἀρχῶν ἐφιεμένοις*] *In honoribus versari* i. q. *τιμὰς ἔχειν — ἀρχὰς μεταχειρίζεσθαι*.

ἵνα τοῦτο παραλείποιμι] *Haec ut omittam*, i. e. *ἵνα τοῦτο παραλείπω*.

Ἐννίῳ] Conf. sent. Eur. Hec. 1226. Pflugk. *ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι φίλοι*.

65 Cap. XVIII. *ὁμογνώμονά — ἀγόμενον*] Beierus *consentire* interpretatur *ὁμοδοξεῖν*, qua eadem notione Aristot. Ethic. ad Nic.

ἀρετή, οὐδ' αὐτὴ τὸ τελευταῖον ἡ ψυχή, ἥτις πολλῶν οὕτως ἀρετῶν βοηθείᾳ κατησφαλισμένη καὶ τοσαύτην δορυφορίαν περιβαλομένη, ὁπότε τὸ αὐτῆς σῶμα διεσπαράττετο, αὐτὴ διασπαράττεσθαι οὐχ οἵα τε ἦν. Γάϊον δὲ τὸν Μάριον εἴδομεν αὐτοί, ὃς ἐν μὲν ταῖς εὐημερίαις τῶν μακαρίων εἷς· ἐν δὲ ταῖς ἀτυχίαις τῶν μεγάλων ἀνδρῶν ἔδοξεν εἶναι· οὗ δὴ θνητῷ γεγονότι οὐδὲν ὅλως εὐδαιμονέστερον ἂν ὑπάρχοι. Λέληθεν, ὦ ἐμβρόντητε, 17
λέληθέ σε, οἵαν ἔχει δύναμιν ἡ ἀρετή· σὺ γὰρ ψιλῷ κέχρησαι τῆς ἀρετῆς ὀνόματι· ὅσον δ' ἰσχύει αὐτὴ παντάπασιν ἀγνοεῖς. οὐδεὶς δύναται μὴ οὐχ εὐδαιμονέστατος εἶναι, ὃς ἑαυτοῦ ὅλος ἐξήρτηται καὶ ἐν αὐτῷ μόνῳ τίθησι τὰ καθ' αὑτόν· οὗ δὲ πᾶσα ἐλπὶς καὶ λόγος καὶ διάνοια τῆς τύχης ἐξῆπται, τούτῳ μηδὲν εἶναι βέβαιον ἐνδέχεται, μηδὲν ὅπερ σάφ' ἂν εἰδείη διαμενεῖν αὐτῷ κἂν γοῦν μίαν ἡμέραν. οὕτω διακείμενον, ἥν τινά που εὕροις, ἄνθρωπον δεδίττου, θά-

τὴ ἡ ψυχή, ἥτις ἐν τοσούτων ἀρετῶν φρουρίῳ τοσαύτῃ τε συνελεύσει καὶ συνοδίᾳ οὖσα, ὁπότε τὸ αὐτοῦ σῶμα κατελαμβάνετο, καταλαμβάνεσθαι γοῦν οὐκ ἠδύνατο. Κάϊον μέντοι Μάριον ἑωράκαμεν, ἄνδρα ἐν μὲν ταῖς εὐπραγίαις καὶ εὐτυχίαις τῶν εὐτυχεστάτων ἕνα, ἐν δὲ ταῖς συμφοραῖς καὶ δυσημερίαις τῶν ἐπιεικεστάτων καὶ ἐξοχωτάτων ἐμοὶ γοῦν δοκοῦντα, οὗτινος τί ἄλλο μείζονος εὐδαιμονίας ἀνδρί γε καὶ θνητῷ ὄντι εἶναι δύναιτο; Ἀγνοεῖς τοίνυν, ὦ ἀφρονέστατε, τὴν τῆς ἀρετῆς δύναμιν ὁπόση καὶ πηλίκη; τοὐνόματος δὴ μόνον ἀντιλαμβάνεις· τί δύναιτο αὐτὴ οὐκ οἶδας. τὸν ἐξ αὑτοῦ ὅλου ἐξηρτημένον καὶ ἐν αὑτῷ ἅπαντα τιθέμενον ἀνάγκη πᾶσα καὶ εὐδαιμονέστατον γενέσθαι. ὃ δὲ καὶ τὴν ἐλπίδα καὶ τοὺς λογισμοὺς καὶ τὰς διανοίας ἐκ μόνης τύχης ἐξαψάμενος, τούτῳ δὴ βέβαιον οὐδὲν καθέστηκεν, οὐδὲν ὅπερ καὶ μίαν μόνην ἡμέραν πιστῶς παραμείνειεν. σὺ μὲν οὖν δεδίττου καὶ φόβει, ὅντινα βούλει, ταῖςδε

ἥτις — τε ἦν] Secutus est Petavius lect. *praesidio munitus — comitatu circumseptus*, quae Participia optimi Codd. et Edd. eii ciunt: deinde *carperetur — carpi* expressit, quanquam textus Latinus *caperetur — capi* (i. e. αἰχμαλωτίζεσθαι) offert. Pro συνελεύσει καὶ συνοδίᾳ (i. e. *comitatus*) Blum. Anl. p. 177. recte πομπῇ.

τῶν μακαρίων εἷς] I. e. *unus ex fortunatis hominibus*; melius Turn. τῶν εὐτυχεστάτων ἕνα, i. e. *unus ex fortunatissimis hominibus* — vd. Orell.

ἐμβρόντητε] Rectius Turnebus ἀφρονέστατε, i. e. *insane.* 17

οὗ δὲ] Expressa est lectio *cuius autem*, bene Gernh. Orell. *cui.*

κἂν γοῦν μίαν ἡμέραν] *Ne unum quidem diem*, optimae Edd. *ne — quidem* damnant.

ἥν — εὕροις] Corr. ἥν — εὕρῃς.

*κην τὴν πολυετίαν φέροντος ἥδισται ὀφείλουσιν εἶναι. κἀκεῖνο
δ᾽ ἀληθές ἐστι τὸ τεθρυλλημένον, πολλοὺς τῶν ἁλῶν μεδί-
μνους συμφαγεῖν δεῖν, ἵνα τὸ τῆς φιλίας καθῆκον ἐκπληρωθῇ.
68 Τὰς δὲ καινότητας, ἐὰν ἐλπίδα παρέχωσιν, ὥςθ᾽ οἷον ἐν οὐ
ψευδομένῃ πόᾳ τὸν καρπὸν ὑποφαίνειν, οὐδ᾽ αὐτὰς ἀποδιο-
πομπήσασθαι δεῖ· τὴν μέντοι ἀρχαιότητα κατὰ χώραν ἐατέον.
πλείστη γὰρ ὅση δύναμις ἔνεστι τῇ τε ἀρχαιότητι καὶ τῇ συν-
ηθείᾳ. Καὶ ἐν αὐτῷ δὲ τῷ ἵππῳ, οὗ πέρι ἄρτι μνήμην ἐποιη-
σάμην, ἣν μή τι ἐμποδὼν ᾖ, οὐκ ἔστιν ὅςτις τῷ εἰθισμένῳ
ἥδιον ἂν χρῷτο ἢ τῷ οὔπω ὑπὸ χεῖρας ἐλθόντι καὶ καινῷ.
Καὶ οὐκ ἐν τούτῳ μόνον, ὅπερ ἔμψυχόν ἐστιν, ἀλλὰ καὶ ἐν
τοῖς ἀψύχοις ἡ συνήθεια ἰσχὺν ἔχει· ἐπεὶ δὲ τοῖς ὀρεινοῖς χαί-
69 ρομεν καὶ ὑλώδεσι τόποις, οἷς ἐπὶ πολὺ ἐνδιετρίψαμεν. Ἀλλὰ
μέγιστον δὴ τοῦτο κατὰ τὴν φιλίαν ἐστὶ τὸ τὸν κρείττονα τῷ
ἥττονι ἐξισοῦσθαι. πολλάκις γὰρ ὑπεροχαί τινες ὑπάρχουσιν,
οἷα τοῦ Σκηπίωνος ἐν ἡμετέρᾳ ἦν, ἵνα εἴπω οὕτως, ἀγέλῃ.
Οὐ μέντοι αὐτὸς οὔτε τοῦ Φίλου οὔτε τοῦ Ῥουπιλίου οὔτε
τοῦ Μουμμίου οὔτε τῶν τῆς ἐλάττονος τάξεως φίλων προὐτί-
μησεν ἑαυτόν· Κόϊντον δὲ Μάξιμον τὸν ἀδελφόν, ἄνδρα ἄλ-
λως μὲν ἄριστον, οὐ μὴν πρὸς ἑαυτόν, ὡς προὔχοντα,
καθότι ἐπροτέρει τῇ ἡλικίᾳ, ἐθεράπευεν· τοὺς δ᾽ αὖ οἰκείους
ἅπαντας ἀμείνω δι᾽ ἑαυτοῦ δύνασθαι πράττειν πάντως ἠβού-
70 λετο. Ὃ καὶ πᾶσι δραστέον καὶ μιμητέον ἐστίν, ὅπως, ἐὰν
ἐξοχήν τινα τῆς ἀρετῆς ἢ ἀγχινοίας ἢ τύχης κτῷντο, ταύ-
της μεταδῶσι τοῖς φίλοις καὶ τοῖς πλησίον κοινώσωνται· οἷον
εἰ ἐξ ἀδόξων ἔφυσαν γονέων, εἴτε συγγενεῖς ἔχουσι κατὰ τὴν
γνώμην ἢ κατὰ τὴν τύχην ἀσθενεστέρους, τούτων ἐπαύξωσι
τὰς ἀφορμὰς καὶ τιμῆς αὐτοῖς καὶ ἀξιώματος εἰς προσθήκην
γένωνται· καθάπερ ἐν τοῖς δράμασιν οἱ διὰ τὴν γένους ἄγνοιαν
ἐν δουλείᾳ χρόνον τινὰ ζήσαντες ἐπειδὰν ἀναγνωρισθῶσι, καὶ*

---

debent suavissimae, quod expressit Petavius. Quum Codd. *Veterrima quaeque—esse debent suavissima* exhibeant, Beierus ita lect. constituit: *Veterruma quaeque—[debe[n]t esse] suavissima*, ut numero singulari de amicitia intelligatur. Orell. retinuit lect. Codd. *Veterrima quaeque—esse debent suavissima*, quem vd.

κἀκεῖνο δ᾽ ἀληθές ἐστι κτλ.] Plutarch. de multit. amicor. Vol. VII. p. 290 Hutt. *τὸν θρυλλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδιμνον.* Aristot. Ethic. ad Nic. VIII, 4. *κατὰ τὴν παροιμίαν οὐκ ἔστιν εἰδῆσαι ἀλλήλοις πρὶν τοὺς λεγομένους ἅλας συναναλῶσαι.*

69 *ὑπεροχαί*] *Excellentiae*, quo vocabulo usus est Aristot. Ethic. Nic. VIII, 15.

τοὺς—ἠβούλετο] *Suosque omnes per se esse posse ampliores volebat* Cic., *posse* omissum in uno Cod. Manut. eiecerunt Victor. Graev. Gernh. Beier. Orell.; Beier. praeterea *esse* uncis circumsepsit.

θεῶν ἢ βασιλέων παῖδες ὄντες εὑρεθῶσι, τὴν αὐτὴν ὅμως ἔχοντες διατελοῦσι στοργὴν πρὸς τοὺς νομεῖς ἐκείνους, οὓς σφῶν εἶναι πατέρας πολλὰ τὰ ἔτη ἐνόμισαν. Ὅπερ δηλαδὴ πολλῷ μᾶλλον εἰς τοὺς γνησίους καὶ ἀναμφηρίστους πατέρας ἐπιδεικτέον ἐστί. Καὶ γὰρ ἥτις ἐστὶ νοῦ καὶ ἀρετῆς καὶ παντὸς ἄλλου πλεονεκτήματος ὄνησις, αὕτη τότε μάλιστα συλλέγεται, ὁπηνίκα εἰς τοὺς ἐγγυτάτω διαδίδοται.

XX. Τοιγαροῦν ὥσπερ ἐν τῇ φιλίᾳ τῇ τε οἰκειότητος 71
συναφείᾳ τοὺς ὄντας κρείττους τοῖς ὑποδεεστέροις συγκαταβαίνειν προσήκει· οὕτω καὶ τοὺς ὑποδεεστέρους ἀθυμεῖν ἥκιστα χρή, ὅταν ὑπὸ τῶν φίλων εἴτε τῇ τοῦ νοῦ ὀξύτητι εἴτε τῇ εὐτυχίᾳ εἴτε τῷ ἀξιώματι παρευδοκιμοῦνται. Ὧν οἱ πλεῖστοι ἢ μεμψιμοιροῦσιν ἀεί τι ἢ καὶ ὀνειδίζουσιν· τηνικαῦτα δὲ μᾶλλον, ὅταν θεραπευτικῶς ἢ εὐνοϊκῶς ἢ καὶ μετὰ τοῦ ἰδίου πόνου προϋπηργμένον τι ἀφ᾽ ἑαυτῶν εἰπεῖν δύνωνται. Μίσους μὲν οὖν ἄξιόν ἐστι τουτὶ τὸ γένος ἀνθρώπων, οἳ τὰς εὐεργεσίας ὀνειδίζουσιν· ὧν μεμνῆσθαι μὲν πάντως τὸν λαβόντα δεῖ, τὸν δ᾽ αὖ δεδωκότα οὐδαμῶς ἀπομνημονεύειν.
Οὐκοῦν ὥσπερ οἱ κρείττους ὑποστέλλειν ἐν φιλίᾳ ἑαυτοὺς ὀφεί- 72
λουσιν· οὕτως ἐξαίρειν πως τοὺς καταδεεστέρους. Εἰσὶ γάρ τινες οἱ τὰς φιλίας ἐπαχθεῖς ποιοῦντες, ὅταν καταφρονεῖσθαι ὑπολαμβάνωσιν. ὃ δὴ μόνοις ἐπιεικῶς συμβαίνει τοῖς καὶ εὐκαταφρονήτους ἑαυτοὺς κρίνουσιν· οἷς τοιαύτην ὅμως τὴν δόξαν καὶ λόγοις καὶ ἔργοις ἀφαιρετέον ἐστί. Τοσοῦτον δὲ νεμη- 73
τέον ἑκάστῳ, πρῶτον μὲν ὅσον ἐπιτελέσαι αὐτὸς ἂν ἔχοις· ἔπειτα δέ, ὅσον στέγειν ἐκεῖνος δύναται, ὃν ἂν φιλεῖν καὶ ᾧ συμπράττειν ἀξιώσῃς. Οὐ γάρ οἷός τε ἂν εἴης, καίτοι καθ᾽ ὑπερβολὴν δυνατὸς ὤν, πάντας τοὺς οἰκείους εἰς τὰς ἀνωτάτω προάγειν τιμάς· καθάπερ ὁ Σκηπίων Πόπλιον μὲν τὸν Ῥουπίλιον ἠδυνήθη ὕπατον ἀποδεῖξαι, Λεύκιον δὲ τὸν ἐκείνου ἀδελφὸν οὐκ ἠδυνήθη. Ἀλλ᾽ εἰ καὶ πάντως ὁτιοῦν ἐξανύσαι δύναιο χαριζόμενος ἑτέρῳ· σκεπτέον ὅμως εἴη, τί βαστάζειν οὗτος αὐτὸς ἂν δύναιτο. Καθόλου δὲ μετὰ τὸ ῥωσθῆναι καὶ 74

ἐὰν — κτῷντο] Corrige κτῶνται, vel rectius κτήσωνται, *si — consecuti sunt.* 70

πολλὰ τὰ ἔτη] Articulus erat omittendus.

CAP. XX. ὅταν — παρευδοκιμοῦνται] Corr. παρευδοκιμῶνται. 71

Μίσους — ἐστι κτλ.] Plutarch. de discr. adul. et amic. cp. XXII. *Πᾶσα ὀνειδιζομένη χάρις ἐπαχθὴς καὶ ἄχαρις καὶ οὐκ ἀνεκτή.* Demosth. de Cor. p. 316. Reisk. *νομίζω, τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δ᾽ εὖ ποιήσοντα εὐθὺς ἐπιλελῆσθαι αὐτῶν, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἄνθρωπον. Τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν.*

στέγειν] I. q. *sustinere* apud scriptores posteriores. Infra βαστάζειν scriptum est. 73

κρατυνθῆναι τάς τε γνώμας καὶ τὰς ἡλικίας τὰς φιλίας ἀνα-
κρίνειν εὔλογόν ἐστιν· οὐδ' εἴ τινες κατὰ πρώτην τὴν ἡλικίαν
περὶ τὴν κυνηγεσίαν ἢ τὴν σφαίρισιν ἐσπουδακότες ἦσαν, ἀκό-
λουθόν ἐστι τοὺς τῶν αὐτῶν συνερασθέντας τότε τοῖς οἰκείοις
ἐγκρίνειν. οὕτω γὰρ κἂν αἱ τροφοὶ καὶ οἱ παιδαγωγοὶ τὸ πλεῖ-
στον ἂν τῆς εὐνοίας ἀπαιτήσειαν· ὧν ἀμελητέον μὲν οὐχί,
ἀλλ' ἕτερόν τινα τρόπον εἰκός ἐστι θεραπεύειν. Οὐ γὰρ ἄλλως
ἐνδέχεται βεβαίους τὰς φιλίας διαμένειν. Ἐπειδὴ τοῖς ἀνο-
μοίοις ἤθεσιν ἀνόμοια καὶ τὰ ἐπιτηδεύματα παρακολουθεῖ, ὧν
αἱ διαφωνίαι τὰς φιλίας διέστησαν· καὶ οὐκ αἰτία τίς ἐστιν
ἑτέρα, δι' ἣν οὔτε οἱ ἀγαθοὶ τοῖς πονηροῖς οὔτε οἱ πονηροὶ
τοῖς ἀγαθοῖς εἰς φιλίαν συνελθεῖν δύνανται, πλὴν ὅτι τοσαύτη
μεταξὺ τούτων, ὅσην ἐνδέχεται μεγίστην εἶναι, τῶν τρόπων
75 *τε καὶ ἐπιτηδευμάτων ἐστὶν ἡ διαφορά. Ὀρθῶς δὲ καὶ τοῦτο*
παραγγέλλοι τις ἂν ἐπὶ τῶν φιλιῶν, ὅπως μήτις ἀκράτῳ τῇ εὐ-
νοίᾳ φερόμενος, ὃ πολλάκις γίνεται, τὰς μεγίστας ὠφελείας
ἐμποδίζῃ τῶν φίλων. Καὶ γὰρ οὐδὲ τὴν Τροίαν ἐξεῖλεν ἂν ὁ
Νεοπτόλεμος, ἵνα πρὸς τοὺς μύθους ἐπανέλθω, εἰ τοῦ Λυκο-
μήδους, παρ' ᾧ ἐτρέφετο, πολλοῖς σὺν δάκρυσι κωλύοντος
ἀποχωρεῖν ἀκούειν ἤθελε. Καὶ πολλάκις δὲ οὐ τὰ τυχόντα
περιπίπτει πράγματα, ἃ χωρίζεσθαι τῶν φίλων ἀναγκάζει· οἷς
ὁ ἐμποδὼν ἀξιῶν στῆναι, ὡς ἀπόντος τὸν πόθον οὐ φέρων,
οὗτος πολλὴν ἀσθένειαν καὶ μαλακίαν ὀφλισκάνει τῆς φύσεως,
76 *καὶ διὰ τοῦτο οὐκ ἄγαν ἐν τῇ φιλίᾳ δίκαιος εἶναι δοκεῖ. Ἐν*
μὲν οὖν ἁπανταχοῦ δεῖ τοῦτο σκοπεῖν, ὅ,τι τ' ἂν αἰτήσῃς
παρὰ τοῦ φίλου καὶ ὅ,τι ἂν αἰτοῦντι χαρίζεσθαι οὐκ ἀπαξιώ-
σῃς αὐτῷ.

XXI. *Καὶ ἐν τῇ διαλύσει δὲ τῶν φιλιῶν ἐπιφύεταί τις*
ἔστιν ὅτε ἀναγκαία συμφορά· ἤδη γὰρ τὰς τῶν σοφῶν οἰκειό-
τητας ἀφεὶς ὁ λόγος εἰς τὰς δημώδεις φιλίας μεταπίπτει. Αἱ
τῶν φίλων κακίαι πολλάκις ἐκρήγνυνται ποτὲ μὲν εἰς τοὺς
αὐτῶν φίλους, ποτὲ δ' εἰς ἀλλοτρίους, ἀλλ' ὥστε τὸ ἐκ τοῦ-

ἢ τὴν σφαιρίσιν ἐσπουδακότες] Plut. de mult. amic. Vol. VII. p. 290. Hutt. *συσφαιρίσαντες* dicuntur.

οὕτω γὰρ κἂν — ἀπαιτήσειαν] *κἂν* erat omittendum: *postulabunt* i. q. *ἀπαιτήσουσι*.

ὧν — θεραπεύειν] Expressum est glossema *colendi*, iure eiectum ab Aldo, Graevio, Gernhardo, Beiero, Orell.

Οὐ γὰρ ἄλλως] *Enim* plerique Codd. et Edd. omittunt.

75 *ὅπως — φερόμενος*] Petavius secutus est lect. *ne quis intemperata quadam benevolentia*; nec recte *τῇ* pro *τινὶ* posuit: optt. Edd. *ne intemperata quaedam benevolentia*.

παρ' ᾧ ἐτρέφετο] *Apud quem erat educatus*, i. e. *ἐτέθραπτο*.

ὡς — φέρων] Cicero: *quod desiderium non facile ferat*, i. e. *ὡς τὸν πόθον οὐ ῥαδίως φέρων*.

76 Cap. XXI. *ἐκρήγνυνται — ἀπερείδεσθαι*] Pro *ἐκρήγνυσθαι erumpere* h. l. convenientius mihi videtur *φανερὸν γίγνεσθαι — φαίνε-*

των ὄνειδος εἰς τοὺς φίλους ἀπερείδεσθαι. Οὐκοῦν τὰς τοιαύ-
τας φιλίας τῇ κατ᾽ ὀλίγον ὑφαιρέσει τῆς συνηθείας ἀνεῖναι δεῖ·
καὶ (ὥςπερ λέγοντος ἤκουσα τοῦ Κάτωνος) ἠρέμα δεῖ μᾶλλον ἢ
ἀθρόως διαιρεῖν· εἰ μή που τάχα ἀφόρητός τις οὕτως ὕβρις
ἀναφλεχθῇ, ὡς μήτε ὀρθῶς μήτε καλῶς ἔχειν μήθ᾽ ὅλως
δυνατὸν εἶναι τὸ μὴ οὐχὶ τὴν ἀλλοτρίωσιν καὶ διάζευξιν παραυ-
τίκα γενέσθαι. Ἐπειδὰν δὲ τῶν τρόπων καὶ τῶν ἐπιτηδευμά- 77
των μεταλλαγή τις, οἷα γενέσθαι φιλεῖ, προςπέσῃ, εἴτε στά-
σις καὶ διχόνοια τῶν ἐν τῇ πολιτείᾳ μερῶν (περὶ γὰρ τῶν κοι-
νῶν φιλιῶν, οὐ τῶν τοῖς σοφοῖς πρὸς ἀλλήλους συνισταμένων,
ὡς ἔφθην εἰπών, ἅπας τονῦν λόγος ἐστὶν ἐμοί)· φυλακτέον
ἂν εἴη τοῦτο, μὴ οὐ μόνον ἀπειπεῖν τὰς φιλίας, ἀλλὰ καὶ τὰς
ἔχθρας δοκῶμεν ἀνειπεῖν. Οὐδὲν γὰρ αἴσχιον ἢ ᾧπερ οἰκείως
σὺ ξυνεβίως πρώην, πρὸς τοῦτον ἐκπεπολεμῶσθαι. Τῆς τοῦ
Κοΐντου Πομπηΐου φιλίας ὁ Σκηπίων, ὥςπερ ἴστε, ἀφειστή-
κει δι᾽ ἐμέ· διὰ δὲ τὴν ἐν πολιτείᾳ διαφορὰν Μετέλλου τοῦ
ἡμῶν ἑταίρου. καὶ δὴ ἄμφω ταῦτα σεμνοπρεπῶς καὶ μετὰ
τῆς αὐθεντίας, ἄνευ δὲ πικρίας καὶ ἀπεχθείας ἔπραξεν. Οὐκ- 78
οῦν τοῦτο πρῶτον σπουδαστέον, ὅπως μὴ διαστάσεις τῶν φί-
λων γένωνται· ἐὰν δέ τι συμβαίνῃ τοιοῦτον, ὅπως ἀποσβε-
σθῆναι μᾶλλον ἢ καταχωσθῆναι δοκῶσιν αἱ φιλίαι. Πρὸς
δὲ τούτοις εὐλαβητέον ἐστί, μὴ εἰς δεινάς ποτε δυςμενείας αἱ
φιλίαι περιτρέπωνται· ὅθεν ἔριδες καὶ βλασφημίαι καὶ παροι-
νίαι φύονται· ἅςπερ, ἐὰν ἀνεκταὶ ὦσι, πάντως οἰστέον, καὶ

σθαι — ἐκφαίνεσθαι: pro ἀπερείδεσθαι posuerim τρέπεσθαι ob verba Ciceronis: *quorum tamen ad amicos redundet infamia.*

Οὐκοῦν — δεῖ] Expressa est lectio deterior *elevandae*, cui praeferenda *eluendae*; de his aliisque lectt. vd. Gernh. et Beier., qui de lect. *eluendae* haec annotavit: „Quae si vera lectio est, Cicero in tralato verbi usu aemulatus est Isocratem in Or. ad Demon. c. 1. §. 3. f. τὰς τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν."

ἠρέμα — διαιρεῖν] *Dissuendae magis quam discindendae* non recte interpretatus est Petavius. *Dissuere* i. q. διαλύειν, *discindere* i. q. διαῤῥηγνύναι — διατέμνειν — διακόπτειν.

εἰ μὴ — ἀναφλεχθῇ] De part. εἰ cum Coniunctivo vd. ad Somn. cp. 23.

καὶ — εἴτε] *Aut studiorum — aut* i. e. ἢ τῶν ἐπιτηδευμάτων — ἤ.

εἴτε — μερῶν] *Aut in reipublicae partibus dissensio* non accurate sunt reddita: equidem in Graecum converterim ἡ διχόνοια τῶν ἐν τῇ πόλει στάσεων. 77

μὴ — ἀπειπεῖν] Non recte verba Ciceronis reddita sunt: *ne non solum amicitiae depositae, sed inimicitiae susceptae videantur. Amicitiam deponere* i. q. τὴν φιλίαν ἀποτίθεσθαι — διαλύεσθαι; *inimicitiam suscipere* τὴν ἔχθραν αἱρεσθαι.

πρώην] De suo addidit Petavius.

πρὸς τοῦτον ἐκπεπολεμῶσθαι] De hac locutione Herodotea non debebat dubium movere Schweighaeus. Lex. Herod. P. I. p. 200.

ταύτην χρὴ τῇ παλαιᾷ φιλίᾳ νέμειν τὴν αἰδῶ, ὡς μὴ τὸν ἀδι-
κούμενον, ἀλλὰ τὸν ἀδικοῦντα αἰτίαν ὑπέχειν. Ὅλως δὲ πρὸς
πάντα τὰ τοιαῦτα κακὰ καὶ ἀτοπήματα μία ἐστὶν αὕτη προ-
φυλακὴ καὶ προμήθεια τὸ μὴ προπετῶς ἄρχεσθαι φιλεῖν
79 μήτε τοὺς ἀναξίους. Ἄξιοι δὲ τῆς φιλίας εἰσὶν, οἷς ἔνεστιν
αὐτοῖς αἰτία τις, δι' ἣν φιληθεῖεν ἄν. Τὸ δὲ γένος τουτὶ σπά-
νιόν ἐστι· καὶ δὴ σπάνια πάντα τὰ ὑπερφυῆ· καὶ οὐδέν ἐστι
χαλεπώτερον ἢ εὑρεῖν, ὃ ἐκ παντὸς κατὰ τὸ ἑαυτοῦ γένος τέ-
λειον ἂν ᾖ. Ἀλλ' οἱ πλεῖστοι ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν
ἀγαθὸν οἴδασιν οὐδὲν εἰ μὴ τὸ ἐπωφελὲς ὄν· καὶ φίλους οἱο-
νεὶ θρέμματα τοὺς τοιούτους ἀγαπῶσι μάλιστα, ἐξ ὧν πλεῖ-
80 στον ἂν δρέψασθαι τὸν καρπὸν ἐλπίζουσιν. Οὕτω δὲ τῆς καλ-
λίστης καὶ τῇ φύσει οἰκειοτάτης ἀμοιροῦσι φιλίας, ἣν καθ' ἑαυ-
τὴν καὶ δι' ἑαυτὴν αἱροῦνται· οὔτε παράδειγμα αὐτοὶ ἑαυτοῖς
ὑπόκεινται, οἵα τε καὶ ὅση ἡ τῆς φιλίας αὕτη δύναμις ὑπάρχει.
Πᾶς γάρ τις ἑαυτὸν ἀγαπᾷ, οὐχ ἵνα μισθόν τινα τῆς ἀγαπή-
σεως ταύτης αὑτὸν εἰσπράττῃ, ἀλλ' ὅτι ἕκαστος αὑτῷ καθ' ἑαυ-
τὸν ἀγαπητός ἐστιν. Ὅπερ ἐὰν μὴ εἰς τὴν φιλίαν μετενεχθῇ,
ἀληθὴς φίλος οὐκ ἂν εὑρεθείη ποτέ. τοιοῦτον δὲ λέγω, ὃς οἷον
81 ἕτερος ὁ αὐτός ἐστι. Εἰ δὲ ἐν τοῖς κτήνεσι τοῦτο καὶ τοῖς πτη-
νοῖς καὶ τοῖς νηκτοῖς καὶ ἀγρίοις τιθασσοῖς τε καὶ ἀνημέροις
φαίνεται, πρῶτον μὲν ὅπως ἀγαπῶσιν ἑαυτά (τοῦτο γὰρ ὁμοίως
τοῖς ζώοις ἅπασι συμφύεται)· ἔπειτα δ' ὅπως ζητοῦσι καὶ ἐφίεν-
ται τῶν ὁμογενῶν, ἵν' αὐτοῖς συναθροισθῶσι· καὶ τοῦτο
μετ' ἐπιθυμίας ποιοῦνται καὶ κατὰ μίμησίν τινα τῆς ἀνθρω-
πίνης ἀγαπήσεως· πόσῳ μᾶλλον φύσει τοῦτο ἐν ἀνθρώπῳ γί-
νεται, ὃς καὶ ἑαυτὸν φιλεῖ καὶ τὸν ἕτερον προσκτᾶται, οὗ
τὴν ψυχὴν οὕτω τῇ ἑαυτοῦ συνανακιρνᾷ ψυχῇ, ὡς μονονουχὶ
μίαν ἐξ ἀμφοῖν ἀπεργάζεσθαι.

---

79 καὶ — ὑπερφυῆ] *Praeclarus* non est ὑπερφυής, sed ἐπίσημος — ἐξαίρετος — ὑπερβάλλων.

οἴδασιν] Ἴσασιν Atticorum est; vd. de hac forma supra ad cp. 2.

δρέψασθαι τὸν καρπόν] Δρέπω et δρέπομαι poetis in usu, imprimis Pindaro: ut σοφίας καρπὸν δρέπειν Fragm. 227. vd. Ind. Vocab. in Edit. Boeckh. Tom. II. P. II. s. v. Apud scriptores prosaicos *fructum capere* i. q. καρπὸν κομίζεσθαι — λαμβάνειν — ἀπολαμβάνειν.

80 ὃς — ἐστι] Aristot. Ethic. ad Nicom. IX, 4. ἔστι γὰρ ὁ φίλος ἄλλος αὐτός. Ibid. IX, 9. ἕτερος γὰρ αὐτὸς ὁ φίλος ἐστί. Philon. Iud. fragm. T. II. p. 658. τὸ Πυθαγόρειον ῥῆμα, ὅτι ἄρα ἐστὶ φίλος ἕτερος ἐγώ.

81 ἵν' αὐτοῖς συναθροισθῶσι] *Se applicare ad aliquem* apud Cicer. i. q. Προστίθεσθαι — πλησιάζειν τινί — ἔχεσθαί τινος.

καὶ τὸν ἕτερον προσκτᾶται] *Et alterum acquirit*, quae lectio posthabenda alteri *anquirit* in optt. Edd. receptae. *Anquirere* i. q. ἀναζητεῖν — ἐρευνᾶν — διεξερευνᾶσθαι.

XXII. *Ἀλλ' οἱ πολλοὶ διεστραμμένως, ἵνα μὴ ἀναιδῶς* 82
*εἴπω, τοιοῦτον ἔχειν φίλον ἐθέλουσιν, ὁποίους παρέχειν ἑαυ-
τοὺς οὐ δύνανται· καὶ ἃ τοῖς φίλοις οὐ νέμουσιν αὐτοί,
παρ' ἐκείνων λαβεῖν ἀξιοῦσιν. Εἰκὸς δὲ τοῦτο δῆθέν ἐστι τὸ
καλοκάγαθὸν εἶναι αὐτὸν ἄνδρα πρῶτον, εἶτα δ' ἕτερόν τινα
ὅμοιον ἑαυτῷ ζητεῖν. Ἐν γὰρ τοῖς οὕτως ἔχουσιν ἐκεῖνο δή,
ὃ πάλαι γυμνάζομεν, τὸ μόνιμον τῆς φιλίας συγκρατεῖσθαι δύ-
ναται, ὅταν ἄνθρωποι τῇ εὐνοίᾳ πρὸς ἀλλήλους συνημμένοι
πρῶτον μὲν τῶν ἐπιθυμιῶν ἄρξουσιν, αἷς δουλεύουσιν οἱ λοι-
ποί· ἔπειτα δὲ τῇ ἐπιεικείᾳ καὶ δικαιοσύνῃ χαρήσονται καὶ
πάντα δ' ὑπὲρ ἑτέρου ὁ ἕτερος ἀναδέξεται καὶ οὐδὲν οὐδέποτε
εἰ μὴ καλῶς ἔχον καὶ ὀρθῶς παρὰ θατέρου ἅτερος αἰτήσεται,
οὐ μόνον δὲ θεραπεύσουσι καὶ φιλήσουσιν, ἀλλὰ καὶ αἰδέσον-
ται ἀλλήλους. Μέγιστον γὰρ τῷ ὄντι κόσμον ἀφαιρεῖται τῆς
φιλίας ὁ τῆς αἰδοῦς αὐτὴν ἀποστερῶν. Οὐκοῦν ὀλεθρία τού-
τοις πρόςεστιν ἀπάτη, οἳ παντοδαπῆς ἀκολασίας καὶ ἁμαρτίας
ἐξουσίαν ἐν τῇ φιλίᾳ νομίζουσιν ἐπιτετράφθαι. Τῶν γὰρ ἀρε-* 83
*τῶν συνεργός, οὐ τῶν κακιῶν ἀκόλουθος ἡ φιλία ὑπὸ τῆς φύ-
σεως ἐδωρήθη· ἵνα, ἐπειδὴ μονωθεῖσα ἡ ἀρετὴ τῶν ἀκροτά-
των ἐφικέσθαι οὐκ ἂν οἵα τε ἦν, συμπλακεῖσα τῇ ἑτέρᾳ καὶ
συζευχθεῖσα φθάνειν ἐκεῖ δυνηθῇ. ἡ δὲ αὐτὴ κοινωνία τινῶν
μεταξὺ ἐὰν ᾖ ἢ ἐγένετο ἢ μέλλει ἔσεσθαι, τούτους πρὸς τὸ
μέγιστον τυχεῖν τοῦ τῆς φύσεως ἀγαθοῦ βελτίστην καὶ εὐδαι-
μονεστάτην περιβεβλῆσθαι φρουρὰν ὑποληπτέον. Αὕτη δή* 84

Cap. XXII. *διεστραμμένως — ἔχειν*] *Perverse* rectius dicitur 82
ἀτόπως — οὐκ ὀρθῶς. Beier. eiecit *habere*.

καλοκάγαθόν] Lobeck. ad Phryn. p. 603. dubitat, num hoc vocabulum compositum Graecum haberi possit.

ὅταν — ἄρξουσιν — χαρήσονται — ἀναδέξεται — αἰτήσεται — θεραπεύσουσι — φιλήσουσιν — αἰδέσονται] Repone *ἄρξωσιν — χαρῶσι* (de Futur. *χαρησ.* posterioribus Graecis usitato vd. Pass. Lex. Matth. Gr. Gr. Vol. I. p. 496.) — *ἀναδέξηται* [pro *οὐδὲν οὐδέποτε* corr. *μηδὲν μηδέποτε*] — *αἰτήσηται — θεραπεύσωσι — φιλήσωσιν — αἰδεσθῶσιν*.

ὁ τῆς αἰδοῦς αὐτὴν ἀποστερῶν] Reposui *αἰδοῦς* pro *αἰδῶ* aperte falso.

τῶν γὰρ — ἐδωρήθη] *Enim* in aliquot Edd. et Cod. Dresd. a. 83
vulgo omittitur. Aor. 1. *ἐδωρήθη* significatione passiva rarissime reperitur: vd. Herod. VIII, 85. H. l. convenientius *ἐδόθη*.

ἐφικέσθαι — φθάνειν] Quum apud Ciceronem *pervenire — perveniret* exstet, nec *φθάνειν* simplicem notionem perveniendi, sed occupandi vel prius aliquid faciendi (cf. Lexica) habeat, *ἐφικέσθαι* bis ponendum est.

ἡ δὲ — ἐγένετο] Expressa est lectio *quae si quos inter societas*, at textus Latinus Petavii exhibet *quae si quos inter socios*, quae utrum sit varia lectio dicenda (nusquam certe enotata), an mendum typographicum non decrerim. Pro *ἐὰν ᾖ* motus verbis Ciceronis posuerim *εἰ ἢ ἔστιν ἢ ἐγένετο*.

ἐστι κοινωνία, φημί, ᾗ ἅπαντα πρόςεστι τὰ τοῖς ἀνθρώποις
περιμάχητα δοκοῦντα, τό, τε σεμνὸν καὶ τὸ ἔνδοξον καὶ τὸ
εὔθυμον καὶ ἡδύ· ὡς τούτων μὲν παρόντων εὐδαίμονα τὸν βίον
εἶναι, ἄνευ δὲ τούτων οὐδαμῶς ἂν εἶναι. Οὗ δὴ ἀρίστου ὄντος
καὶ μεγίστου ἐὰν θέλωμεν ἐπιτυχεῖν, προςεκτέον ἐστὶ τῇ ἀρετῇ·
ἧς ἄνευ οὔτε φιλίαν οὔτ᾽ ἄλλο τι πρᾶγμα περισπούδαστον
λαβεῖν ἀδύνατον ἡμῖν· ἀμελουμένης δ᾽ ἐκείνης οἱ φίλους ἔχειν
οἰόμενοι τότε γοῦν τῆς γνώμης ἁμαρτόντες ᾔσθοντο, ὅταν
85 ὑπὸ δεινῆς τινος συμφορᾶς πείρᾳ μαθεῖν ἀναγκάζωνται. Τοι-
γαροῦν (πολλάκις γὰρ τοῦτο λεκτέον) ἀνακρίναντα δεῖ φιλεῖν,
οὐκ ἀνακρίνειν ἤδη φιλοῦντα. Ἐν πολλοῖς μὲν οὖν διὰ τὴν
ῥαθυμίαν κακῶς ἀπαλλάττομεν, οὐχ ἥκιστα δ᾽ ἐπὶ τῆς ἐκλο-
γῆς καὶ θεραπείας τῶν φίλων. ἔμπαλιν γὰρ ἢ ἐχρῆν βου-
λευόμεθα καὶ τὰ ἤδη δρασθέντα δρῶμεν, ὅπερ ὁ παλαιὸς ἀπα-
γορεύει λόγος. Εἰς γὰρ τὴν πρὸς ἀλλήλους σχέσιν ἐμπλακέν-
τες εἴτε ἐκ τῆς χρονίας ἐπιμιξίας εἴτε ἐκ τῆς τῶν καθηκόν-
των ἀμοιβῆς παραχρῆμα τὴν φιλίαν, ἐπιφυέντος τινὸς προς-
κόμματος, ἀπεῤῥήξαμεν.
86 XXIII. Ὅθεν ἡ οὕτως ἀναγκαίου τοῦ πράγματος ὀλιγω-
ρία τοσούτῳ μείζονα ψόγον ὀφλισκάνει. Μόνη γάρ ἐστιν ἡ
φιλία ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν, ἧς τὸ χρήσιμον ἅπαν-
τες συμφώνως ἀνακηρύττουσιν. Καίτοι αὐτὴ ἡ ἀρετὴ ὑπὸ
πολλῶν καταφρονεῖται καὶ οὐδὲν ἄλλο ἢ κόμπος εἶναι καὶ ἀλα-
ζονεία λέγεται. Πολλοὶ τὸν πλοῦτον ὑπερορῶσιν οἱ διὰ τὴν
ὀλιγαρκίαν τῇ λιτῇ διαίτῃ καὶ θεραπείᾳ χαίροντες· τῶν δὲ τι-

τούτους — ὑποληπτέον] Non recte Ciceronis verba reddita sunt: *eorum est habendus ad summum naturae bonum optimus beatissimusque comitatus. Comitatus* est πομπή: φρουρὰν περιβεβλῆσθαι ab h. l. prorsus alienum.

84 τό τε σεμνόν] *Honestas* h. l. i. q. τὸ καλόν.

καὶ ἡδύ] Rectius καὶ τὸ ἡδύ.

οὐδαμῶς] Corrige μηδαμῶς.

85 Τοιγαροῦν — φιλοῦντα] Praeceptum hoc Theophrasti exstat apud Plutarch. de fratern. amor. cp. 8. Vol. X. Hutt. οὐ φιλοῦντα δεῖ κρίνειν, ἀλλὰ κρίναντα φιλεῖν.

καὶ — δρῶμεν] Erasmus Adag. p. 151. Ed. Bas. hoc proverbium Graece interpretatur: τὸ πραχθὲν μὴ πράξῃς.

παραχρῆμα — ἀπεῤῥήξαμεν] *Repente in medio cursu amicitias exorta aliqua offensione dirumpimus* Cic. Omissum est *in medio cursu;* pro τὴν φιλίαν ponendum τὰς φιλίας, pro ἐπιφυέντος aut ἐπιφύντος (nam Aor. II. Pass. apud scriptores posteriores reperitur) aut rectius γενομένου; pro προςκέμματος, quod non est *offensio*, προςκρούματος. Petavius Cap. 24. *offensionem* recte interpretatur πρόςκρουσιν.

86 Cap. XXIII. οἱ — χαίροντες] Correxi mendum typographicum ὀλιγαρχίαν pro ὀλιγαρκίαν.

*μῶν, πρὸς ἃς μετὰ φλεγμαινούσης τῆς ἐπιθυμίας κεχήνασί τι-
νες, πόσοι οὕτως ὀλιγωροῦσιν, ὡς οὐδὲν κενώτερον οὐδὲ κου-
φότερον ἡγεῖσθαι; Καὶ τἄλλα δ' ἐφεξῆς, ἅ τισι θαυμαστὰ
δοκεῖ, πολλοὶ περὶ οὐδενὸς ποιοῦνται. Περὶ δὲ τῆς φιλίας
καθ' ἕνα πάντες τὸ αὐτὸ φρονοῦσιν, οἵ τε τὰ πολιτικὰ διοι-
κοῦντες, καὶ οἱ τῇ τῶν ὄντων γνώσει καὶ παιδείᾳ τερπόμενοι,
οἵ τε τὰ ἑαυτῶν ἰδίᾳ πράττοντες καὶ τὸν ἀπράγμονα βίον ἑλό-
μενοι, τελευτῶντές τε οἱ ὅλους ἑαυτοὺς ταῖς ἡδοναῖς ἐκδεδω-
κότες, πάντες οὗτοι δίχα φιλίας ἀβίωτόν σφισι τὸν βίον νομί-* 87
*ζοιεν ἄν, εἴπερ ἀμηγέπη ἐλευθερίως ζῆν ἐθέλοιεν. Διαδύεται
γὰρ διὰ τῆς συμπάντων ὑφέρπουσα ζωῆς οὐκ οἶδ' ὅπως ἡ
φιλία, καὶ μηδεμίαν τοῦ βιοῦ αἵρεσιν ἀμέτοχον ἑαυτῆς ἐᾷ.
Ἀλλ' εἰ καί τις ἄγριος οὕτως καὶ θηριώδης πέφυκεν, ὡς τὰς
ἀνθρώπων ὁμιλίας καὶ κοινωνίας φεύγειν, οἷον Ἀθήνησι γενέ-
σθαι Τίμωνα, ὅςτιςοῦν ποτ' ἦν οὗτος, ἠκούσαμεν· οὐκ ἂν
ὅμως τοιοῦτος ὢν ἀνάσχοιτο, μὴ οὐχ ἕτερον ἀναζητεῖν τινα,
εἰς ὃν τῆς ἑαυτοῦ πικρίας τὸν ἰὸν ἐξεμέσοι. Μάλιστα δ' ἂν
τοῦτο διαγινώσκοιτο, εἰ τοιοῦτό τι συμβαίη, ὥςθ' ὑπό του
τῶν θεῶν ἡμᾶς ἐκ μέσου τῶν ἀνθρώπων πλήθους μετενεχθέν-
τας ἐν ἐρημίᾳ που καταστῆναι, κἀκεῖ πάντων, ὧν ἡ φύσις ἐπι-*

πόσοι — ὡς οὐδὲν — οὐδὲ — ἡγεῖσθαι;] Corrige *ὅσοι — μηδὲν — μηδέ*, nam Petavius neque *πόσοι* cum signo interrogandi, neque *οὐδὲν — οὐδέ* ob infinitivum *ἡγεῖσθαι* recte posuit.

οἳ — ἑλόμενοι] Brevius cum Cicerone *qui suum negotium gerunt otiosi: οἵ τε τὰ ἑαυτῶν ἀπράγμονες πράττοντες.* E Beieri annotatione ad h. l. haec afferre placet: „Eiusmodi *ἀπράγμονες* vel *ὀλιγοπράγμονες*, a re publica gerunda abstinentes, dicuntur etiam *σχολασταί, σχολαστικοί*, atque ipsi praedicantur *σχολάζειν*. — — Opponuntur hinc *ἀπραγμοσύνη καὶ ἡσυχία*; illinc *πολιτεία*, tamquam *ἀλλοτριοπραγία ἐπίπονος*. Plut. de amic. et adul. cp. 8. et 14."

νομίζοιεν — ἐθέλοιεν] *Sentiunt* post *nullam*, recte in multis Codd. optimisque Edd. omissum, male expressum est Optativo pro Indicativo.

Διαδύεται — μηδεμίαν] Secutus est Petavius lect. deteriorem *vitam* pro *vitas*. Si *serpere per aliquid* ad verbum reddes, est *διέρπειν*. Apud Xenoph. Memor. II, 6, 22. alia notione *διαδύομαι* exstat: *ἀλλ' ὅμως διὰ τούτων πάντων ἡ φιλία διαδυομένη συνάπτει τοὺς καλούς τε καὶ ἀγαθούς*. Pro *μηδεμίαν* corr. *οὐδεμίαν*. 87

ὡς — φεύγειν] *Et societatem* post *congressus*, a plerisque Edd. iure omissum, expressum est.

εἰς — ἐξεμέσοι] Est locutio Aeschyl. Eumen. v. 719 — 20. Schütz. *Σύ τοι τάχ' οὐκ ἔχουσα τῆς δίκης τέλος Ἐμεῖ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.* *Apud quem* h. l. h. q. *παρ' ᾧ — πρὸς ὅν* (vd. Passov. Lex. s. *πρός* C. I. c.), quum *εἰς ὅν* in *quem* significare possit.

θυμεῖ, τὴν χορηγίαν ἐπιδαψιλευόμενον ἐκεῖνον, μηδένα παν-
88 *τάπασι τῶν ἀνθρώπων ὁρᾶν ἐπιτρέπειν. Τίς οὖν οὕτω σιδη-ροῦς ὢν εἴη, ὡς τοιούτου ἀνέχεσθαι ἂν βίου καὶ μὴ τῶν ἡδέων πάντων ἀπόλαυσιν ἐκ τῆςδε τῆς ἐρημίας ἀποστερεῖσθαι; Ἔστι τοίνυν ἀληθὲς ἐκεῖνο, ὅπερ Ἀρχύταν οἶμαι τὸν ἐκ Τάραν-τος εἰπεῖν εἰωθέναι λεγόντων ἤκουσα τῶν ἡμετέρων πρεσβυτῶν, ὡς καὶ παρ' ἑτέρων πρεσβυτῶν προακηκοότες ἦσαν· ὅτι ἐὰν εἰς οὐρανὸν ἀναβαίη τις κἀκεῖ τὴν τοῦ κόσμου φύσιν καὶ τῶν ἀστέρων τὸ κάλλος κατανοήσειεν, ἀηδὲς ἂν ἐκείνῳ τὸ θαῦμα τουτὶ γενέσθαι, ὅπερ ἥδιστον ἂν ἐγένετο δήπου, εἴ τινα εἶχε, πρὸς ὃν ἂν διηγήσαιτο. Οὕτως ἄρα ἡ φύσις οὐδὲν ἔρημον φι-λεῖ ἀεί τε πρός τι οἷον ὑπέρεισμα βιάζεται· ὃ καὶ ἐφ' ἑκάστου τῶν φιλτάτων προςηνέστατόν ἐστι.*

XXIV. *Ἀλλ' εἰ καὶ διὰ τοσούτων σημείων ἡ αὐτὴ δη-λοῖ φύσις, ὅ,τι βούλεται καὶ ἀναζητεῖ καὶ ἐπιποθεῖ· ὅμως ἐκκεκωφώμεθα τρόπον τινά, οὔτε, ἃ ἐκείνη παρεγγυᾷ ἡμῖν, ἀκούομεν. Ποικίλη γάρ ἐστι καὶ πολύτροπος τῆς φιλίας ἡ χρῆ-σις, πολλαὶ δ' αὖ ὑποψιῶν καὶ προςκρούσεων ἀφορμαὶ δίδον-ται, ἃς πῇ μὲν ἐκκλίνειν, πῇ δ' ἐλαττῶσαι, πῇ δ' εὐγνωμό-νως φέρειν ἔμφρονος ἔργον ἐστὶν ἀνθρώπου. Μόνην δὴ ἐκεί-νην ἐπικουφίζειν δεῖ τὴν πρόςκρουσιν, ὅπως τό τε ὠφέλιμον καὶ τὸ πιστὸν ἐν τῇ φιλίᾳ τηρηθῇ. Καὶ γὰρ νουθετεῖν χρὴ πολλάκις τοὺς φίλους καὶ τούτοις ἐπιπλήττειν· καὶ ταῦτα εὐ-*
89 *μενῶς οἰστέον, ὅταν μετ' εὐνοίας γένηται. Ἀλλ' οὐκ οἶδ' ὅπως*

τὴν χορηγίαν ἐπιδαψιλευόμενον] *Suppeditans — abundantiam et copiam* ad verb. reddi quoque potest: *παρέχοντα τὴν περιουσίαν καὶ ἀφθονίαν (εὐπορίαν — δαψίλειαν)*.

καὶ — ἀποστερεῖσθαι] Herodotus *ἐκ* pro *ὑπό* (apud Atticos) transitivo usurpare solet vd. Bernhardy wiss. Syntax. p. 192. Schweigh. Lex. Herodot. P. I. p. 192.

88 *Τάραντος*] Correxi pro *Ταράντου*.

εἶχε — προςηνέστατον] *Anniti* non est *βιάζεσθαι*, sed *προςανακλίνεσθαι*: *iucundus ἡδύς — χαρίεις — ἀρεστός*, non *προςηνής*: *amicissimus quisque* i. q. *οἱ φίλτατοι*. Pro *εἶχε* corr. *ἔσχε*.

Cap. XXIV. *Ἀλλ' εἰ*] *Sed quum* i. q. *Ἀλλ' ὅτι — ἐπεί*.

οὔτε — ἀκούομεν] *Nec — audimus*, rectius *οὐδέ* vd. Buttmann. Gr. gr. §. 186. p. 435. Edit. X.

πῇ μέν] Corrige *πή*, nam *πῇ* est interrogativum, quae scriptura omisso ι subscripto nunc praefertur vd. Passov. et Rost. Lexx. Blum. ad Lycurg. cp. 8. Thiersch. Gr. §. 181, 2. e. *πῆ*, at §. 351, 2. h. *πῇ*. Herm. ad Viger. p. 794. *πή* exhibet.

Μόνην — πρόςκρουσιν] *Una illa sublevanda offensio est* Cic. *Sublevare*, interpretibus Gernhardo et Beiero i. q. *caute subire*, explicuerim *πεφυλαγμένως — μετ' εὐλαβείας ὑποδύεσθαι — ὑφίστασθαι*.

ἀληθεύει τὸ ἐν τῇ Ἀνδρίᾳ εἰρημένον ὑπὸ τοῦ οἰκείου ἐμοῦ Τερεντίου·

Φίλους θεραπεία, μῖσος ἀληθείη τίκτεν.

Λυπηρόν τι ἡ ἀλήθεια, εἴπου μῖσος ἐξ αὐτῆς τίκτεται, ὃ τῆς φιλίας δηλητήριόν ἐστιν· ἀλλ' ἡ θεραπεία πολλῷ ἐστι λυπηροτέρα, ἣ συγγινώσκουσα ταῖς ἁμαρτίαις κατὰ κρημνῶν ἐᾷ φέρεσθαι τοὺς φίλους· τὸ πλεῖστον δ' αἰτίας ἔχει, ὃς καὶ τῆς ἀληθείας ὑπερορῶν καὶ ὑπὸ τῆς θεραπείας ἀπατηθεὶς εἰς ζημίαν ἐμβάλλεται. Πάντα τοίνυν καὶ λόγον καὶ σπουδὴν εἰς τοῦτο κινητέον, ὅπως ᾖ καθαρεύουσα καὶ τῆς πικρίας ἡ νουθεσία, καὶ τῆς ἐπηρείας ἡ ἐπίπληξις. Ἐν μέντοι θεραπείᾳ (ἐπειδὴ τῇ τοῦ Τερεντίου φωνῇ ἡδέως χρώμεθα) ἡ φιλοφροσύνη ἐπανθείτω· θωπεία δ' ἡ ταῖς κακίαις βοηθὸς παρεστῶσα μακρὰν ἀπῳκίσθω, ἥτις οὐχ ὅσον φίλῳ, ἀλλ' οὐδ' ἐλευθέρῳ πρέπει. Ἄλλως γὰρ τῷ τυράννῳ, ἄλλως δὲ τῷ φίλῳ προς-
ενεκτέον. Εἴ τινος δὲ τὰ ὦτα πρὸς τὴν ἀλήθειαν ἀποκέκλει- 90
σται, τούτου ἀπέγνωσται ἡ σωτηρία. Ἀστείως γὰρ τοῦτο ὑπὸ τοῦ Κάτωνος εἴρηται· παρὰ πολὺ ἄμεινον ὑπὸ τῶν ἀνηκέστων ἐχθρῶν πάσχειν τινὰς ἢ ὑπὸ τῶν προςηνῶν εἶναι δοκούντων φίλων· ἐκείνους γὰρ πολλάκις τἀληθὲς λέγειν, τούτους δὲ μηδεπώποτε. Ἐνταῦθα δ' ἄτοπον τοῦτο συμβαίνει, ὅτι οἱ σωφρονιζόμενοι δῆθεν, ἣν ὤφειλον ἀγανάκτησιν, οὐ

ἀληθεύει — Τερεντίου] *Terentius* est glossema vd. Gernh. et Beier. Orell. *Verum est* h. l. i. q. *ἀληθές ἐστι: ἀληθεύειν* i. q. *verum dicere.* 89

θεραπεία — ἀληθείη] *Θεραπεία* non accurate exprimit *obsequium,* h. l. in malam partem accipiendum; posuerim *πειθαρχία — ὕπειξις — συγχώρησις.* Form. Ion. *ἀληθείη* metri causa posuit.

ὅπως ᾖ καθαρεύουσα — καί] Petavius *primum — deinde:* pro *καθαρεύουσα ᾖ* (i. e. *careat*) aptius videtur *ἀπαλλαγεῖσα ᾖ.*

κατὰ — φίλους] *Praecipitem amicum ferri* sinit ad verb. quidem recte, sed *praecipitem ferri* h. l. i. q. *φέρεσθαι — δοῦναι ἑαυτὸν εἰς ἀπώλειαν — κακόν — ἐπισπᾶσθαι κακά — περιπεσεῖν συμφοραῖς.*

ἐπανθείτω — ἀπῳκίσθω] *Assit — removeatur,* i. e. *παρέστω — ἀπέστω — πόῤῥω γιγνέσθω,* quae verba aptiora sunt quam quibus Petavius usus est.

τὰ ὦτα — ἀποκέκλεισται] *Aures claudere* apud Lucian. *ἐπιφράττειν — ἀποφράττειν — ἐπιβύειν τὰ ὦτα* vd. Lex. Lucian. s. v. *οὖς.* 90

τούτου ἀπέγνωσται ἡ σωτηρία] *Huius salus desperanda est* i. e. *τούτου ἀπογνωστέα ἡ σωτηρία.* Apud Plut. de sent. profect. virtut. cp. 11. *ἀνήκεστοι* hi homines dicuntur.

Ἀστείως — φίλων] Expressa est lectio *Scitum enim est illud Catonis: multo melius.* Vulgata in optt. Edd. est *Scitum enim est illud Catonis, ut multa. Acerbi, dulces amici* aptius eodem tropo servato dicuntur *πικροί — γλυκεῖς; dulces πρὸς χάριν — κεχαρισμένως ὁμιλοῦντες* ap. Plut. de adul. cp. 2. A Plutarcho *σπουδαῖος — ἀγαθὸς φίλος* et *διάπυρος ἐχθρός* sibi opponuntur, vd. Beier. ad h. l.

δέχονται. Ἐπὶ γὰρ τῷ ἁμαρτεῖν οὐκ ἀλγοῦντες πρὸς τὸ ἐπιτιμᾶσθαι βαρέως ἔχουσι· δέον τοὐναντίον τοῖς μὲν πλημμεληθεῖσιν ἐπιστυγνάζεσθαι, ταῖς δ' ἐπιπλήξεσι χαίρειν.

91 XXV. Ὥςπερ τοίνυν τὸ νουθετεῖν τε καὶ νουθετεῖσθαι τῆς ἀληθινῆς ἴδιόν ἐστι φιλίας, καὶ θάτερον μὲν μετὰ παῤῥησίας, ἀλλ' οὐκ ἀπηνῶς δρᾶν, θάτερον δὲ μακροθύμως, καὶ οὐκ ἀντιβαίνοντα προςδέχεσθαι· οὕτως ἐνθυμητέον, μηδεμίαν ἐν ταῖς φιλίαις ἐξωλεστέραν εἶναι λύμην ἢ κολακείαν, ἀρέσκειαν, θωπείαν. ὅτι πλείστοις γὰρ ὀνόμασι τήνδε σημειῶσαι δεῖ τὴν κακίαν, ἣ κούφων ἐστὶν ἀνθρώπων καὶ ἀπατηλῶν,
92 πάντα πρὸς χάριν λεγόντων, οὐδὲν δὲ πρὸς ἀλήθειαν. Πάντων δὲ πραγμάτων ἡ προςποίησις οὖσα φαύλη (ἀφαιρεῖ γὰρ τὸ κριτήριον τἀληθοῦς καὶ τοῦτο παραποιεῖ) καὶ τῇ φιλίᾳ διαφερόντως ἀντίκειται, ὡς ἀφανίζουσα τὴν ἀλήθειαν, ἧς ἄνευ τὸ τῆς φιλίας ὄνομα οὐδὲν ἁπαξαπλῶς ἰσχύει. Ἐπειδὴ γὰρ ἡ τῆς φιλίας ἐν τούτῳ κεῖται δύναμις, τῷ μίαν ἐκ πολλῶν συστῆναι ψυχήν· πῶς ἂν γένοιτο τοῦτο, εἰ μηδ' ἐν ἑνὶ μία ἔσται ἀεὶ ψυχή, ἀλλὰ ποικίλη, ἀγχίστροφος καὶ παντοίας δεχομένη τὰς
93 ἐξαλλαγάς; Τί γὰρ οὕτως εὔκαμπτον καὶ τῆς ὀρθῆς ἐκκλῖνον οὕτως ἂν εἴη, ὡς ἐκείνου ψυχή, ὅςτις πρὸς τὴν ἑτέρου οὐ μόνον γνώμην καὶ βούλησιν, ἀλλὰ καὶ τὸ βλέμμα καὶ νεῦμα μεταστρέφεται;

Ἀπέφη τις; ἀπέφην· φησί; φημ'. αὐτὸς δ' ὅλως ἐπέταξά μοι
Τὰ πάντα κολακεύειν,

ὡς ὁ αὐτὸς λέγει Τερέντιος. Ἀλλ' ἐκεῖνος μὲν ὡς ἐκ προςώπου τοῦ Γνάθωνος, οἷον δὴ τῶν φίλων ἑαυτῷ συνάψαι γένος πρὸς

τοῖς πλημμεληθεῖσιν ἐπιστυγνάζεσθαι — ἐπιπλήξεσι] *Dolendi* significatione ἐπιστυγνάζειν apud Basilium et Theophylactum legitur. Pro πλημμεληθεῖσιν — ἐπιπλήξεσιν posuerim πλημμελείᾳ — ἐπιπλήξει, quum Cicer. scripserit *delicto — correctione.*

92 Cap. XXV. παραποιεῖ] *Adulterare* h. l. rectius dicitur διαφθείρειν.

τῷ — ψυχήν] Aristot. ap. Diog. Laërt. V, 20. *Τί ἐστι φίλος; Μία ψυχὴ δύο σώμασιν ἐνοικοῦσα.*

καὶ — ἐξαλλαγάς] *Multiplex* h. l. i. q. πολύμορφος — παντοδαπός. Plutarch. de adul. cp. 9. Hutt. ὁ δὲ κόλαξ — οὐδὲ εἷς, ἀλλὰ παντοδαπός ἐστι καὶ ποικίλος.

93 Ἀπέφη — τις — φημ'] „Opponuntur verba *aio nego* ad modum Graecorum οὔ φημι et φημί." Beier.

κολακεύειν] *Assentari* h. l. i. q. supra *ad voluntatem loqui*, πρὸς χάριν — ἡδονὴν λέγειν. Herodot. VII, 101. κότερα ἀληθηΐῃ χρήσομαι πρὸς σὲ ἢ ἡδονῇ: vd. Beier ad h. l.

οἷον — ἐστί] In lect. vulgata *quod amici genus adhibere, omnino levitatis est* Gernh. et Beier. *amici* uncis incluserunt, recte liberavit Orell. Petavius interpretatus est tanquam scriptum es-

ἀνθρώπων πάντως εἰκαίων ἐστί. Πολλοὶ δὲ τοῦ Γνάθωνος 94
ὄντες ὅμοιοι τάξει τε καὶ τύχῃ καὶ δόξῃ ὑπερέχουσι· τούτων δὴ
φορτική ἐστιν ἡ κολακεία, ὅταν τῇ ἀλαζονείᾳ ἡ αὐθεντία προς-
γένηται. Τοῦ μέντοι ἀληθινοῦ φίλου τὸν πρὸς χάριν ὁμιλοῦντα 95
διακρίνειν, ἐάν τις μετ' ἐπιμελείας προςέχῃ, καὶ διαγνῶναι
οὐχ ἧττον δύναται ἢ πάντα τἄλλα πεπλασμένα καὶ προςποίητα
τῶν εἰλικρινῶν καὶ ἀληθῶν. Αὐτίκα γὰρ ἡ ἐκκλησία, ἥτις ἐκ
τῶν ἐσχάτως ἀπαιδεύτων συνέστηκεν, ὅμως ἐπικρίνειν τὴν με-
ταξὺ τοῦ δημοκόπου, ἤγουν κολακικοῦ καὶ εἰκαίου πολίτου, καὶ
τοῦ βεβαίου καὶ ἐμβριθοῦς καὶ σεμνοῦ διαφοράν. Οἵαις πρώην
Γάϊος ὁ Παπίριος θωπείαις εἰς τὰς τοῦ δήμου ἀκοὰς ὑπεδύετο,
ἡνίκα νόμον εἰςέφερε, τὸν αὐτὸν πάλιν αἱρεῖσθαι δήμαρχον
ἐπιτρέποντα, ἀντιλεγόντων ἡμῶν; Ἀλλ' οὐδὲν περὶ ἐμοῦ τα- 96
νῦν· περὶ δὲ τοῦ Σκηπίωνος προθυμότερον ἐρῶ. Ὅσον, ὦ
θεοί, ἐνῆν αὐτῷ τὸ σεμνόν; ὅσον δ' ἐπήνθει τῷ λόγῳ αὐτοῦ
τὸ ἀξίωμα; ὥςτε ῥᾳδίως ἄν σε τοῦ δήμου τῶν Ῥωμαίων ἡγε-
μόνα, οὐκ ἀκόλουθον ἐκεῖνον εἰπεῖν. Ἀλλὰ παρεγίνεσθε λέ-
γοντος ὑμεῖς, καὶ ἐν χερσὶ λόγος ἐστί. Οὐκοῦν ὁ τῷ δήμῳ χα-
ριζόμενος νόμος ὑπὸ δημοτικῶν ἠκυρώθη τῶν ψήφων. Ἵνα
δὲ πρὸς τὰ κατ' ἐμὲ πάλιν ἐπανέρχωμαι, μέμνησθε δήπου,
ἐφ' ὅσον δημοτικὸς ἦν ὁ περὶ τῶν ἱεροσυνῶν νόμος, ὃν Γάϊος
Λικίνιος Κράσσος ἐπὶ Κοΐντου Μαξίμου τοῦ Σκηπίωνος ἀδελ-
φοῦ καὶ Λουκίου Μαγκίνου ὑπατευόντων εἰςήνεγκεν. διὰ τού-
του γὰρ ἡ εἰς τὸν ἱερατικὸν σύλλογον εἴςκρισις πρὸς τὴν τοῦ
δήμου εὐεργεσίαν μετετίθετο. Κἀκεῖνος μὲν δὴ πρῶτον εἰς τὴν
ἀγορὰν στραφεὶς δημηγορεῖν ἤρξατο· ἀλλ' οὐδὲν ἧττον τούτου
πιθανὸν τὸν λόγον ἡ τῶν θεῶν θρησκεία ἀναφερόντων ἡμῶν

---

set amicorum. — Beierus comparat Graec. οἷόν τι φίλου χρῆμα — εἶδος.

Πολλοὶ — ὅμοιοι] Ὅμοιος cum Genitivo rarius struitur vd. Matth. 94
Gr. Gr. Vol. II. § 386. n. 2. Bernhardy. wiss. Syntax. p. 140. Krüg. ad Xen. Anab. IV, 1, 18. item ἴσος vd. Ochsner. ad Olivet. Eclog. Cicer. p. 197. Ed. II.

Αὐτίκα γάρ] De suo adiecit Petavius.

ἡνίκα — ἐπιτρέποντα] Ciceronis verba non accurate reddita sunt: 95
cum ferret legem de tribunis plebis reficiendis.

Οἵαις — ἡμῶν;] Male signum interrogandi positum, ut insequenti paragrapho post σεμνόν et ἀξίωμα.

Ἀλλὰ παραγίνεσθε — ἐν χερσὶ λόγος ἐστί] Rectius παρεγένεσθε — 96
ἐν χερσὶν ὁ λόγος, vd. Cicer. Infra praestat form. ἱερωσυνῶν.

Κἀκεῖνος — ἤρξατο] Plutarch. C. Gracchum in Vit. cp. 5. auctorem huius facti fuisse narrat: Λέγεται — καὶ τῶν πρὸ αὐτοῦ πάντων δημαγωγῶν πρὸς τὴν σύγκλητον ἀφορώντων καὶ τὸ καλούμενον κομίτιον, πρῶτον τότε στραφεὶς ἔξω πρὸς τὴν ἀγορὰν δημηγορεῖν.

ἀναφερόντων ἡμῶν] Defendere i. q. ἀπολογίαν ποιεῖσθαι — ἀπολογεῖσθαι ὑπέρ τινος — συνηγορεῖν.

ῥᾳδίως ἐνίκησε. Τοῦτο μὲν οὖν ἐπ' ἐμοῦ στρατηγοῦ πρὸ πέντε
τῆς ἐμῆς ὑπατείας ἐτῶν ἐγίνετο. Οὐκοῦν ἐκ τῆς τοῦ πράγμα-
τος φύσεως μᾶλλον ἢ ἐκ τοῦ ἀξιώματος αὕτη ἡ δίκη προστα-
σίας ἔτυχε.

97 XXVI. Εἰ δ' ἐπὶ τῆς σκηνῆς, τουτέστιν ἐπ' ἀγορᾶς,
ὅπου τὰ πεπλασμένα καὶ ἐσχηματισμένα ὅτι μάλιστα χώραν
ἔχει, τἀληθὲς ὅμως ἰσχύει, εἰ φωραθείη ποθὲν καὶ λαμπρῶς
ἀναφαίνοιτο· τί χρὴ κατὰ τὴν φιλίαν γενέσθαι, ἥτις ὅλη πρὸς
τὴν ἀλήθειαν ἀνακρίνεται; Ἐν ᾗ ἐὰν μὴ τὸ στῆθος, ὡς λέ-
γουσιν, ἀναπεπταμένον ἴδῃς, καὶ τὸ σὸν δ' ἐπιδεικνύῃς αὐτός,
πιστὸν οὐδὲν οὔτε σαφῶς ἐγνωσμένον ἂν ἔχοις· ἀλλ' οὐδὲ φι-
λεῖν ἢ φιλεῖσθαι δυνηθείης ἄν, ἐφ' ὅσον τοῦτο ἀληθῶς καὶ
ἀπλάστως γίνεται οὐκ εἰδώς. Καίτοι αὕτη ἡ κολακεία, καίπερ
ἐπιβλαβὴς οὖσα, οὐδένα λυμαίνοιτ' ἂν ὅμως εἰ μὴ τὸν προς-
ιέμενον καὶ ἡδόμενον αὐτῇ. Ὅθεν εἰς τοῦτο περίσταται τὸ
πρᾶγμα, ὡς ἐκεῖνον μάλιστα τὰ ὦτα τοῖς κόλαξιν ὑπέχειν, ὃς
98 ἑαυτὸν κολακεύει καὶ οὐχ ἥκιστα ἥδεται αὐτὸς ἑαυτῷ. Ὅλως
δ' αὐτῆς ἐρᾷ ἡ ἀρετή. καὶ γὰρ οἶδε κάλλιστα ἑαυτήν, καὶ ὡς
ἀξιέραστός ἐστι κατανοεῖ. Ἀλλ' ἔγωγε τανῦν οὐ περὶ ἀρετῆς
λέγω, δόξης δὲ μᾶλλον τῆς ἐπ' αὐτῇ. οὐ τοσοῦτοι γὰρ αὐτὴν
κεκτῆσθαι τὴν ἀρετὴν ἢ δοκεῖν ἐθέλουσιν. Οὗτοι ἥδονται
κολακευόμενοι· τούτοις ἡ πρὸς χάριν ἀναπεπλασμένη ὅταν ὁμι-
λία προσάγεται, τὸν κενὸν τουτονὶ λόγον ἰδίων ἐπαίνων εἶναι
μαρτυρίαν ὑπολαμβάνουσιν. Οὐδεμία γοῦν τοιαύτη ἐστὶν ἡ
φιλία, ὅτε ὁ μὲν ἕτερος τἀληθὲς ἀκούειν οὐ βούλεται, ὁ δ' ἕτε-
ρος εἰς τὸ ψεύδεσθαι παρεσκευασμένος ἐστίν. οὐδὲ μὴν τῶν
ἐν ταῖς κωμῳδίαις παρασίτων ἐπίχαρις ἦν ἡ κολακεία, εἰ μή
τινες ἦσαν ἀλαζόνες οἱ στρατιῶται.

Μεγάλην ἐμοὶ γοῦν ἔσχεν ἡ Θαΐς χάριν;

ἤρκει μὲν ἀποκρίνασθαι, ὅτι μεγάλην· ὁ δὲ ὑπερφυῆ λέγει.
Ἐπιεικῶς γὰρ ἐπαύξειν οἶδεν ἡ κολακεία, ὃ μέγα ἐκεῖνος εἶναι
99 βούλεται, οὐ πρὸς χάριν εἴρηται. Τοιγαροῦν εἰ καὶ τὸ κενὸν
τόδε προσηνὲς ὂν παρὰ τούτοις δυνατόν ἐστιν, οἳ ἐπισπῶνται
καὶ προσκαλοῦσιν αὐτοί· παραγγελτέον ὅμως κἂν τοῖς ἐμβρι-
θεστέροις καὶ εὐσταθεστέροις δοκοῦσίν ἐστιν, ὅπως τὸν νοῦν
προσέχωσι, μὴ ἄρα ὑπὸ τῆς σεσοφισμένης κολακείας ἁλῶσι.
Τὸν γάρ τοι φανερῶς κολακεύοντα οὐδεὶς ὅστις οὐχ ὁρᾷ, ἣν

---

97 Cap. XXVI. τὰ ὦτα τοῖς κόλαξιν ὑπέχειν] Ὑπέχειν οὖας Simonid. τὰ ὦτα ἀναπεταννύναι Lucian. de histor. conscrib. cp. 7. ibiq. Herm.

98 ὅταν — προσάγεται] Corr. προσάγηται.
Μεγάλην — ἔσχεν — χάριν] *Gratias agere* i. q. χάριν ὁμολογεῖν — χάριτας λέγειν; χάριν ἔχειν i. q. *gratiam habere*.

99 ὅμως κἂν — δοκοῦσιν] Corr. ὅμως καὶ i. e. *tamen etiam*: δοκοῦσι abesse potest.

μὴ κομιδῇ ἀνόητος εἴη· ὁ δὲ πανοῦργος καὶ κρυπτὸς ἐκεῖνος μὴ λάθοι παρεισδὺς, πάντι τρόπῳ φυλακτέον ἐστίν· οὐδὲ γὰρ ῥαδίως διαγινώσκεται, ἅτε δεινὸς ὢν, κἂν ἐναντιούμενος, πολλάκις ὑποθωπεύειν καὶ προσσαίνειν ἐν ᾧ διαφερόμενος καὶ ἀμφισβητῶν φαίνεται, ὥστε τελευτῶν δὴ ὑπείκειν καὶ ἐθελοκακεῖν, ἵνα ὁ πεφενακισμένος ἄμεινον προαισθέσθαι δοκῇ. Τί δ᾽ αἴσχιον τούτου; ὃ μὴ συμβῇ ποτε, προνοεῖν δεῖ μᾶλλον, ὡς ἐν Ἐπικουρείῳ·

Μωρῶν πρὸ πάντων πρεσβυτῶν σκηνῆς ἄπο
Ἐμὲ περιάξῃς τήμερον ἐμπαίζων ἅδην.

Τοῦτο γὰρ ἐν τοῖς δράμασι τὰ πρῶτα τῆς μωρίας ἔχει πρόσωπον τὸ τῶν ἀπρονοήτων καὶ εἰς τὸ πάντα πιστεύειν προπετῶν γερόντων. Ἀλλ᾽ οὐκ οἶδα πῶς ἀπὸ τῶν ἐν τοῖς τελείοις ἀνδράσι φιλιῶν, τουτέστι σοφοῖς (σοφίας δὲ λέγω ταυτησὶ πέρι, οἵα τοῖς ἀνθρώποις ἐνεῖναι φύσιν ἔχει) εἰς τὰς φαυλοτέρας ὁ λόγος ἡμῖν μετέπεσεν. Οὐκοῦν ἐπὶ τὴν προτέραν ἐπανίωμεν καὶ τὴν ὑπόθεσιν ταύτην συμπεραίνωμέν ποτε.

XXVII. *Ἡ μὲν οὖν ἀρετή, φαίην ἄν, ὦ Γάϊε Φάννιε καὶ Κόϊντε Μούτιε, συνίστησί τε τὰς φιλίας καὶ συνεστώσας διατηρεῖ. Ἐν αὐτῇ γὰρ τὸ τῶν πραγμάτων ἁρμόδιον καὶ σύμφωνον ἔνεστι, τό τε βέβαιον καὶ ἀσφαλές· ἥτις οὐ φθάνει προκύψασα καὶ τὸ ἴδιον φέγγος ἐπιδείξασα, τὸ δὲ αὐτὸ ἐν ἄλλῳ τινὶ κατιδοῦσα καὶ καταμαθοῦσα· καὶ δὴ ἐκείνῳ προσπελάζει,*

ἢν — ἀνόητος εἴη] *Nisi — est excors*, i. e. εἰ μὴ — ἀνόητός ἐστι.
μὴ λάθοι — φυλακτέον ἐστίν] Corrige *μὴ λάθῃ*.
ὡς ἐν Ἐπικουρείῳ] Secutus est Pet. lectionem *Epicureo* pro unice vera *Epiclero*, quae Caecilii fabula fuit vd. Gernhard.
Ἐμὲ — πῶς] Expressa est lectio *luseris*, pro qua Gernhardus e Cod. Pal. 1. contra metrum *atque unxeris;* optime Beierus, quem secutus est Orellius, ex emendatione Bentleii ad Horat. art. poet. v. 96. *emunxeris* recepit, quod apte comparat cum Graeco vocabulo *ἀπομύττειν*. Hesych. T. I. p. 473. *ἀπομύττειν, ἐξαπατᾶν, γοητεύειν.* Pollux. On. II, 4. s. 78. *ἤδη τινὲς τῶν κωμικῶν τὸ ἐπὶ κέρδει ἐξαπατᾶν ἀπομύττειν εἶπον.* Pro *πῶς* corr. *ὅπως*.
Οὐκοῦν — ποτε] Vett. Edd. lectio expressa: *ad illam primam — eamque ipsam*, optt. Edd. recc. Graev. Gernh. Beier. Orell. *ad illa prima — eaque ipsa.*
Cap. XXVII. *Ἡ μὲν οὖν ἀρετή*] Male *virtus* semel est redditum, recte bis in multis Codd. et optt. Edd. inde a Graevio exhibetur, quum haec *ἀναδίπλωσις*, iudice Beiero, egregie oratoriam epilogi, in quo semper oratio surgit, vim adaugeat.
Μούτιε] Vd. supra ad Cap. I.
Ἐν αὐτῇ — ἔνεστι] Cicerone interprete *convenientia* h. l. i. q. *συμπάθεια* Nat. D. III, 11. de Div. II, 14. (non 15. ut Schütz. Lex. Cic. et Gernh.), quam quoque de Fin. III, 6. *ὁμολογίαν* explicat. Apud Stob. Ecl. Ethic. *συμφωνία* idem significat vd. Goerenz. ad h. l.

καὶ τὸ ἑτέρῳ ἑνὸν ἀντιλαμβάνει· ὅθεν δεινῶς ἐκπυροῦται τὸ
φίλτρον εἴτε ἡ φιλία. Ἄμφω γὰρ τὰ ὀνόματα ταῦτα ἀπὸ τοῦ
φιλεῖν παράγεται. Τὸ δὲ φιλεῖν οὐδέν ἐστιν ἄλλα εἰ μὴ τὸν
αὐτὸν ἀγαπᾷν, ὃν ἂν φιλήσῃς, μηδεμιᾶς χρείας καὶ ὠφελείας
101 ἕνεκα. Εἰ καὶ αὐτὴ ὅμως, κἂν μὴ μνωμένῳ σοι, ἐκ τῆς φι-
λίας ἀναφύεται. Μετὰ τοιαύτης εὐνοίας ἡμεῖς ἔτι ἐν τοῖς μει-
ρακίοις ἐξεταζόμενοι τοὺς πρεσβύτας ἐκείνους, Λεύκιον Παῦ-
λον, Μάρκον Κάτωνα, Γάϊον Γάλλαν, Πόπλιον Νασικᾶν
καὶ Τιβέριον Γράκχον, τοῦ ἡμετέρου πενθερὸν Σκηπίωνος,
ἐφιλήσαμεν. Ἐκείνη δ᾽ αὖ καὶ μᾶλλον ἐν τοῖς ἥλιξιν ἀναφαί-
νεται, οἷον ἐμοῦ μεταξὺ καὶ Σκηπίωνος, τοῦ τε Λευκίου Φου-
ρίου καὶ Ποπλίου Ῥουπιλίου καὶ Σπορίου Μόυμμίου. Ἐν μέ-
ρει δὲ καὶ ἡμεῖς οἱ γηραιοὶ τῇ τῶν μειρακίων ἀγαπήσει ἐπανα-
παυόμεθα, ὥςπερ ἐν τῇ ὑμετέρᾳ καὶ τῇ Κοΐντου Τουβέρωνος·
λίαν δὲ κἀμὲ ἡ τοῦ κομιδῇ νεανίσκου ὄντος Ποπλίου Ῥουτι-
λίου καὶ Αὔλου Οὐϊργινίου οἰκειότης εὐφραίνει. Ἐπειδὴ δὲ
τοιοῦτον ὁ βίος καὶ ἡ φύσις ἡμετέρα λόγον ἔχει, ὡς ἄλλην ἐξ
ἄλλης φῦναι τὴν ἡλικίαν· μάλιστα μὲν εὐκταῖον ἂν εἴη σοι
τὸ τοῖς ἡλικιώταις καθάπερ ἀπὸ τῆς ἀφετηρίας συνεκβληθέντα
μετὰ τῶν αὐτῶν εἰς νύσσαν, ὡς λέγουσι, φθάνειν δύνασθαι.
102 Ἐπεὶ δ᾽ ἀστάθμητα τὰ ἀνθρώπινα καὶ ὀξείας ἔχει τὰς ῥοπάς,
διὰ παντὸς ἀναζητεῖν δεῖ, οὓς ἂν φιλήσωμεν καὶ ὑφ᾽ ὧν ἀν-
τιφιληθῶμεν. τῆς γὰρ ἀγάπης καὶ εὐνοίας ἀνῃρημένης πᾶν
ἐκ τοῦ βίου συνανῄρηται τὸ ἡδύ. Ἐμοὶ μὲν οὖν ὁ Σκηπίων,
καίπερ ἐξαίφνης ἀναρπασθείς, ζῇ τε ὅμως καὶ ζήσεται ἀεί.
τὴν γὰρ ἀρετὴν ἠγάπησα τἀνδρός, ἥτις οὐκ ἀπεσβέσθη. Καὶ
οὐκ ἐμοὶ μόνῳ πρὸ ὀφθαλμῶν κεῖται, ὃς πάντοτε μετὰ χεῖρας
εἶχον αὐτήν, ἀλλὰ καὶ παρὰ τοῖς ὕστερον λαμπρὰ μέλλει καὶ
διαβόητος ἔσεσθαι· οὐδ᾽ ἔστιν ὅςτις εἰς ἐνθύμησιν ἢ ἐλπίδα

ὅθεν — φιλία] *Ex quo exardescit sive amor sive amicitia* vulgo in optt. Edd. legitur, i. e. εἴτε τὸ φίλτρον εἴτε ἡ φιλία. Petavius expressit lectionem *ex quo eorum exardescit amor sive amicitia. Amor* non est φίλτρον (vd. Lexic. Xenoph. Memor. II, 6, 10. III, 11, 17.), quo vocabulo usus videtur Petavius, ut, quum φιλία et *amor* et *amicitia* sit, sicut Cicero, duo vocabula eiusdem stirpis poneret.

ἀναφύεται] *Efflorescit*, cui accuratius respondet ἐξανθεῖ.

101 συνεκβληθέντα — φθάνειν δύνασθαι] Rectius συναφεθέντα, quum συνεκβάλλεσθαι *eiici*, συναφίεσθαι *emitti cum aliquo* significet; unde *carceres* ἀφετηρία — ἄφεσις vocantur. Pro φθάνειν erat ponendum ἀφικνεῖσθαι, quum ap. Cic. sit *pervenire*. Supr. corr. Νασικᾶν.

102 Ἐπεὶ — ῥοπάς] *Caducus* rectius interpreteris ἐξίτηλος — φθαρτός, quum ὀξείας ἔχειν τὰς ῥοπάς significet ὀξύῤῥοπον εἶναι, *celeriter mutari, mutabilem, agilem esse* vd. Steph. Thes. T. III. p 678.

ζήσεται] Apud bonos scriptores Fut. verb. βιοῦν in usu est.

τῶν μειζόνων ἥξει ποτέ, ὃς ἐκείνου τὴν μνήμην καὶ τὴν εἰκόνα
μὴ προκεῖσθαι δεῖν ἡγήσεται. Ἐμοὶ δ' ἐξ ἁπάντων, ἅπερ ἐκ 103
τῆς τύχης ἢ φύσεως ἔλαχον, οὐδέν ἐστιν ὃ τῇ Σκηπίωνος φι-
λίᾳ παραβάλλειν ἂν ἔχοιμι. Ἐν ταύτῃ καὶ τὸ περὶ πολιτείας
ὁμογνωμονεῖν ἐγένετό μοι, ἐν ταύτῃ τὸ περὶ τῶν ἰδίων βου-
λεύεσθαι, ἐν ταύτῃ ὁλόκληρον παρέχουσα τὸ τερπνὸν ἡ ἀνά-
παυσις. Οὐδέποτε ἐκείνῳ, ὅσον ἐμέ γ' αἰσθέσθαι, προς-
έκρουσα· οὐδ' αὖ, ὃ μὴ βουλομένῳ ἦν ἐμοί, ἤκουσα παρ' αὐ-
τοῦ. Μία ἦν ἀμφοῖν οἰκία, δίαιτά θ' ἡ αὐτή τῆς κοινῆς
μηδὲν ἐξηλλαγμένη· καὶ οὐχ ὅσον ἡ ἐκστρατεία, ἀλλὰ καὶ ἀπο-
δημίαι καὶ ἀγραυλίαι κοιναὶ ἦσαν ἡμῖν. Τί γὰρ χρὴ καὶ λέ- 104
γειν ἐμὲ περὶ τῆς κατὰ τὸ γνῶναι καὶ μαθεῖν ἀεί τι φιλοτιμίας
ἡμῶν; ἐν ῃ μακρὰν ἀπῳκισμένοι τῆς τῶν πολλῶν συνηθείας
πᾶσαν τὴν σχολὴν καὶ χρόνον κατετρίψαμεν. Ὧν ἁπάντων ἡ
μνήμη εἴπερ ἐκείνῳ συναπώλετο, ἀνδρὸς οἰκειοτάτου καὶ προς-
φιλεστάτου τὸν πόθον ἐνεγκεῖν οὐκ ἂν οἷός τ' ἦν ἐγώ. Ἀλλ' οὐδὲ
ταῦτα παντελῶς ἠφάνισται, τρέφεται δὲ μᾶλλον καὶ διὰ τῆς
ἐννοίας καὶ μνήμης ἐπαύξεται· καὶ εἰ πάντως ἐστερημένος ἦν
αὐτῶν, πολλὴν ἂν ἐμοὶ αὐτὴ ἡ ἡλικία συνεβάλλετο τὴν παρα-
μυθίαν. οὐ γὰρ ἐπὶ πολὺν ἔτι τὸν χρόνον τῷδε τῷ πόθῳ συ-
ζῆν ἂν δυναίμην. Ἅπαντα δὲ τὰ βραχέα ἀνεκτὰ μέλλει ἔσε-
σθαι, κἂν μεγάλα ὄντα τυγχάνοι. Ταῦτα περὶ τῆς φιλίας εἶ-
χον εἰπεῖν· ὑμῖν δὲ παραινῶ, τοιαύτῃ τῇ ἀρετῇ χώραν ἀπονέ-
μειν, ἧς ἄνευ εἶναι τὴν φιλίαν οὐκ ἐνδέχεται· ὡς ἐκείνης ἐξ-
ῃρημένης προτιμότερον τῆς φιλίας οὐδὲν ἡγεῖσθαι.

βουλομένῳ] Correxi pro βουλομένω. 103
ῃ — κατετρίψαμεν] Expressa est lectio *omne otium tempusque* 104
contrivimus, sed in plerisque Codd. et optt. Edd. *omne otiosum tempus contrivimus*. Pro ῷ, mendo typogr., corr. ῃ
κἂν — τυγχάνοι] Corr. κἂν — τυγχάνῃ.
ὡς — οὐδέν] Corr. ὡς — μηδέν.

M. TULLI CICERONIS
PARADOXA

IN

GRAECUM CONVERSA

A

DION. PETAVIO

ET

ADRIANO TURNEBO.

ΜΑΡΚΟΥ ΤΟΥΛΛΙΟΥ ΚΙΚΕΡΩΝΟΣ

ΠΑΡΑΔΟΞΑ

ΕΡΜΗΝΕΥΘΕΝΤΑ

ΥΠΟ

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΠΕΤΑΒΙΟΥ

ΚΑΙ

ΑΔΡΙΑΝΟΥ ΤΟΥΡΝΕΒΟΥ.

θυμεῖ, τὴν χορηγίαν ἐπιδαψιλευόμενον ἐκεῖνον, μηδένα παν-
88 τάπασι τῶν ἀνθρώπων ὁρᾶν ἐπιτρέπειν. Τίς οὖν οὕτω σιδη-
ροῦς ἂν εἴη, ὡς τοιούτου ἀνέχεσθαι ἂν βίου καὶ μὴ τῶν ἡδέων
πάντων ἀπόλαυσιν ἐκ τῆςδε τῆς ἐρημίας ἀποστερεῖσθαι; Ἔστι
τοίνυν ἀληθὲς ἐκεῖνο, ὅπερ Ἀρχύταν οἶμαι τὸν ἐκ Τάραν-
τος εἰπεῖν εἰωθέναι λεγόντων ἤκουσα τῶν ἡμετέρων πρεσβυτῶν,
ὡς καὶ παρ' ἑτέρων πρεσβυτῶν προακηκοότες ἦσαν· ὅτι ἐὰν
εἰς οὐρανὸν ἀναβαίη τις κἀκεῖ τὴν τοῦ κόσμου φύσιν καὶ τῶν
ἀστέρων τὸ κάλλος κατανοήσειεν, ἀηδὲς ἂν ἐκείνῳ τὸ θαῦμα
τουτὶ γενέσθαι, ὅπερ ἥδιστον ἂν ἐγένετο δήπου, εἴ τινα εἶχε,
πρὸς ὃν ἂν διηγήσαιτο. Οὕτως ἄρα ἡ φύσις οὐδὲν ἔρημον φι-
λεῖ ἀεί τε πρός τι οἷον ὑπέρεισμα βιάζεται· ὃ καὶ ἐφ' ἑκάστου
τῶν φιλτάτων προςηνέστατόν ἐστι.

XXIV. Ἀλλ' εἰ καὶ διὰ τοσούτων σημείων ἡ αὐτὴ δη-
λοῖ φύσις, ὅ,τι βούλεται καὶ ἀναζητεῖ καὶ ἐπιποθεῖ· ὅμως
ἐκκεκωφώμεθα τρόπον τινά, οὔτε, ἃ ἐκείνη παρεγγυᾷ ἡμῖν,
ἀκούομεν. Ποικίλη γάρ ἐστι καὶ πολύτροπος τῆς φιλίας ἡ χρῆ-
σις, πολλαὶ δ' αὖ ὑποψιῶν καὶ προςκρούσεων ἀφορμαὶ δίδον-
ται, ἃς πῆ μὲν ἐκκλίνειν, πῆ δ' ἐλαττῶσαι, πῆ δ' εὐγνωμό-
νως φέρειν ἔμφρονος ἔργον ἐστὶν ἀνθρώπου. Μόνην δὴ ἐκεί-
νην ἐπικουφίζειν δεῖ τὴν πρόςκρουσιν, ὅπως τό τε ὠφέλιμον
καὶ τὸ πιστὸν ἐν τῇ φιλίᾳ τηρηθῇ. Καὶ γὰρ νουθετεῖν χρὴ
πολλάκις τοὺς φίλους καὶ τούτοις ἐπιπλήττειν· καὶ ταῦτα εὐ-
89 μενῶς οἰστέον, ὅταν μετ' εὐνοίας γένηται. Ἀλλ' οὐκ οἶδ' ὅπως

τὴν χορηγίαν ἐπιδαψιλευόμενον] *Suppeditans — abundantiam et copiam* ad verb. reddi quoque potest: *παρέχοντα τὴν περιουσίαν καὶ ἀφθονίαν (εὐπορίαν — δαψίλειαν).*

καὶ — ἀποστερεῖσθαι] Herodotus ἐκ pro ὑπό (apud Atticos) transitivo usurpare solet vd. Bernhardy wiss. Syntax. p. 192. Schweigh. Lex. Herodot. P. I. p. 192.

88 Τάραντος] Correxi pro Ταράντου.

εἶχε — προςηνέστατον] *Anniti* non est βιάζεσθαι, sed προςανακλίνεσθαι: *iucundus* ἡδύς — χαρίεις — ἀρεστός, non προςηνής: *amicissimus quisque* i. q. οἱ φίλτατοι. Pro εἶχε corr. ἔσχε.

Cap. XXIV. Ἀλλ' εἰ] *Sed quum* i. q. Ἀλλ' ὅτι — ἐπεί.

οὔτε — ἀκούομεν] *Nec — audimus*, rectius οὐδέ vd. Buttmann. Gr. gr. §. 136. p. 435. Edit. X.

πῆ μέν] Corrige πή, nam πῆ est interrogativum, quae scriptura omisso ι subscripto nunc praefertur vd. Passov. et Rost. Lexx. Blum. ad Lycurg. cp. 8. Thiersch. Gr. §. 131, 2. e. πῆ, at §. 351, 2. h. πῇ. Herm. ad Viger. p. 794. πή exhibet.

Μόνην — πρόςκρουσιν] *Una illa sublevanda offensio est* Cic. *Sublevare*, interpretibus Gernhardo et Beiero i. q. *caute subire*, explicuerim πεφυλαγμένως — μετ' εὐλαβείας ὑποδύεσθαι — ὑφίστασθαι.

ἀληθεύει τὸ ἐν τῇ Ἀνδρίᾳ εἰρημένον ὑπὸ τοῦ οἰκείου ἐμοῦ Τερεντίου·

Φίλους θεραπεία, μῖσος ἀληθείη τίκτει.

Λυπηρόν τι ἡ ἀλήθεια, εἴπου μῖσος ἐξ αὐτῆς τίκτεται, ὃ τῆς
φιλίας δηλητήριόν ἐστιν· ἀλλ' ἡ θεραπεία πολλῷ ἐστι λυπηρο-
τέρα, ἣ συγγινώσκουσα ταῖς ἁμαρτίαις κατὰ κρημνῶν ἐᾷ φέ-
ρεσθαι τοὺς φίλους· τὸ πλεῖστον δ' αἰτίας ἔχει, ὃς καὶ τῆς
ἀληθείας ὑπερορῶν καὶ ὑπὸ τῆς θεραπείας ἀπατηθεὶς εἰς ζη-
μίαν ἐμβάλλεται. Πάντα τοίνυν καὶ λόγον καὶ σπουδὴν εἰς
τοῦτο κινητέον, ὅπως ἢ καθαρεύουσα καὶ τῆς πικρίας ἡ νου-
θεσία, καὶ τῆς ἐπηρείας ἡ ἐπίπληξις. Ἐν μέντοι θεραπείᾳ
(ἐπειδὴ τῇ τοῦ Τερεντίου φωνῇ ἡδέως χρώμεθα) ἡ φιλοφρο-
σύνη ἐπανθείτω· θωπεία δ' ἡ ταῖς κακίαις βοηθὸς παρεστῶσα
μακρὰν ἀπῳκίσθω, ἥτις οὐχ ὅσον φίλῳ, ἀλλ' οὐδ' ἐλευθέρῳ
πρέπει. Ἄλλως γὰρ τῷ τυράννῳ, ἄλλως δὲ τῷ φίλῳ προς-
ενεκτέον. Εἴ τινος δὲ τὰ ὦτα πρὸς τὴν ἀλήθειαν ἀποκέκλει- 90
σται, τούτου ἀπέγνωσται ἡ σωτηρία. Ἀστείως γὰρ τοῦτο
ὑπὸ τοῦ Κάτωνος εἴρηται· παρὰ πολὺ ἄμεινον ὑπὸ τῶν ἀνη-
κέστων ἐχθρῶν πάσχειν τινὰς ἢ ὑπὸ τῶν προςηνῶν εἶναι δο-
κούντων φίλων· ἐκείνους γὰρ πολλάκις τἀληθὲς λέγειν, τού-
τους δὲ μηδεπώποτε. Ἐνταῦθα δ' ἄτοπον τοῦτο συμβαίνει,
ὅτι οἱ σωφρονιζόμενοι δῆθεν, ἣν ὤφειλον ἀγανάκτησιν, οὐ

ἀληθεύει — Τερεντίου] *Terentius* est glossema vd. Gernh. et Beier. Orell. *Verum est* h. l. i. q. ἀληθές ἐστι: ἀληθεύειν i. q. *verum dicere.* 89

θεραπεία — ἀληθείη] Θεραπεία non accurate exprimit *obsequium*, h. l. in malam partem accipiendum; posuerim πειθαρχία — ὕπειξις — συγχώρησις. Form. Ion. ἀληθείη metri causa posuit.

ὅπως ἢ καθαρεύουσα — καὶ] Petavius *primum* — *deinde*: pro καθαρεύουσα ἢ (i. e. *careat*) aptius videtur ἀπαλλαγεῖσα ἢ.

κατὰ — φίλους] *Praecipitem amicum ferri* sinit ad verb. quidem recte, sed *praecipitem ferri* h. l. i. q. φέρεσθαι — δοῦναι ἑαυτὸν εἰς ἀπώλειαν — κακὸν — ἐπισπᾶσθαι κακά — περιπεσεῖν συμφοραῖς.

ἐπανθείτω — ἀπῳκίσθω] *Assit* — *removeatur*, i. e. παρέστω — ἀπέστω — πόῤῥω γιγνέσθω, quae verba aptiora sunt quam quibus Petavius usus est.

τὰ ὦτα — ἀποκέκλεισται] *Aures claudere* apud Lucian. ἐπιφράττειν — ἀποφράττειν — ἐπιβύειν τὰ ὦτα vd. Lex. Lucian. s. v. οὖς. 90

τούτου ἀπέγνωσται ἡ σωτηρία] *Huius salus desperanda est* i. e. τούτου ἀπογνωστέα ἡ σωτηρία. Apud Plut. de sent. profect. virtut. cp. 11. ἀνήκεστοι hi homines dicuntur.

Ἀστείως — φίλων] Expressa est lectio *Scitum enim est illud Catonis*: multo *melius*. Vulgata in optt. Edd. est *Scitum enim est illud Catonis, ut multa. Acerbi, dulces amici* aptius eodem tropo servato dicuntur πικροὶ — γλυκεῖς; *dulces* πρὸς χάριν — κεχαρισμένως ὁμιλοῦντες ap. Plut. de adul. cp. 2. A Plutarcho σπουδαῖος — ἀγαθὸς φίλος et διάπυρος ἐχθρός sibi opponuntur, vd. Beier. ad h. l.

οὐκ ἐγένετό ποτε; εἶναι τοὔνομά μοι τὸ σὸν ἐπιφημίζων φυγάδα καλεῖς ἐμέ, καίτοι πάντων οὕτως ὑπολαμβανόντων, ὅτι ἐμοῦ ἀποχωροῦντος καὶ ἡ πολιτεία συνεξωρίσθη, οὐχ ἑαυτόν ποτε περισκοπήσεις, ὦ πάντων ἀνθρώπων ἀνοητότατε; οὐχ οἷς πράττειν μέλλεις ἢ λέγειν, τούτοις τὸν νοῦν ἐπιστήσεις; οὐκ οἶσθα τὸν μὲν ἐξορισμὸν τῶν κακουργημάτων εἶναι τιμωρίαν· ἐκείνην δὲ τὴν ἐμὴν ἀποδημίαν τῶν ἐμοὶ λαμπρῶς διαπεπραγμένων ἕνεκεν ὑποστῆναί με; Πάντες μὲν γὰρ οἱ κακοῦργοι καὶ ἀσεβεῖς, ὧν σὺ προστασίαν καὶ ἡγεμονίαν ἀναδέξασθαι, καὶ ὧν οἱ νόμοι τὴν φυγὴν κατεδίκασαν, φυγάδες εἰσίν, εἰ καὶ μήπω ἐκ τῆς χώρας μετέστησαν. Ἆρ' οὖν φυγὴν καταγνόντων σου τῶν νόμων ἁπάντων, φυγὰς ὅμως οὐχ ὑπάρξεις; Πότερον δ' ὁ σὺν βέλει προερχόμενος, οὗτος ἐχθρὸς καὶ ἐπίβουλος ὀνο-

σοῦ ποτε ἕνεκα πόλις οὐχ ὑπῆρχεν; εἶτα καί με τῇ σαυτοῦ ἐπωνυμίᾳ καθυβρίζεις καὶ ἀποκαλεῖς φυγάδα, συμπάντων, ἐμοῦ φεύγοντος, ἐν τοσούτῳ τὴν πολιτείαν ἐξορισθῆναι οἰηθέντων; Οὐδέποτε, ὦ ἀνδρῶν ἁπάντων ἐμπληκτότατε, εἰς ἑαυτὸν περιόψει καὶ περιστρέψῃ; οὐδέποτε μήτε τῶν παρὰ σοῦ ποιησομένων μήτε λαλησομένων ἐπιμελήσῃ; ἀγνοεῖς τὴν φυγὴν αὐτουργημάτων καὶ πονηριῶν εἶναι πρότιμον; ἐκείνην δὲ τὴν ἐμὴν ἀποδημίαν διὰ τὰ πράγματα ὑπ' ἐμοῦ καλῶς καὶ εὐκλεῶς καὶ ἐπιφανῶς ἀποδειχθέντα καὶ κατορθωθέντα ἐνστησαμένην;
81 Ἅπαντες τοίχωρυχοι αὐτόχειρες, κακοῦργοι καὶ ἀνόσιοι, ὧν σὺ ἡγεμὼν εἶναι γαυριῶν καυχᾶσαι, ὧν οἱ νόμοι φυγὴν καταγινώσκουσι, φυγάδες εἰσίν, καίπερ τὴν γῆν πατρίδα μὴ καταβεβληκότες. Ἦ πάντων δῆθα τῶν νόμων σε φεύγειν κελευόντων καὶ ἀναγκαζόντων, φυγὰς οὐκ ἔσῃ; Οὐχὶ ἐχθρὸς καλεῖται ὁ σὺν βέλει βαδίζων;

εἶτα — ἐμέ] Turnebus: εἶτα καί με τῇ σαυτοῦ ἐπωνυμίᾳ καθυβρίζεις καὶ ἀποκαλεῖς φυγάδα: expressa est ab utroque lectio *et me exsulem tuo nomine appellas*; vulgo *et me tuo nomine appellas*.

οὐχ οἷς — ἐπιστήσεις] H. l. apud Turnebum pro μήτε bis οὔτε, pro ποιησομένων — λαλησομένων rescribe Futur. Passiv. vd. annot. ad Parad. IV. Cap. I, 27.

81 κακοῦργοι καὶ ἀσεβεῖς] I. e. *scelerati atque impii*, Turnebus αὐτόχειρες, κακοῦργοι καὶ ἀνόσιοι — addens de suo primum voc. h. l. non aptum.

εἰ — μετέστησαν] Turnebus καίπερ τὴν γῆν πατρίδα μὴ καταβεβληκότες, minus recte *solum mutare* reddens τὴν γῆν πατρίδα καταβάλλειν, pro quo Blum. Anleit. p. 190. bene μεταλλάττειν τὴν χώραν substituit. Nota est form. Homeric. ἡ πατρὶς γαῖα.

Πότερον — ὀνομάζεται] Turnebus οὐχὶ ἐχθρὸς καλεῖται ὁ σὺν βέλει βαδίζων, uterque expressit lect. *Non appellatur inimicus, qui*

ἀνθρώπων πάντως εἰκαίων ἐστί. Πολλοὶ δὲ τοῦ Γνάθωνος 94
ὄντες ὅμοιοι τάξει τε καὶ τύχῃ καὶ δόξῃ ὑπερέχουσι· τούτων δὴ
φορτική ἐστιν ἡ κολακεία, ὅταν τῇ ἀλαζονείᾳ ἡ αὐθεντία προς-
γένηται. Τοῦ μέντοι ἀληθινοῦ φίλου τὸν πρὸς χάριν ὁμιλοῦντα 95
διακρίνειν, ἐάν τις μετ' ἐπιμελείας προςέχῃ, καὶ διαγνῶναι
οὐχ ἧττον δύναται ἢ πάντα τἄλλα πεπλασμένα καὶ προςποίητα
τῶν εἰλικρινῶν καὶ ἀληθῶν. Αὐτίκα γὰρ ἡ ἐκκλησία, ἥτις ἐκ
τῶν ἐσχάτως ἀπαιδεύτων συνέστηκεν, ὅμως ἐπικρίνειν τὴν με-
ταξὺ τοῦ δημοκόπου, ἤγουν κολακικοῦ καὶ εἰκαίου πολίτου, καὶ
τοῦ βεβαίου καὶ ἐμβριθοῦς καὶ σεμνοῦ διαφοράν. Οἵαις πρώην
Γάϊος ὁ Παπίριος θωπείαις εἰς τὰς τοῦ δήμου ἀκοὰς ὑπεδύετο,
ἡνίκα νόμον εἰςέφερε, τὸν αὐτὸν πάλιν αἱρεῖσθαι δήμαρχον
ἐπιτρέποντα, ἀντιλεγόντων ἡμῶν; Ἀλλ' οὐδὲν περὶ ἐμοῦ τα- 96
νῦν· περὶ δὲ τοῦ Σκηπίωνος προθυμότερον ἐρῶ. Ὅσον, ὦ
θεοί, ἐνῆν αὐτῷ τὸ σεμνόν; ὅσον δ' ἐπήνθει τῷ λόγῳ αὐτοῦ
τὸ ἀξίωμα; ὥςτε ῥαδίως ἂν σε τοῦ δήμου τῶν Ῥωμαίων ἡγε-
μόνα, οὐκ ἀκόλουθον ἐκεῖνον εἰπεῖν. Ἀλλὰ παραγίνεσθε λέ-
γοντος ὑμεῖς, καὶ ἐν χερσὶ λόγος ἐστί. Οὐκοῦν ὁ τῷ δήμῳ χα-
ριζόμενος νόμος ὑπὸ δημοτικῶν ἠκυρώθη τῶν ψήφων. Ἵνα
δὲ πρὸς τὰ κατ' ἐμὲ πάλιν ἐπανέρχωμαι, μέμνησθε δήπου,
ἐφ' ὅσον δημοτικὸς ἦν ὁ περὶ τῶν ἱεροσυνῶν νόμος, ὃν Γάϊος
Λικίνιος Κράσσος ἐπὶ Κοΐντου Μαξίμου τοῦ Σκηπίωνος ἀδελ-
φοῦ καὶ Λουκίου Μαγκίνου ὑπατευόντων εἰςήνεγκεν. διὰ τού-
του γὰρ ἡ εἰς τὸν ἱερατικὸν σύλλογον εἴςκρισις πρὸς τὴν τοῦ
δήμου εὐεργεσίαν μετετίθετο. Κἀκεῖνος μὲν δὴ πρῶτον εἰς τὴν
ἀγορὰν στραφεὶς δημηγορεῖν ἤρξατο· ἀλλ' οὐδὲν ἧττον τούτου
πιθανὸν τὸν λόγον ἡ τῶν θεῶν θρησκεία ἀναφερόντων ἡμῶν

---

set *amicorum.* — Beierus comparat Graec. *οἷόν τι φίλου χρῆμα — εἶδος.*

Πολλοὶ — ὅμοιοι] *Ὅμοιος* cum Genitivo rarius struitur vd. Matth. 94
Gr. Gr. Vol. II. § 386. n. 2. Bernhardy. wiss. Syntax. p. 140. Krüg. ad Xen. Anab. IV, 1, 18. item *ἴσος* vd. Ochsner. ad Olivet. Eclog. Cicer. p. 197. Ed. II.

Αὐτίκα γάρ] De suo adiecit Petavius.

ἡνίκα — ἐπιτρέποντα] Ciceronis verba non accurate reddita sunt: 95
cum ferret legem de tribunis plebis reficiendis.

Οἵαις — ἡμῶν;] Male signum interrogandi positum, ut insequenti paragrapho post *σεμνόν* et *ἀξίωμα.*

Ἀλλὰ παραγίνεσθε — ἐν χερσὶ λόγος ἐστί] Rectius *παρεγένεσθε — 96
ἐν χερσὶν ὁ λόγος*, vd. Cicer. Infra praestat form. *ἱερωσυνῶν.*

Κἀκεῖνος — ἤρξατο] Plutarch. C. Gracchum in Vit. cp. 5. auctorem huius facti fuisse narrat: *Λέγεται — καὶ τῶν πρὸ αὐτοῦ πάντων δημαγωγῶν πρὸς τὴν σύγκλητον ἀφορώντων καὶ τὸ καλούμενον κομίτιον, πρῶτον τότε στραφεὶς ἔξω πρὸς τὴν ἀγορὰν δημηγορεῖν.*

ἀναφερόντων ἡμῶν] *Defendere* i. q. *ἀπολογίαν ποιεῖσθαι — ἀπολογεῖσθαι ὑπέρ τινος — συνηγορεῖν.*

ῥᾳδίως ἐνίκησε. Τοῦτο μὲν οὖν ἐπ' ἐμοῦ στρατηγοῦ πρὸ πέντε
τῆς ἐμῆς ὑπατείας ἐτῶν ἐγίνετο. Οὐκοῦν ἐκ τῆς τοῦ πράγμα-
τος φύσεως μᾶλλον ἢ ἐκ τοῦ ἀξιώματος αὕτη ἡ δίκη προστα-
σίας ἔτυχε.
97 XXVI. Εἰ δ' ἐπὶ τῆς σκηνῆς, τουτέστιν ἐπ' ἀγορᾶς,
ὅπου τὰ πεπλασμένα καὶ ἐσχηματισμένα ὅτι μάλιστα χώραν
ἔχει, τἀληθὲς ὅμως ἰσχύει, εἰ φωραθείη ποθὲν καὶ λαμπρῶς
ἀναφαίνοιτο· τί χρὴ κατὰ τὴν φιλίαν γενέσθαι, ἥτις ὅλη πρὸς
τὴν ἀλήθειαν ἀνακρίνεται; Ἐν ᾗ ἐὰν μὴ τὸ στῆθος, ὡς λέ-
γουσιν, ἀναπεπταμένον ἴδῃς, καὶ τὸ σὸν δ' ἐπιδεικνύῃς αὐτός,
πιστὸν οὐδὲν οὔτε σαφῶς ἐγνωσμένον ἂν ἔχοις· ἀλλ' οὐδὲ φι-
λεῖν ἢ φιλεῖσθαι δυνηθείης ἄν, ἐφ' ὅσον τοῦτο ἀληθῶς καὶ
ἀπλάστως γίνεται οὐκ εἰδώς. Καίτοι αὕτη ἡ κολακεία, καίπερ
ἐπιβλαβὴς οὖσα, οὐδένα λυμαίνοιτ' ἂν ὅμως εἰ μὴ τὸν προς-
ιέμενον καὶ ἡδόμενον αὐτῇ. Ὅθεν εἰς τοῦτο περίσταται τὸ
πρᾶγμα, ὡς ἐκεῖνον μάλιστα τὰ ὦτα τοῖς κόλαξιν ὑπέχειν, ὃς
98 ἑαυτὸν κολακεύει καὶ οὐχ ἥκιστα ἥδεται αὐτὸς ἑαυτῷ. Ὅλως
δ' αὐτῆς ἐρᾷ ἡ ἀρετή. καὶ γὰρ οἶδε κάλλιστα ἑαυτήν, καὶ ὡς
ἀξιέραστός ἐστι κατανοεῖ. Ἀλλ' ἔγωγε τανῦν οὐ περὶ ἀρετῆς
λέγω, δόξης δὲ μᾶλλον τῆς ἐπ' αὐτῇ. οὐ τοσοῦτοι γὰρ αὐτὴν
κεκτῆσθαι τὴν ἀρετὴν ἢ δοκεῖν ἐθέλουσιν. Οὗτοι ἥδονται
κολακευόμενοι· τούτοις ἡ πρὸς χάριν ἀναπεπλασμένη ὅταν ὁμι-
λία προςάγεται, τὸν κενὸν τουτονὶ λόγον ἰδίων ἐπαίνων εἶναι
μαρτυρίαν ὑπολαμβάνουσιν. Οὐδεμία γοῦν τοιαύτη ἐστὶν ἡ
φιλία, ὅτε ὁ μὲν ἕτερος τἀληθὲς ἀκούειν οὐ βούλεται, ὁ δ' ἕτε-
ρος εἰς τὸ ψεύδεσθαι παρεσκευασμένος ἐστίν. οὐδὲ μὴν τῶν
ἐν ταῖς κωμῳδίαις παρασίτων ἐπίχαρις ἦν ἡ κολακεία, εἰ μή
τινες ἦσαν ἀλαζόνες οἱ στρατιῶται.

Μεγάλην ἐμοὶ γοῦν ἔσχεν ἡ Θαῒς χάριν;

ἤρκει μὲν ἀποκρίνασθαι, ὅτι μεγάλην· ὁ δὲ ὑπερφυῆ λέγει.
Ἐπιεικῶς γὰρ ἐπαύξειν οἶδεν ἡ κολακεία, ὃ μέγα ἐκεῖνος εἶναι
99 βούλεται, οὐ πρὸς χάριν εἴρηται. Τοιγαροῦν εἰ καὶ τὸ κενὸν
τόδε προςηνὲς ὂν παρὰ τούτοις δυνατόν ἐστιν, οἳ ἐπισπῶνται
καὶ προςκαλοῦσιν αὐτοί· παραγγελτέον ὅμως κἂν τοῖς ἐμβρι-
θεστέροις καὶ εὐσταθεστέροις δοκοῦσίν ἐστιν, ὅπως τὸν νοῦν
προσέχωσι, μὴ ἄρα ὑπὸ τῆς σεσοφισμένης κολακείας ἁλῶσι.
Τὸν γάρ τοι φανερῶς κολακεύοντα οὐδεὶς ὅςτις οὐχ ὁρᾷ, ἢν

---

97 Cap. XXVI. τὰ ὦτα τοῖς κόλαξιν ὑπέχειν] Ὑπέχειν οὖας Simonid. τὰ ὦτα ἀναπεταννύναι Lucian. de histor. conscrib. cp. 7. ibiq. Herm.

98 ὅταν — προςάγεται] Corr. προςάγηται.
Μεγάλην — ἔσχεν — χάριν] *Gratias agere* i. q. χάριν ὁμολογεῖν — χάριτας λέγειν; χάριν ἔχειν i. q. *gratiam habere.*

99 ὅμως κἂν — δοκοῦσιν] Corr. ὅμως καὶ i. e. *tamen etiam*: δοκοῦσι abesse potest.

μὴ κομιδῇ ἀνόητος εἴη· ὁ δὲ πανοῦργος καὶ κρυπτὸς ἐκεῖνος μὴ λάθοι παρεισδύς, παντὶ τρόπῳ φυλακτέον ἐστίν· οὐδὲ γὰρ ῥαδίως διαγινώσκεται, ἅτε δεινὸς ὤν, κἂν ἐναντιούμενος, πολλάκις ὑποθωπεύειν καὶ προςσαίνειν ἐν ᾧ διαφερόμενος καὶ ἀμφισβητῶν φαίνεται, ὥςτε τελευτῶν δὴ ὑπείκειν καὶ ἐθελοκακεῖν, ἵνα ὁ πεφενακισμένος ἄμεινον προαισθέσθαι δοκῇ. Τί δ᾽ αἴσχιον τούτου; ὃ μὴ συμβῇ ποτε, προνοεῖν δεῖ μᾶλλον, ὡς ἐν Ἐπικουρείῳ·

Μωρῶν πρὸ πάντων πρεσβυτῶν σκηνῆς ἄπο
Ἐμὲ περιάξῃς τήμερον ἐμπαίζων ἅδην.

100 *Τοῦτο γὰρ ἐν τοῖς δράμασι τὰ πρῶτα τῆς μωρίας ἔχει πρόςωπον τὸ τῶν ἀπρονοήτων καὶ εἰς τὸ πάντα πιστεύειν προπετῶν γερόντων. Ἀλλ᾽ οὐκ οἶδα πῶς ἀπὸ τῶν ἐν τοῖς τελείοις ἀνδράσι φιλιῶν, τουτέστι σοφοῖς (σοφίας δὲ λέγω ταυτησὶ πέρι, οἵα τοῖς ἀνθρώποις ἐνεῖναι φύσιν ἔχει) εἰς τὰς φαυλοτέρας ὁ λόγος ἡμῖν μετέπεσεν. Οὐκοῦν ἐπὶ τὴν προτέραν ἐπανίωμεν καὶ τὴν ὑπόθεσιν ταύτην συμπεραίνωμέν ποτε.*

XXVII. *Ἡ μὲν οὖν ἀρετή, φαίην ἄν, ὦ Γάϊε Φάννιε καὶ Κόϊντε Μούτιε, συνίστησί τε τὰς φιλίας καὶ συνεστώσας διατηρεῖ. Ἐν αὐτῇ γὰρ τὸ τῶν πραγμάτων ἁρμόδιον καὶ σύμφωνον ἔνεστι, τό τε βέβαιον καὶ ἀσφαλές· ἥτις οὐ φθάνει προκύψασα καὶ τὸ ἴδιον φέγγος ἐπιδείξασα, τὸ δὲ αὐτὸ ἐν ἄλλῳ τινὶ κατιδοῦσα καὶ καταμαθοῦσα· καὶ δὴ ἐκείνῳ προςπελάζει,*

ἢν — ἀνόητος εἴη] *Nisi — est excors*, i. e. *εἰ μὴ — ἀνόητός ἐστι*.
μὴ λάθοι — φυλακτέον ἐστίν] Corrige *μὴ λάθῃ*.
ὡς ἐν Ἐπικουρείῳ] Secutus est Pet. lectionem *Epicureo* pro unice vera *Epiclero*, quae Caecilii fabula fuit vd. Gernhard.
Ἐμὲ — πῶς] Expressa est lectio *luseris*, pro qua Gernhardus e Cod. Pal. 1. contra metrum *atque unxeris*; optime Beierus, quem secutus est Orellius, ex emendatione Bentleii ad Horat. art. poet. v. 96. *emunxeris* recepit, quod apte comparat cum Graeco vocabulo *ἀπομύττειν*. Hesych. T. I. p. 473. *ἀπομύττειν, ἐξαπατᾶν, γοητεύειν*. Pollux. On. II, 4. s. 78. *ἤδη τινὲς τῶν κωμικῶν τὸ ἐπὶ κέρδει ἐξαπατᾶν ἀπομύττειν εἶπον*. Pro *πῶς* corr. *ὅπως*.
Οὐκοῦν — ποτε] Vett. Edd. lectio expressa: *ad illam primam — eamque ipsam*, optt. Edd. recc. Graev. Gernh. Beier. Orell. *ad illa prima — eaque ipsa*. 100
Cap. XXVII. *Ἡ μὲν οὖν ἀρετή*] Male *virtus* semel est redditum, recte bis in multis Codd. et optt. Edd. inde a Graevio exhibetur, quum haec *ἀναδίπλωσις*, iudice Beiero, egregie oratoriam epilogi, in quo semper oratio surgit, vim adaugeat.
Μούτιε] Vd. supra ad Cap. I.
Ἐν αὐτῇ — ἔνεστι] Cicerone interprete *convenientia* h. l. i. q. *συμπάθεια* Nat. D. III, 11. de Div. II, 14. (non 15. ut Schütz. Lex. Cic. et Gernh.), quam quoque de Fin. III, 6. *ὁμολογίαν* explicat. Apud Stob. Ecl. Ethic. *συμφωνία* idem significat vd. Goerenz. ad h. l.

καὶ τὸ ἑτέρῳ ἑνὸν ἀντιλαμβάνει· ὅθεν δεινῶς ἐκπυροῦται τὸ φίλτρον εἴτε ἡ φιλία. Ἄμφω γὰρ τὰ ὀνόματα ταῦτα ἀπὸ τοῦ φιλεῖν παράγεται. Τὸ δὲ φιλεῖν οὐδέν ἐστιν ἄλλο εἰ μὴ τὸν αὐτὸν ἀγαπᾶν, ὃν ἂν φιλήσῃς, μηδεμιᾶς χρείας καὶ ὠφελείας
101 *ἕνεκα. Εἰ καὶ αὐτὴ ὅμως, κἂν μὴ μνωμένῳ σοι, ἐκ τῆς φιλίας ἀναφύεται. Μετὰ τοιαύτης εὐνοίας ἡμεῖς ἔτι ἐν τοῖς μειρακίοις ἐξεταζόμενοι τοὺς πρεσβύτας ἐκείνους, Λεύκιον Παῦλον, Μάρκον Κάτωνα, Γάϊον Γάλλαν, Πάπλιον Ναριχᾶν καὶ Τιβέριον Γράκχον, τοῦ ἡμετέρου πενθερὸν Σκηπίωνος, ἐφιλήσαμεν. Ἐκείνη δ' αὖ καὶ μᾶλλον ἐν τοῖς ἥλιξιν ἀναφαίνεται, οἷον ἐμοῦ μεταξὺ καὶ Σκηπίωνος, τοῦ τε Λευκίου Φουρίου καὶ Ποπλίου Ῥουπιλίου καὶ Σπορίου Μόυμμίου. Ἐν μέρει δὲ καὶ ἡμεῖς οἱ γηραιοὶ τῇ τῶν μειρακίων ἀγαπήσει ἐπαναπαυόμεθα, ὥςπερ ἐν τῇ ὑμετέρᾳ καὶ τῇ Κοΐντου Τουβέρωνος· λίαν δὲ κἀμὲ ἡ τοῦ κομιδῇ νεανίσκου ὄντος Ποπλίου Ῥουτιλίου καὶ Αὔλου Οὐϊργινίου οἰκειότης εὐφραίνει. Ἐπειδὴ δὲ τοιοῦτον ὁ βίος καὶ ἡ φύσις ἡμετέρα λόγον ἔχει, ὡς ἄλλην ἐξ ἄλλης φῦναι τὴν ἡλικίαν· μάλιστα μὲν εὐκταῖον ἂν εἴη σοι τὸ τοῖς ἡλικιώταις καθάπερ ἀπὸ τῆς ἀφετηρίας συνεκβληθέντα μετὰ τῶν αὐτῶν εἰς νύσσαν, ὡς λέγουσι, φθάνειν δύνασθαι.*
102 *Ἐπεὶ δ' ἀστάθμητα τὰ ἀνθρώπινα καὶ ὀξείας ἔχει τὰς ῥοπάς, διὰ παντὸς ἀναζητεῖν δεῖ, οὓς ἂν φιλήσωμεν καὶ ὑφ' ὧν ἀντιφιληθῶμεν. τῆς γὰρ ἀγάπης καὶ εὐνοίας ἀνῃρημένης πᾶν ἐκ τοῦ βίου συνανῄρηται τὸ ἡδύ. Ἐμοὶ μὲν οὖν ὁ Σκηπίων, καίπερ ἐξαίφνης ἀναρπασθείς, ζῇ τε ὅμως καὶ ζήσεται ἀεί. τὴν γὰρ ἀρετὴν ἠγάπησα τἀνδρός, ἥτις οὐκ ἀπεσβέσθη. Καὶ οὐκ ἐμοὶ μόνῳ πρὸ ὀφθαλμῶν κεῖται, ὃς πάντοτε μετὰ χεῖρας εἶχον αὐτήν, ἀλλὰ καὶ παρὰ τοῖς ὕστερον λαμπρὰ μέλλει καὶ διαβόητος ἔσεσθαι· οὐδ' ἔστιν ὅςτις εἰς ἐνθύμησιν ἢ ἐλπίδα*

ὅθεν — φιλία] *Ex quo exardescit sive amor sive amicitia* vulgo in optt. Edd. legitur, i. e. *εἴτε τὸ φίλτρον εἴτε ἡ φιλία.* Petavius expressit lectionem *ex quo eorum exardescit amor sive amicitia. Amor* non est *φίλτρον* (vd. Lexic. Xenoph. Memor. II, 6, 10. III, 11, 17.), quo vocabulo usus videtur Petavius, ut, quum *φιλία* et *amor* et *amicitia* sit, sicut Cicero, duo vocabula eiusdem stirpis poneret.

ἀναφύεται] *Efflorescit*, cui accuratius respondet *ἐξανθεῖ.*

101 *συνεκβληθέντα — φθάνειν δύνασθαι*] Rectius *συναφεθέντα*, quum *συνεκβάλλεσθαι eiici*, *συναφίεσθαι emitti cum aliquo* significet; unde *carceres ἀφετηρία — ἄφεσις* vocantur. Pro *φθάνειν* erat ponendum *ἀφικνεῖσθαι*, quum ap. Cic. sit *pervenire*. Supr. corr. *Νασικᾶν*.

102 *Ἐπεὶ — ῥοπάς*] *Caducus* rectius interpreteris *ἐξίτηλος — φθαρτός*, quum *ὀξείας ἔχειν τὰς ῥοπάς* significet *ὀξύῤῥοπον εἶναι*, *celeriter mutari*, *mutabilem*, *agilem esse* vd. Steph. Thes. T. III. p. 678.

ζήσεται] Apud bonos scriptores Fut. verb. *βιοῦν* in usu est.

*τῶν μειζόνων ἥξει ποτέ, ὃς ἐκείνου τὴν μνήμην καὶ τὴν εἰκόνα
μὴ προκεῖσθαι δεῖν ἡγήσεται. Ἐμοὶ δ' ἐξ ἁπάντων, ἅπερ ἐκ* 103
*τῆς τύχης ἢ φύσεως ἔλαχον, οὐδέν ἐστιν ὃ τῇ Σκηπίωνος φι-
λίᾳ παραβάλλειν ἂν ἔχοιμι. Ἐν ταύτῃ καὶ τὸ περὶ πολιτείας
ὁμογνωμονεῖν ἐγένετό μοι, ἐν ταύτῃ τὸ περὶ τῶν ἰδίων βου-
λεύεσθαι, ἐν ταύτῃ ὁλόκληρον παρέχουσα τὸ τερπνὸν ἡ ἀνά-
παυσις. Οὐδέποτε ἐκείνῳ, ὅσον ἐμέ γ' αἰσθέσθαι, προς-
έκρουσα· οὐδ' αὖ, ὃ μὴ βουλομένῳ ἦν ἐμοί, ἤκουσα παρ' αὐ-
τοῦ. Μία ἦν ἀμφοῖν οἰκία, δίαιτά θ' ἡ αὐτή τῆς κοινῆς
μηδὲν ἐξηλλαγμένη· καὶ οὐχ ὅσον ἡ ἐκστρατεία, ἀλλὰ καὶ ἀπο-
δημίαι καὶ ἀγραυλίαι κοιναὶ ἦσαν ἡμῖν. Τί γὰρ χρὴ καὶ λέ-* 104
*γειν ἐμὲ περὶ τῆς κατὰ τὸ γνῶναι καὶ μαθεῖν ἀεί τι φιλοτιμίας
ἡμῶν; ἐν ῃ μακρὰν ἀπῳκισμένοι τῆς τῶν πολλῶν συνηθείας
πᾶσαν τὴν σχολὴν καὶ χρόνον κατετρίψαμεν. Ὧν ἁπάντων ἡ
μνήμη εἴπερ ἐκείνῳ συναπώλετο, ἀνδρὸς οἰκειοτάτου καὶ προς-
φιλεστάτου τὸν πόθον ἐνεγκεῖν οὐκ ἂν οἷός τ' ἦν ἐγώ. Ἀλλ' οὐδὲ
ταῦτα παντελῶς ἠφάνισται, τρέφεται δὲ μᾶλλον καὶ διὰ τῆς
ἐννοίας καὶ μνήμης ἐπαύξεται· καὶ εἰ πάντως ἐστερημένος ἦν
αὐτῶν, πολλὴν ἂν ἐμοὶ αὐτὴ ἡ ἡλικία συνεβάλλετο τὴν παρα-
μυθίαν. οὐ γὰρ ἐπὶ πολὺν ἔτι τὸν χρόνον τῷδε τῷ πόθῳ συ-
ζῆν ἂν δυναίμην. Ἅπαντα δὲ τὰ βραχέα ἀνεκτὰ μέλλει ἔσε-
σθαι, κἂν μεγάλα ὄντα τυγχάνοι. Ταῦτα περὶ τῆς φιλίας εἶ-
χον εἰπεῖν· ὑμῖν δὲ παραινῶ, τοιαύτῃ τῇ ἀρετῇ χώραν ἀπονέ-
μειν, ἧς ἄνευ εἶναι τὴν φιλίαν οὐκ ἐνδέχεται· ὡς ἐκείνης ἐξ-
ῃρημένης προτιμότερον τῆς φιλίας οὐδὲν ἡγεῖσθαι.*

βουλομένῳ] Correxi pro *βουλομένω*. 103
ῃ — κατετρίψαμεν] Expressa est lectio *omne otium tempusque* 104
contriuimus, sed in plerisque Codd. et optt. Edd. *omne otiosum
tempus contrivimus*. Pro ᾧ, mendo typogr., corr. ῃ
κἂν — τυγχάνοι] Corr. *κἂν — τυγχάνῃ*.
ὡς — οὐδέν] Corr. *ὡς — μηδέν*.

M. TULLI CICERONIS
PARADOXA
IN
GRAECUM CONVERSA
A
DION. PETAVIO
ET
ADRIANO TURNEBO.

ΜΑΡΚΟΥ ΤΟΥΛΛΙΟΥ ΚΙΚΕΡΩΝΟΣ
ΠΑΡΑΔΟΞΑ
ΕΡΜΗΝΕΥΘΕΝΤΑ
ΥΠΟ
ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΠΕΤΑΒΙΟΥ
ΚΑΙ
ΑΔΡΙΑΝΟΥ ΤΟΥΡΝΕΒΟΥ.

Μ. Τ. ΚΙΚΕΡΩΝΟΣ ΠΑΡΑΔΟΞΑ ΣΤ ΕΡΜΗΝΕΥΘΕΝΤΑ ΥΠΟ ΔΙΟΝ. ΤΟΥ ΠΕΤΑΒΙΟΥ.

Prooemium.

Τὸν μητράδελφόν σου Κάτωνα πολλάκις, ὦ Βροῦτε, παρετήρησα, ὁπόταν ἐν τῇ συγκλήτῳ τὴν ἑαυτοῦ γνώμην ἀπέφαινε, κεφάλαι' ἄττα τῶν ἐκ τῆς φιλοσοφίας μάλα προὔργου ὄντα μεταχειρίσασθαι, τῆς τε κατ' ἀγορὰν χρήσεως καὶ τῶν δημοσίων συλλόγων πάμπαν ἀφεστηκότα· ὅμως δὲ τοσοῦτον λέγοντα διαπράξασθαι, ὡς τὰ τοιαῦτα κἂν τῷ δήμῳ πιθανὰ δοκεῖν. Ὃ δὴ τοσούτῳ μεῖζον καὶ χαλεπώτερον ἐκείνῳ ἢ ἀμφοῖν ἐστὶ σοί τε κἀμοί, ὅσον ἡμεῖς τοιαύτῃ μᾶλλον χρώμεθα τῇ φιλοσοφίᾳ, ἣ τὴν τοῦ λέγειν δύναμιν ἔτεκεν· ἐν ᾗ δηλαδὴ ταῦτα

Μ. Τ. ΚΙΚΕΡΩΝΟΣ ΠΑΡΑΔΟΞΑ Δ ΕΡΜΗΝΕΥΘΕΝΤΑ ΥΠΟ ΑΔΡ. ΤΟΥΡΝΕΒΟΥ.

Prooemium.

1 Κάτωνα τὸν σὸν πρὸς μητρὸς θεῖον πολλάκις, ὦ Βροῦτε, κατενόησα, ὅτε δὴ ἐν τῇ συγκλήτῳ τὴν γνώμην ἀποφήναιτο, τόπους τινὰς ἐκ τῆς φιλοσοφίας κομιδῇ σπουδαίους μεταχειρίσασθαι, ἀλλοτρίους δὲ καὶ τῆς ἀγορᾶς καὶ πολιτείας· ὅμως δ' οὖν τῇ εὑρεσιλογίᾳ ποιεῖν, ὥστε τῷ δήμῳ ἐκείνους μάλα πιθανοὺς δοκεῖν.
2 Ὃ δὴ ἐκείνῳ ἐκ τούτου μείζονος ἦν δυσχερείας, ἢ σοὶ ἢ ἐμοί· ὅτι δηλονότι ἐκείνῃ φιλοσοφίᾳ μᾶλλον χρώμεθα, ἣ τὴν τῶν λόγων δύναμιν ἐγέννησε, καὶ ἐν ᾗ τὰ λεγόμενα οὐ παρὰ πολὺ ἀπὸ τῆς δημώ-

---

1 ὁπόταν — ἀπέφαινε] Ὁπόταν cum Indicativo soloecum est vd. supra ad Cicer. Lael. cp. 2. et h. l. ὅτε vel ὁπότε est ponendum: τὴν γνώμην ἀποφαίνεσθαι usitatius quam ἀποφαίνειν. Recte Turnebus ὅτε — τὴν γνώμην ἀποφήναιτο.

ὅμως — δήμῳ] Rectius h. l. Petavius quam Turnebus est interpretatus: ὅμως δ' οὖν τῇ εὑρεσιλογίᾳ ποιεῖν, ὥστε τῷ δήμῳ —. nam εὑρεσιλογία est *ars inventrix, acumen in inveniendo, solertia in inveniendis et proferendis verbis; loquacitas, verbositas, commentitia disputatio* vd. Steph. Thes. T. IV. p. 988. *Dicendo consequi* simpliciter est λέγοντα διαπράξασθαι; *etiam* est omissum.

2 μεῖζον καὶ χαλεπώτερον] Apud Cic. est tantum *maius*.

εἰπεῖν ἔθος ἐστὶν, ἅπερ ὀλίγον παραλλάττει τῆς τῶν πολλῶν ὑπολήψεως. ὁ δὲ Κάτων τέλειος ὢν κατ᾽ ἐμὲ Στωϊκὸς καὶ τοιαῦτα φρονεῖ, ἃ μὴ τὸ πλῆθος ἀποδέχεται, καὶ ἐν τοιᾷδε τῇ αἱρέσει ἐξετάζεται, ἥτις τοῦ ἐν τοῖς λόγοις διηνθισμένου ἥκιστα στοχάζεται οὐδὲ τὴν ὑπόθεσιν ἐπεξεργάζεται· διὰ δὲ λεπτῶν τινων ἐρωτηματίων, ὡσανεὶ κεντήσεων, τὸ προκείμενον ἀπεργάζεται. Ἀλλ᾽ οὐδὲν οὕτως ἐστὶν ἄπιστον, ὃ μὴ τῷ λόγῳ πιστὸν ἂν γένοιτο· μηδέν τε οὕτως ἀκαλλὲς καὶ ἀκατασκεύαστον, ὃ μὴ φαιδρυνθῇ τῷ λόγῳ καὶ οἷον ἐξασκηθῇ. ὃ δὴ οὕτω πεδους ὑπολήψεως ἀφίσταται. ὁ δὲ δὴ Κάτων ἐντελὴς οἶμαι Στωϊκὸς ταῦτά που δογματίζει, οἷς ὁ πολὺς ὅμιλος οὐ συγκατατίθεται. καὶ ἐκείνης τε τῆς αἱρέσεως ἔχεται, ἥτις οὐδεμιᾷ λέξεως ἀνθολογίᾳ ἐφέπεται οὐδὲ τὸ ἐπιχείρημα πλατύνει. ἀλλὰ σμικραῖς ἐρωτήσεσι καὶ οἱονεὶ κέντροις τὸ προτιθέμενον συμ-
8 *περαίνει. Οὐδὲν μέντοι ὅμως ἐστὶν οὕτως ἀπίθανον, ὃ μὴ λόγῳ πιθανὸν γένηται, οὐδὲν οὕτως κατεσκληκός τε καὶ ἄκομψον, ὃ οὐχὶ τῷ λόγῳ λαμπρύνηται καὶ οἱονεὶ θεραπεύηται. τοῦτο δὴ οὕτως ὑπολα-*

ἅπερ — ὑπολήψεως] Pro Turnebi interpretatione *τὰ λεγόμενα οὐ παρὰ πολὺ ἀπὸ τῆς δημώδους ὑπολήψεως ἀφίσταται* substituit Blum. Anleit. p. 166. *τὰ λεγόμενα οὐ πολὺ ἀπὸ τῆς δημώδους ὑπολήψεως κεχώρισται.*

διὰ — κεντήσεων] Recte secutus est Petavius lect. *quasi punctis* pro *et quasi punctis*, ut Turnebus, qui *minutis interrogatiunculis* minus accurate reddidit *σμικραῖς ἐρωτήσεσι.*

8 *οὐδὲν — ἐξασκηθῇ*] Turnebus: *Οὐδὲν — οὕτως ἀπίθανον, ὃ μὴ — γένηται. οὐδὲν —, ὃ οὐχὶ — λαμπρύνηται — θεραπεύηται.* Priusquam Petavii et Turnebi interpretationem examinemus, apponamus verba Ciceronis: *Sed nihil est tam incredibile, quod non dicendo fiat probabile: nihil tam horridum, tam incultum, quod non splendescat oratione et tanquam excolatur.* Locutionem Latinam *nihil est — quod* Graece plena reddunt *οὐδέν ἐστιν ὅ τι οὐ* vd. Ast. ad Plat. Alcib. I. p. 305. Popp. et Born. ad Xen. Cyr. VII, 5, 61. Lex. Xenoph. Vol. III. p. 356., saepe contracte *οὐδὲν ὅ τι οὐ* ibid. Herm. ad Viger. p. 709. Matth. Gr. T. II. p. 607. Iacob. ad Lucian. Toxar. p. 85, interdum pro *ὅ τι* ponunt *ὅ* Herm. l. l. Quod ad modum attinet, quem haec structura requirit, relativum cum *ἄν* sequente Coniunctivo est ponendum vd. Herm. ad Viger. p. 908. Dissen. Disquiss. philol. Spec. I. p. 22. Poppon. Comment. de partic. *ἄν* in Friedem. et Seebod. Miscell. Vol. I. p. 49 sq. Bernhard. wiss. Syntax d. griech. Spr. p. 398 sq. Kühner Versuch ein. neu. Anordn. d. griech. Synt. §. 220. De Optativo, praecedente pron. relativo, vd. Bornem. ad Xen. Cyrop. VII, 5, 61. Herbst. ad Xen. Memor. I, 2, 6. Bernhard. l. l. dubia de hac structura Xenophonti usitata moventem. Locus Ciceronis sic interpretandus: *Ἀλλ᾽ οὐδέν ἐστιν οὕτως ἄπιστον, ὃ (ὅ τι) οὐκ ἂν τῷ λόγῳ πιστὸν γένηται· οὐδέν τε οὕτω τραχὺ καὶ ἄκοσμον, ὃ οὐκ ἂν τῷ λόγῳ*

πεισμένος καί τι καὶ ὑπὲρ ἐκεῖνον αὐτὸν ἐθρασυνάμην, ὃν ἔφθην εἰπών. Ὁ μὲν γὰρ Κάτων περὶ τῆς μεγαλοψυχίας καὶ ἐγκρατείας, περί τε θανάτου καὶ παντοίου τῆς ἀρετῆς ἐπαίνου, περὶ θεῶν τ' αὖ καὶ περὶ τῆς εἰς τὴν πατρίδα στοργῆς εὖ μάλα Στωϊκῶς καὶ ῥητορικῆς δίχα φιλοκαλίας εἴωθε διαλέγεσθαι. Ἐγὼ δὲ ἅπερ κἀν τοῖς γυμνασίοις καὶ ἐν σχολῇ μόλις ἀποδέχονται οἱ Στωϊκοί, αὐτὰ ταῦτά σοι οἱονεὶ παίζων εἰς κοινοὺς τόπους φέρων συνεσκεύασα, ἃ καὶ διὰ τὸ θαυμάσια εἶναι 4 καὶ παρὰ τὴν τῶν πολλῶν δόξαν κἀκείνοις ὀνομάζειν π α ρ ά δ ο ξ α νομίζεται. Οὐκοῦν πεῖραν ἐνταῦθα λαβεῖν ἐβουλήθην, πότερον εἰς φῶς τὰ τοιαῦτα οἷόν τέ ἐστιν εἰσάγειν, τουτέστιν εἰς ἀγορὰν καὶ οὕτως ἀπαγγέλλεσθαι, ὥς εὐδοκιμεῖν, ἢ εἰ μὴ τοῦτο, πότερον ἄλλο τί ἐστιν ὁ παιδείας γέμων, καὶ ἄλλος δημώδης ὁ λόγος. καὶ παρὰ τοῦτο δὲ

βιῶν προθυμότερον διὰ τοῦτο καὶ θαῤῥαλεώτερον ἢ αὐτὸς ἐκεῖνος ὁ Κάτων, οὗ πέρι τάδε φημί, ἐποίησα. Κάτων μὲν γὰρ μόνον περὶ μεγαλοψυχίας, περὶ ἐγκρατείας, περὶ θανάτου, περὶ ἀρετῆς κάλλους, περὶ θεῶν ἀθανάτων, περὶ τῆς πρὸς τὴν πατρίδα φιλίας τὸν Στωϊκὸν τρόπον ἄνευ ῥητορικοῦ κόσμου εἴωθε διαλέγεσθαι. Ἐγὼ δέ σοι, ἃ μόγις οἱ Στωϊκοὶ πολλῆς σχολῆς τυγχάνοντες ἐν τῇ διατριβῇ πιθανῶς κατασκευάζουσιν, οἷον παίζων εἰς τόπους κοινοὺς συντέθεικα. ἅτινα θαυμάσια ὄντα καὶ πᾶσιν ἀπίθανα ἀπὸ ἐκείνων δῆθα καὶ π α ρ ά δ υ ξ α ὀνομάζεται· πειρᾶσθαι ἠθέλησα, εἰ δυνηθείη εἴς τε τὸ φῶς προάγεσθαι, τοῦτό ἐστιν εἰς τὸ δικαστήριον, καὶ οὕτω ῥηθῆναι, ὥστε προςίεσθαι παρὰ πάντων καὶ εὐδοκιμεῖν· ἢ τάχα ἄλλος εἴη λόγος ὁ φιλόσοφος, ἄλλος ὁ δημοτικός.

ἐκλάμπῃ καὶ οἱονεὶ θεραπεύηται. Blumius Anleit. p. 167. commendat structuram *οὐδὲν—οὕτως—ὥςτε μή*, idemque recte *horridum τραχύ*, convenientius quam Petav. *ἀκαλλές* et Turn. *κατεσκληκός*.

καὶ—ἐθρασυνάμην] Cic. *feci etiam audacius, quam ille ipse.* Recte Turnebus: *προθυμότερον—καὶ θαῤῥαλεώτερον ἢ αὐτὸς ἐκεῖνος—ἐποίησα*; nam *θρασύνεσθαι ὑπέρ τινα* dici nequit pro: *audacius facere quam aliquem.* Infra *nullis* ante *oratoriis* a P. et T. male expressum.

ἃ καὶ—νομίζεται. Οὐκοῦν] Petavius sequitur lect. *Quae—appellantur. Ac tentare*—Turnebus coniunctionem omittit. Recte distinguitur commate post *appellantur* omissa coniunctione, ut ab Gernh. et Orell. Petavius rectius *καὶ παρὰ τὴν τῶν πολλῶν δόξαν*, i. e. *contraque opinionem omnium*, quam Turnebus: *καὶ πᾶσιν ἀπίθανα.* 4

τουτέστιν εἰς ἀγοράν] *Id est in forum*, Turn. minus recte *τοῦτό ἐστιν εἰς τὸ δικαστήριον*: quae verba merito Orellius uncis liberavit.

δημώδης ὁ λόγος] Est *popularis oratio*, non *δημοτικός*, ut est apud Turnebum.

ῥᾳδίως ἐνίκησε. Τοῦτο μὲν οὖν ἐπ' ἐμοῦ στρατηγοῦ πρὸ πέντε τῆς ἐμῆς ὑπατείας ἐτῶν ἐγίνετο. Οὐκοῦν ἐκ τῆς τοῦ πράγματος φύσεως μᾶλλον ἢ ἐκ τοῦ ἀξιώματος αὕτη ἡ δίκη προστασίας ἔτυχε.

97 XXVI. Εἰ δ' ἐπὶ τῆς σκηνῆς, τουτέστιν ἐπ' ἀγορᾶς, ὅπου τὰ πεπλασμένα καὶ ἐσχηματισμένα ὅτι μάλιστα χώραν ἔχει, τἀληθὲς ὅμως ἰσχύει, εἰ φωραθείη ποθὲν καὶ λαμπρῶς ἀναφαίνοιτο· τί χρὴ κατὰ τὴν φιλίαν γενέσθαι, ἥτις ὅλη πρὸς τὴν ἀλήθειαν ἀνακρίνεται; Ἐν ᾗ ἐὰν μὴ τὸ στῆθος, ὡς λέγουσιν, ἀναπεπταμένον ἴδῃς, καὶ τὸ σὸν δ' ἐπιδεικνύῃς αὐτός, πιστὸν οὐδὲν οὔτε σαφῶς ἐγνωσμένον ἂν ἔχοις· ἀλλ' οὐδὲ φιλεῖν ἢ φιλεῖσθαι δυνηθείης ἄν, ἐφ' ὅσον τοῦτο ἀληθῶς καὶ ἀπλάστως γίνεται οὐκ εἰδώς. Καίτοι αὕτη ἡ κολακεία, καίπερ ἐπιβλαβὴς οὖσα, οὐδένα λυμαίνοιτ' ἂν ὅμως εἰ μὴ τὸν προσιέμενον καὶ ἡδόμενον αὐτῇ. Ὅθεν εἰς τοῦτο περίσταται τὸ πρᾶγμα, ὡς ἐκεῖνον μάλιστα τὰ ὦτα τοῖς κόλαξιν ὑπέχειν, ὃς
98 ἑαυτὸν κολακεύει καὶ οὐχ ἥκιστα ἥδεται αὐτὸς ἑαυτῷ. Ὅλως δ' αὐτῆς ἐρᾷ ἡ ἀρετή. καὶ γὰρ οἶδε κάλλιστα ἑαυτήν, καὶ ὡς ἀξιέραστός ἐστι κατανοεῖ. Ἀλλ' ἔγωγε τανῦν οὐ περὶ ἀρετῆς λέγω, δόξης δὲ μᾶλλον τῆς ἐπ' αὐτῇ. οὐ τοσοῦτοι γὰρ αὐτὴν κεκτῆσθαι τὴν ἀρετὴν ἢ δοκεῖν ἐθέλουσιν. Οὗτοι ἥδονται κολακευόμενοι· τούτοις ἡ πρὸς χάριν ἀναπεπλασμένη ὅταν ὁμιλία προσάγεται, τὸν κενὸν τουτονὶ λόγον ἰδίων ἐπαίνων εἶναι μαρτυρίαν ὑπολαμβάνουσιν. Οὐδεμία γοῦν τοιαύτη ἐστὶν ἡ φιλία, ὅτε ὁ μὲν ἕτερος τἀληθὲς ἀκούειν οὐ βούλεται, ὁ δ' ἕτερος εἰς τὸ ψεύδεσθαι παρεσκευασμένος ἐστίν. οὐδὲ μὴν τῶν ἐν ταῖς κωμῳδίαις παρασίτων ἐπίχαρις ἦν ἡ κολακεία, εἰ μή τινες ἦσαν ἀλαζόνες οἱ στρατιῶται.

Μεγάλην ἐμοὶ γοῦν ἔσχεν ἡ Θαῒς χάριν;

ἤρκει μὲν ἀποκρίνασθαι, ὅτι μεγάλην· ὁ δὲ ὑπερφυῆ λέγει. Ἐπιεικῶς γὰρ ἐπαύξειν οἶδεν ἡ κολακεία, ὃ μέγα ἐκεῖνος εἶναι
99 βούλεται, οὗ πρὸς χάριν εἴρηται. Τοιγαροῦν εἰ καὶ τὸ κενὸν τόδε προσηνὲς ὂν παρὰ τούτοις δυνατόν ἐστιν, οἳ ἐπισπῶνται καὶ προσκαλοῦσιν αὐτοί· παραγγελτέον ὅμως κἂν τοῖς ἐμβριθεστέροις καὶ εὐσταθεστέροις δοκοῦσίν ἐστιν, ὅπως τὸν νοῦν προσέχωσι, μὴ ἄρα ὑπὸ τῆς σεσοφισμένης κολακείας ἁλῶσι. Τὸν γάρ τοι φανερῶς κολακεύοντα οὐδεὶς ὅστις οὐχ ὁρᾷ, ἢν

---

97 Cap. XXVI. τὰ ὦτα τοῖς κόλαξιν ὑπέχειν] Ὑπέχειν οὖας Simonid. τὰ ὦτα ἀναπεταννύναι Lucian. de histor. conscrib. cp. 7. ibiq. Herm.
98 ὅταν — προσάγεται] Corr. προσάγηται.
Μεγάλην — ἔσχεν — χάριν] *Gratias agere* i. q. χάριν ὁμολογεῖν — χάριτας λέγειν; χάριν ἔχειν i. q. *gratiam habere.*
99 ὅμως κἂν — δοκοῦσιν] Corr. ὅμως καὶ i. e. *tamen etiam*: δοκοῦσι abesse potest.

μὴ κομιδῇ ἀνόητος εἴη· ὁ δὲ πανοῦργος καὶ κρυπτὸς ἐκεῖνος μὴ λάθοι παρεισδύς, παντὶ τρόπῳ φυλακτέον ἐστίν· οὐδὲ γὰρ ῥᾳδίως διαγινώσκεται, ἅτε δεινὸς ἄν, κἂν ἐναντιούμενος, πολλάκις ὑποθωπεύειν καὶ προσσαίνειν ἐν ᾧ διαφερόμενος καὶ ἀμφισβητῶν φαίνεται, ὥστε τελευτῶν δὴ ὑπείκειν καὶ ἐθελοκακεῖν, ἵνα ὁ πεφενακισμένος ἄμεινον προαισθέσθαι δοκῇ. Τί δ' αἴσχιον τούτου; ὃ μὴ συμβῇ ποτε, προνοεῖν δεῖ μᾶλλον, ὡς ἐν Ἐπικουρείῳ·

Μωρῶν πρὸ πάντων πρεσβυτῶν σκηνῆς ἄπο
Ἐμὲ περιάξῃς τήμερον ἐμπαίζων ἅδην.

Τοῦτα γὰρ ἐν τοῖς δράμασι τὰ πρῶτα τῆς μωρίας ἔχει πρόσωπον τὸ τῶν ἀπρονοήτων καὶ εἰς τὸ πάντα πιστεύειν προπετῶν γερόντων. Ἀλλ' οὐκ οἶδα πῶς ἀπὸ τῶν ἐν τοῖς τελείοις ἀνδράσι φιλιῶν, τουτέστι σοφοῖς (σοφίας δὲ λέγω ταυτησὶ πέρι, οἵα τοῖς ἀνθρώποις ἐνεῖναι φύσιν ἔχει) εἰς τὰς φαυλοτέρας ὁ λόγος ἡμῖν μετέπεσεν. Οὐκοῦν ἐπὶ τὴν προτέραν ἐπανίωμεν καὶ τὴν ὑπόθεσιν ταύτην συμπεραίνωμέν ποτε.

XXVII. Ἡ μὲν οὖν ἀρετή, φαίην ἄν, ὦ Γάϊε Φάννιε καὶ Κόϊντε Μούτιε, συνίστησί τε τὰς φιλίας καὶ συνεστώσας διατηρεῖ. Ἐν αὐτῇ γὰρ τὸ τῶν πραγμάτων ἁρμόδιον καὶ σύμφωνον ἔνεστι, τό τε βέβαιον καὶ ἀσφαλές· ἥτις οὐ φθάνει προκύψασα καὶ τὸ ἴδιον φέγγος ἐπιδείξασα, τὸ δὲ αὐτὸ ἐν ἄλλῳ τινὶ κατιδοῦσα καὶ καταμαθοῦσα· καὶ δὴ ἐκείνῳ προσπελάζει,

---

ἢν — ἀνόητος εἴη] *Nisi — est excors*, i. e. εἰ μὴ — ἀνόητός ἐστι.

μὴ λάθοι — φυλακτέον ἐστίν] Corrige μὴ λάθῃ.

ὡς ἐν Ἐπικουρείῳ] Secutus est Pet. lectionem *Epicureo* pro unice vera *Epiclero*, quae Caecilii fabula fuit vd. Gernhard.

Ἐμὲ — πῶς] Expressa est lectio *luseris*, pro qua Gernhardus e Cod. Pal. 1. contra metrum *atque unxeris*; optime Beierus, quem secutus est Orellius, ex emendatione Bentleii ad Horat. art. poet. v. 96. *emunxeris* recepit, quod apte comparat cum Graeco vocabulo ἀπομύττειν. Hesych. T. I. p. 473. ἀπομύττειν, ἐξαπατᾶν, γοητεύειν. Polluc. On. II, 4. s. 78. ἤδη τινὲς τῶν κωμικῶν τὸ ἐπὶ κέρδει ἐξαπατᾶν ἀπομύττειν εἶπον. Pro πῶς corr. ὅπως.

Οὐκοῦν — ποτε] Vett. Edd. lectio expressa: *ad illam primam — eamque ipsam*, optt. Edd. recc. Graev. Gernh. Beier. Orell. *ad illa prima — eaque ipsa.*

Cap. XXVII. Ἡ μὲν οὖν ἀρετή] Male *virtus* semel est redditum, recte bis in multis Codd. et optt. Edd. inde a Graevio exhibetur, quum haec ἀναδίπλωσις, iudice Beiero, egregie oratoriam epilogi, in quo semper oratio surgit, vim adaugeat.

Μούτιε] Vd. supra ad Cap. I.

Ἐν αὐτῇ — ἔνεστι] Cicerone interprete *convenientia* h. l. i. q. συμπάθεια Nat. D. III, 11. de Div. II, 14. (non 15. ut Schütz. Lex. Cic. et Gernh.), quam quoque de Fin. III, 6. ὁμολογίαν explicat. Apud Stob. Ecl. Ethic. συμφωνία idem significat vd. Goerenz. ad h. l.

καὶ τὸ ἑτέρου ἑνὸν ἀντιλαμβάνει· ὅθεν δεινῶς ἐκπυροῦται τὸ φίλτρον εἴτε ἡ φιλία. Ἄμφω γὰρ τὰ ὀνόματα ταῦτα ἀπὸ τοῦ φιλεῖν παράγεται. Τὸ δὲ φιλεῖν οὐδέν ἐστιν ἄλλο εἰ μὴ τὸν αὐτὸν ἀγαπᾷν, ὃν ἂν φιλήσῃς, μηδεμιᾶς χρείας καὶ ὠφελείας
101 ἕνεκα. Εἰ καὶ αὐτὴ ὅμως, κἂν μὴ μνωμένῳ σοι, ἐκ τῆς φιλίας ἀναφύεται. Μετὰ τοιαύτης εὐνοίας ἡμεῖς ἔτι ἐν τοῖς μειρακίοις ἐξεταζόμενοι τοὺς πρεσβύτας ἐκείνους, Λεύκιον Παῦλον, Μάρκον Κάτωνα, Γάϊον Γάλλαν, Πόπλιον Νασικᾶν καὶ Τιβέριον Γράκχον, τοῦ ἡμετέρου πενθερὸν Σκηπίωνος, ἐφιλήσαμεν. Ἐκείνη δ' αὖ καὶ μᾶλλον ἐν τοῖς ἥλιξιν ἀναφαίνεται, οἷον ἐμοῦ μεταξὺ καὶ Σκηπίωνος, τοῦ τε Λευκίου Φουρίου καὶ Ποπλίου Ῥουπιλίου καὶ Σπορίου Μουμμίου. Ἐν μέρει δὲ καὶ ἡμεῖς οἱ γηραιοὶ τῇ τῶν μειρακίων ἀγαπήσει ἐπαναπαυόμεθα, ὥσπερ ἐν τῇ ὑμετέρᾳ καὶ τῇ Κοΐντου Τουβέρωνος· λίαν δὲ κἀμὲ ἡ τοῦ κομιδῇ νεανίσκου ὄντος Ποπλίου Ῥουτιλίου καὶ Αὔλου Οὐϊργινίου οἰκειότης εὐφραίνει. Ἐπειδὴ δὲ τοιοῦτον ὁ βίος καὶ ἡ φύσις ἡμετέρα λόγον ἔχει, ὡς ἄλλην ἐξ ἄλλης φῦναι τὴν ἡλικίαν· μάλιστα μὲν εὐκταῖον ἂν εἴη σοι τὸ τοῖς ἡλικιώταις καθάπερ ἀπὸ τῆς ἀφετηρίας συνεκβληθέντα μετὰ τῶν αὐτῶν εἰς νύσσαν, ὡς λέγουσι, φθάνειν δύνασθαι.
102 Ἐπεὶ δ' ἀστάθμητα τὰ ἀνθρώπινα καὶ ὀξείας ἔχει τὰς ῥοπάς, διὰ παντὸς ἀναζητεῖν δεῖ, οὓς ἂν φιλήσωμεν καὶ ὑφ' ὧν ἀντιφιληθῶμεν. τῆς γὰρ ἀγάπης καὶ εὐνοίας ἀνῃρημένης πᾶν ἐκ τοῦ βίου συνανῄρηται τὸ ἡδύ. Ἐμοὶ μὲν οὖν ὁ Σκηπίων, καίπερ ἐξαίφνης ἀναρπασθείς, ζῇ τε ὅμως καὶ ζήσεται ἀεί. τὴν γὰρ ἀρετὴν ἠγάπησα τἀνδρός, ἥτις οὐκ ἀπεσβέσθη. Καὶ οὐκ ἐμοὶ μόνῳ πρὸ ὀφθαλμῶν κεῖται, ὃς πάντοτε μετὰ χεῖρας εἶχον αὐτήν, ἀλλὰ καὶ παρὰ τοῖς ὕστερον λαμπρὰ μέλλει καὶ διαβόητος ἔσεσθαι· οὐδ' ἔστιν ὅστις εἰς ἐνθύμησιν ἢ ἐλπίδα

ὅθεν — φιλία] *Ex quo exardescit sive amor sive amicitia* vulgo in optt. Edd. legitur, i. e. εἴτε τὸ φίλτρον εἴτε ἡ φιλία. Petavius expressit lectionem *ex quo eorum exardescit amor sive amicitia*. *Amor* non est φίλτρον (vd. Lexic. Xenoph. Memor. II, 6, 10. III, 11, 17.), quo vocabulo usus videtur Petavius, ut, quum φιλία et *amor* et *amicitia* sit, sicut Cicero, duo vocabula eiusdem stirpis poneret.

ἀναφύεται] *Efflorescit*, cui accuratius respondet ἐξανθεῖ.

101 συνεκβληθέντα — φθάνειν δύνασθαι] Rectius συναφεθέντα, quum συνεκβάλλεσθαι *eiici*, συναφίεσθαι *emitti cum aliquo* significet; unde *carceres* ἀφετηρία — ἄφεσις vocantur. Pro φθάνειν erat ponendum ἀφικνεῖσθαι, quum ap. Cic. sit *pervenire*. Supr. corr. Νασικᾶν.

102 Ἐπεὶ — ῥοπάς] *Caducus* rectius interpreteris ἐξίτηλος — φθαρτός, quum ὀξείας ἔχειν τὰς ῥοπάς significet ὀξύῤῥοπον εἶναι, *celeriter mutari*, *mutabilem*, *agilem esse* vd. Steph. Thes. T. III. p 678.

ζήσεται] Apud bonos scriptores Fut. verb. βιοῦν in usu est.

τῶν μειζόνων ἥξει ποτέ, ὃς ἐκείνου τὴν μνήμην καὶ τὴν εἰκόνα
μὴ προκεῖσθαι δεῖν ἡγήσεται. Ἐμοὶ δ' ἐξ ἁπάντων, ἅπερ ἐκ 103
τῆς τύχης ἢ φύσεως ἔλαχον, οὐδέν ἐστιν ὃ τῇ Σκηπίωνος φι-
λίᾳ παραβάλλειν ἂν ἔχοιμι. Ἐν ταύτῃ καὶ τὸ περὶ πολιτείας
ὁμογνωμονεῖν ἐγένετό μοι, ἐν ταύτῃ τὸ περὶ τῶν ἰδίων βου-
λεύεσθαι, ἐν ταύτῃ ὁλόκληρον παρέχουσα τὸ τερπνὸν ἡ ἀνά-
παυσις. Οὐδέποτε ἐκείνῳ, ὅσον ἐμέ γ' αἰσθέσθαι, προς-
έκρουσα· οὐδ' αὖ, ὃ μὴ βουλομένῳ ἦν ἐμοί, ἤκουσα παρ' αὐ-
τοῦ. Μία ἦν ἀμφοῖν οἰκία, δίαιτά θ' ἡ αὐτή τῆς κοινῆς
μηδὲν ἐξηλλαγμένη· καὶ οὐχ ὅσον ἡ ἐκστρατεία, ἀλλὰ καὶ ἀπο-
δημίαι καὶ ἀγραυλίαι κοιναὶ ἦσαν ἡμῖν. Τί γὰρ χρὴ καὶ λέ- 104
γειν ἐμὲ περὶ τῆς κατὰ τὸ γνῶναι καὶ μαθεῖν ἀεί τι φιλοτιμίας
ἡμῶν; ἐν η μακρὰν ἀπῳκισμένοι τῆς τῶν πολλῶν συνηθείας
πᾶσαν τὴν σχολὴν καὶ χρόνον κατετρίψαμεν. Ὧν ἁπάντων ἡ
μνήμη εἴπερ ἐκείνῳ συναπώλετο, ἀνδρὸς οἰκειοτάτου καὶ προς-
φιλεστάτου τὸν πόθον ἐνεγκεῖν οὐκ ἂν οἷός τ' ἦν ἐγώ. Ἀλλ' οὐδὲ
ταῦτα παντελῶς ἠφάνισται, τρέφεται δὲ μᾶλλον καὶ διὰ τῆς
ἐννοίας καὶ μνήμης ἐπαύξεται· καὶ εἰ πάντως ἐστερημένος ἦν
αὐτῶν, πολλὴν ἂν ἐμοὶ αὐτὴ ἡ ἡλικία συνεβάλλετο τὴν παρα-
μυθίαν. οὐ γὰρ ἐπὶ πολὺν ἔτι τὸν χρόνον τῷδε τῷ πόθῳ συ-
ζῆν ἂν δυναίμην. Ἅπαντα δὲ τὰ βραχέα ἀνεκτὰ μέλλει ἔσε-
σθαι, κἂν μεγάλα ὄντα τυγχάνοι. Ταῦτα περὶ τῆς φιλίας εἶ-
χον εἰπεῖν· ὑμῖν δὲ παραινῶ, τοιαύτῃ τῇ ἀρετῇ χώραν ἀπονέ-
μειν, ἧς ἄνευ εἶναι τὴν φιλίαν οὐκ ἐνδέχεται· ὡς ἐκείνης ἐξ-
ῃρημένης προτιμότερον τῆς φιλίας οὐδὲν ἡγεῖσθαι.

βουλομένῳ] Correxi pro *βουλομένω*. 103
ῃ — κατετρίψαμεν] Expressa est lectio *omne otium tempusque* 104
contrivimus, sed in plerisque Codd. et optt. Edd. *omne otiosum*
tempus contrivimus. Pro ῳ, mendo typogr., corr. ῃ
κἂν — τυγχάνοι] Corr. *κἂν — τυγχάνῃ*.
ὡς — οὐδέν] Corr. *ὡς — μηδέν*.

σθαι. Τί γὰρ οἴει; εἴπερ Λεύκιος ὁ Μούμμιος τούτων νῦν
ἴδοι τινὰ ἀμίδα που τῶν Κορινθιουργῶν μετὰ πολλῆς ἐν χερ-
σὶν ἔχοντα τῆς προςπαθείας· ἐκεῖνος ὁ Μούμμιός, φημι, ὁ
πάσης καταφρονήσας τῆς Κορίνθου, πότερον τὸν τοιοῦτον
ὁρῶν, ἀξιόλογον εἶναι πολίτην τινὰ μᾶλλον οἴοιτο ἢ τῆς αὐ-
λῆς οἰκέτην ἐπιμελῆ καὶ φιλόπονον; Ἀναβιούτω δὴ Μάνιος ὁ
Κούριος ἢ τῶν τοιούτων ἕτερός τις, ὧν ἐν τῇ ἐπαύλει καὶ οἰ-
κίᾳ πλὴν ἑαυτῶν οὐδὲν ἦν λαμπρὸν οὐδὲ κεκαλλωπισμένον,
καί τινα ταῖς μεγίσταις χρησάμενον τοῦ δήμου δωρεαῖς ἰδέτω
γενειῶντα ἄττα τριγλίδια ἐκ τῆς κολυμβήθρας ὑπολαμβάνοντα
καὶ ψηλαφῶντα καὶ τῇ τῶν σμυραινῶν ἀφθονίᾳ ἐπιγαυρούμε-
νον: οὐ τουτονὶ κρινεῖ τὸν ἄνθρωπον ἐκεῖνος οὕτως αὐτόχρημα
δοῦλον ὑπάρχειν, ὡς μηδεμιᾶς κατὰ τὴν οἰκίαν μείζονος ἐπι-
39 στασίας ἀξιοῦν; Ἆρα τούτων ἡ δουλεία ἀμφίδοξος ἂν εἴη, οἳ
ὑπὸ τῆς τοῦ κτήσασθαί τι ἐπιθυμίας ἀγόμενοι μηδεμίαν παραι-
τοῦνται κἂν χαλεπωτάτης δουλείας ὑπόθεσιν; Ἡ δὲ τῆς κλη-
ρονομίας ἐλπὶς ποίας ἐν τῷ ὑπηρετεῖν ἐπηρείας οὐκ ἀνέχεται;
ποῖον δὲ νεῦμα πλουσίου καὶ ἄπαιδος πρεσβύτου οὐκ ἐπιτηρεῖ;
ἅπαντα πρὸς τὸ ἐκείνου θέλημα λέγει· ὅ, τι δὲ ἂν παραγγελθῇ,
ποιεῖ· κολακεύει, παρακάθηται; θαυμάζει. Τί τούτων ἐλευ-
θέρῳ πρέπει; τί δὲ οὐχὶ φαύλου καὶ ἀγεννοῦς ἐστιν οἰκέτου;
Ἐκείνη δ' αὖ ἡ ἐπιθυμία, ἥτις ἐλευθερίᾳ μᾶλλον εἶναι δοκεῖ,
φημὶ δὲ τιμῆς καὶ ἀρχῆς καὶ τῆς τῶν ἐπαρχιῶν προστασίας,
ὡς ἀπηνής ἐστι δέσποινα, ὡς ἐν τῷ ἐπιτάττειν ἀμείλιχός ἐστι
40 καὶ ἀπαραίτητος. III. Αὕτη τοίνυν τῷ Κεθήγῳ ἀνδρὶ τῶν
οὐ δοκιμωτάτων ὄντι δουλεύειν ἠνάγκασε τοὺς ἑαυτοῖς δοκοῦν-
τας ἐπιφανεστάτοις εἶναι, ὥςτε καὶ δῶρα πέμπειν καὶ εἰς οἰ-
κίαν αὐτοῦ νύκτωρ ἐλθόντας ἐντυγχάνειν, δεῖσθαί τε καὶ τὸ
τελευταῖον ἱκετεύειν. Τίνα χρὴ δουλείαν εἰπεῖν, εἰ ἐκείνην οἷόν
τέ ἐστιν ἐλευθερίαν νομίζειν; Τί δ' ἐντεῦθεν, ὁπότε τῆς τῶν
ἐπιθυμιῶν ἐπικρατείας ἐκστάσης ἄλλος ἀντεισήχθη δεσπότης
ἐκ τῆς τῶν ἁμαρτημάτων συνειδήσεως, ὁ φόβος; πῶς, οἴει,
ἐλεεινὴ καὶ χαλεπὴ ἐκείνη ἐστὶν ἡ δουλεία; τοῖς γὰρ εἰς τὸ λα-
λεῖν ὁτιοῦν προπετεστέροις δουλευτέον ἐστὶ νεανίαις· καὶ πάν-
τες οἱ συνειδέναι τι δοκοῦντες, ὡς δεσπόται εἰσὶ φοβεροί. ὁ δὲ
δικαστὴς οἵαν ἐπιφέρει τὴν τυραννίδα· οἷον δὲ φόβον τοῖς κα-
41 κούργοις ἐμποιεῖ. Τί οὖν δύναται τοῦ δεινοτάτου ῥήτορος

Μούμμιος] Appian. Hisp. VI, 57. *Μόμμιος* Strab. VIII. p. 584. Dio. Cass. LXI, 17. Polyb. III, 32.

τριγλίδια — σμυραινῶν] Lexica offerunt tantum deminutiva *τρίγλιον* et *τριγλίς*: *σμύραινα* est forma poetica, *μύραινα* vulgaris.

39 *κολακεύει — θαυμάζει*] Secutus est Petav. lect. *assentatur — miratur*: *assectatur — munerat* optt. Edd. Gernh. Orell., *muneratur* Graev. Ern.

40 Cap. III. *ἐμποιεῖ*] Post *ἐμποιεῖ* omissa sunt Ciceronis verba: *An non est omnis metus servitus?*

M. TULLI CICERONIS

PARADOXA

IN

GRAECUM CONVERSA

A

DION. PETAVIO

ET

ADRIANO TURNEBO.

ΜΑΡΚΟΥ ΤΟΥΛΛΙΟΥ ΚΙΚΕΡΩΝΟΣ

ΠΑΡΑΔΟΞΑ

ΕΡΜΗΝΕΥΘΕΝΤΑ

ΥΠΟ

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΠΕΤΑΒΙΟΥ

ΚΑΙ

ΑΔΡΙΑΝΟΥ ΤΟΥΡΝΕΒΟΥ.

Μ. Τ. ΚΙΚΕΡΩΝΟΣ ΠΑΡΑΔΟΞΑ ΣΤ ΕΡΜΗΝΕΥΘΕΝΤΑ ΥΠΟ ΔΙΟΝ. ΤΟΥ ΠΕΤΑΒΙΟΥ.

Prooemium.

Τὸν μητράδελφόν σου Κάτωνα πολλάκις, ὦ Βροῦτε, παρετήρησα, ὁπόταν ἐν τῇ συγκλήτῳ τὴν ἑαυτοῦ γνώμην ἀπέφαινε, κεφάλαι' ἄττα τῶν ἐκ τῆς φιλοσοφίας μάλα προὔργου ὄντα μεταχειρίσασθαι, τῆς τε κατ' ἀγορὰν χρήσεως καὶ τῶν δημοσίων συλλόγων πάμπαν ἀφεστηκότα· ὅμως δὲ τοσοῦτον λέγοντα διαπράξασθαι, ὡς τὰ τοιαῦτα κἂν τῷ δήμῳ πιθανὰ δοκεῖν. Ὃ δὴ τοσούτῳ μεῖζον καὶ χαλεπώτερον ἐκείνῳ ἢ ἀμφοῖν ἐστί σοί τε κἀμοί, ὅσον ἡμεῖς τοιαύτῃ μᾶλλον χρώμεθα τῇ φιλοσοφίᾳ, ἢ τὴν τοῦ λέγειν δύναμιν ἔτεκεν· ἐν ᾗ δηλαδὴ ταῦτα

Μ. Τ. ΚΙΚΕΡΩΝΟΣ ΠΑΡΑΔΟΞΑ Δ ΕΡΜΗΝΕΥΘΕΝΤΑ ΥΠΟ ΑΔΡ. ΤΟΥΡΝΕΒΟΥ.

Prooemium.

1 Κάτωνα τὸν σὸν πρὸς μητρὸς θεῖον πολλάκις, ὦ Βροῦτε, κατενόησα, ὅτε δὴ ἐν τῇ συγκλήτῳ τὴν γνώμην ἀποφήναιτο, τόπους τινὰς ἐκ τῆς φιλοσοφίας κομιδῇ σπουδαίους μεταχειρίσασθαι, ἀλλοτρίους δὲ καὶ τῆς ἀγορᾶς καὶ πολιτείας· ὅμως δ' οὖν τῇ εὑρεσιλογίᾳ ποιεῖν, ὥστε τῷ δήμῳ ἐκείνους μάλα πιθανοὺς δο-
2 κεῖν. Ὃ δὴ ἐκείνῳ ἐκ τούτου μείζονος ἦν δυσχερείας, ἢ σοὶ ἢ ἐμοί· ὅτι δηλονότι ἐκείνῃ φιλοσοφίᾳ μᾶλλον χρώμεθα, ἣ τὴν τῶν λόγων δύναμιν ἐγέννησε, καὶ ἐν ᾗ τὰ λεγόμενα οὐ παρὰ πολὺ ἀπὸ τῆς δημώ-

---

ὁπόταν — ἀπέφαινε] Ὁπόταν cum Indicativo soloecum est vd. supra ad Cicer. Lael. cp. 2. et h. l. ὅτε vel ὁπότε est ponendum: τὴν γνώμην ἀποφαίνεσθαι usitatius quam ἀποφαίνειν. Recte Turnebus ὅτε — τὴν γνώμην ἀποφήναιτο. 1

ὅμως — δήμῳ] Rectius h. l. Petavius quam Turnebus est interpretatus: ὅμως δ' οὖν τῇ εὑρεσιλογίᾳ ποιεῖν, ὥστε τῷ δήμῳ —. nam εὑρεσιλογία est *ars inventrix, acumen in inveniendo, solertia in inveniendis et proferendis verbis; loquacitas, verbositas, commentitia disputatio* vd. Steph. Thes. T. IV. p. 988. *Dicendo consequi* simpliciter est λέγοντα διαπράξασθαι; *etiam* est omissum.

μεῖζον καὶ χαλεπώτερον] Apud Cic. est tantum *maius*. 2

οὕτως ἐπαίνου ἄξιος ὢν μάλιστα τυγχάνοι. οὐδ' ἔστιν ἀγαθὸν οὐδέν, ἐφ' ᾧ πᾶς τις οὐκ ἂν καλῶς καὶ εὐσχημόνως καυχῷτο κύριος ὤν. ἆρα κρείττονα τὸν ἄνδρα καὶ ἐπαίνου μᾶλλον ἄξιον ἀποτελεῖ; Ἆρα διὰ τὴν τῶν ἡδέων ἀπόλαυσιν μέγα φρονεῖ τις, ἢ δόξης καὶ εὐφημίας τυχεῖν ἀξιοῖ; ἀλλὰ μήν, εἴπερ ἡδονὴ προστάτας καὶ συνηγόρους ἔχουσα πολλούς, οὐκ ἐν μέρει θετέα τῶν ἀγαθῶν· αὐτή τε ὅσῳ μείζων ὑπάρχει, τοσούτῳ μᾶλλον τὸν νοῦν ἐξίστησι καὶ τοῦ ἰδίου καταστήματος ἐκβάλλει· οὐδὲν ὡς ἀληθῶς εἶναι λεκτέον τὸ εὖ ζῆν καὶ εὐδαιμόνως πλὴν τοῦ καλῶς ζῆν καὶ ὀρθῶς.

τίω ἀπεργάζεται; ἕκαστος γὰρ ὅτι μάλιστα τοῦ ἀγαθοῦ μετέχων εἶτα καὶ ἐπαινετώτατός ἐστιν· καὶ δὴ καὶ ἀγαθὸν οὐδέν ἐστιν, ἐφ' ὅτῳ οὐχὶ καλῶς ὁ κεκτημένος καυχήσειεν. Τί δὲ τούτων τῇ ἡδονῇ πρόςεστιν; πότερον ἢ βελτίω ἢ ἐπαινετώτερον ἀποφαίνει τινά; Ἆρά τις ἐπὶ τῇ τῶν ἡδονῶν ἀπολαύσει ἑαυτὸν ἢ καυχήσας ἢ ἐξαγορεύσας καὶ ἀνακηρύξας διαῤῥήδην ἐπαίρει; καὶ μὴν εἰ ἡδονὴ ἡ πολλῶν γε συνηγορίαις καὶ ἐπικουρίαις προβαλλομένη καὶ ὠχυρωμένη τοῖς ἀγαθοῖς οὐκ ἐναριθμεῖται.. καὶ ἥδε ὅσῳ μείζων, τοσούτῳ μᾶλλον τὸν νοῦν ἐκ τοῦ καθεστηκότος ἐξίστησιν. οὐδὲν ἄλλο δῆθά ἐστιν εὖ καὶ εὐδαιμόνως ζῆν, εἰ μὴ καλῶς καὶ ὀρθῶς βιοτεύειν.

ΠΑΡΑΔΟΞΟΝ Β.

ΟΤΙ ΑΥΤΑΡΚΗΣ Η ΑΡΕΤΗ ΠΡΟΣ ΕΥΔΑΙΜΟΝΙΑΝ.

16 Ἀλλ' οὐδὲ Μάρκον ἔγωγε τὸν Ῥῆγλον ταλαίπωρον ᾠόμην ποτέ μηδ' ἄθλιον ἢ κακοδαίμονα γενέσθαι. οὐδὲ γὰρ τὸ μεγαλόφρον αὐτοῦ ὑπὸ τῶν Φοινίκων ἐβασανίζετο, οὐ τὸ σεμνόν, οὐ τὸ πιστόν, οὐ τὸ εὐσταθές, οὐχ ἑτέρα τις οὖν

ΠΑΡΑΔΟΞΟΝ Β.

ΟΤΙ ΑΥΤΑΡΚΗΣ ΑΡΕΤΗ ΠΡΟΣ ΕΥΔΑΙΜΟΝΙΑΝ.

Ἐγὼ δὲ Μάρκον τὸν Ῥέγλον οὐδέποτε ἄθλιον οὔτε κακοδαίμονα οὔτε δυστυχῆ ἡγησάμην. οὐ γὰρ αὐτοῦ ἡ μεγαλοψυχία ὑπὸ Καρχηδονίων ἐβασανίζετο ἢ βαρυπρέπεια ἢ πίστις ἢ εὐστάθεια ἢ ποία τις ἀρετὴ ἢ ἀμέλει αὐ-

---

ΠΑΡΑΔΟΞΟΝ Β.

Ὅτι αὐτάρκης ἡ ἀρετή] Turnebus articulum omisit ab omnibus Codd. et Edd. exhibitum

16 Ῥῆγλον] Male Turn. Ῥέγλον, Blum. Anl. p. 176 Ῥηγοῦλος, Appian. Punic. 3. Ῥῆγλος, Dion. Cass. fragm. CXLIX. Ῥήγουλος. Infr. *gravitas* rectius τὸ σεμνόν a Pet. dicitur quam βαρυπρέπεια a Turn., inusitatum Substant., de Adiect. vd. Lexx.

ἀρετή, οὐδ' αὐτὴ τὸ τελευταῖον ἡ ψυχή, ἥτις πολλῶν οὕτως ἀρετῶν βοηθείᾳ κατησφαλισμένη καὶ τοσαύτην δορυφορίαν περιβαλομένη, ὁπότε τὸ αὐτῆς σῶμα διεσπαράττετο, αὐτὴ διασπαράττεσθαι οὐχ οἵα τε ἦν. Γάϊον δὲ τὸν Μάριον εἴδομεν αὐτοί, ὃς ἐν μὲν ταῖς εὐημερίαις τῶν μακαρίων εἷς· ἐν δὲ ταῖς ἀτυχίαις τῶν μεγάλων ἀνδρῶν ἔδοξεν εἶναι· οὗ δὴ θνητῷ γεγονότι οὐδὲν ὅλως εὐδαιμονέστερον ἂν ὑπάρχοι. Λέληθεν, ὦ ἐμβρόντητε, 17
λέληθέ σε, οἵαν ἔχει δύναμιν ἡ ἀρετή· σὺ γὰρ ψιλῷ κέχρησαι τῆς ἀρετῆς ὀνόματι· ὅσον δ' ἰσχύει αὕτη παντάπασιν ἀγνοεῖς. οὐδεὶς δύναται μὴ οὐκ εὐδαιμονέστατος εἶναι, ὃς ἑαυτοῦ ὅλος ἐξήρτηται καὶ ἐν αὐτῷ μόνῳ τίθησι τὰ καθ' αὑτόν· οὗ δὲ πᾶσα ἐλπὶς καὶ λόγος καὶ διάνοια τῆς τύχης ἐξῆπται, τούτῳ μηδὲν εἶναι βέβαιον ἐνδέχεται, μηδὲν ὅπερ σάφ' ἂν εἰδείη διαμενεῖν αὐτῷ κἂν γοῦν μίαν ἡμέραν. οὕτω διακείμενον, ἤν τινά που εὕροις, ἄνθρωπον δεδίττου, θάτῃ ἡ ψυχή, ἥτις ἐν τοσούτων ἀρετῶν φρουρίῳ τοσαύτῃ τε συνελεύσει καὶ συνοδίᾳ οὖσα, ὁπότε τὸ αὐτοῦ σῶμα κατελαμβάνετο, καταλαμβάνεσθαι γοῦν οὐκ ἠδύνατο. Κάϊον μέντοι Μάριον ἑωράκαμεν, ἄνδρα ἐν μὲν ταῖς εὐπραγίαις καὶ εὐτυχίαις τῶν εὐτυχεστάτων ἕνα, ἐν δὲ ταῖς συμφοραῖς καὶ δυσημερίαις τῶν ἐπιεικεστάτων καὶ ἐξοχωτάτων ἐμοὶ γοῦν δοκοῦντα, οὗτινος τί ἄλλο μείζονος εὐδαιμονίας ἀνδρί γε καὶ θνητῷ ὄντι εἶναι δύναιτο; Ἀγνοεῖς τοίνυν, ὦ ἀφρονέστατε, τὴν τῆς ἀρετῆς δύναμιν ὁπόση καὶ πηλίκη; τοὐνόματος δὴ μόνον ἀντιλαμβάνεις· τί δύναιτο αὐτὴ οὐκ οἶδας. τὸν ἐξ αὑτοῦ ὅλου ἐξηρτημένον καὶ ἐν αὑτῷ ἅπαντα τιθέμενον ἀνάγκη πᾶσα καὶ εὐδαιμονέστατον γενέσθαι. ὁ δὲ καὶ τὴν ἐλπίδα καὶ τοὺς λογισμοὺς καὶ τὰς διανοίας ἐκ μόνης τύχης ἐξαψάμενος, τούτῳ δὴ βέβαιον οὐδὲν καθέστηκεν, οὐδὲν ὅπερ καὶ μίαν μόνην ἡμέραν πιστῶς παραμείνειεν. σὺ μὲν οὖν δεδίττου καὶ φόβει, ὅντινα βούλει, ταῖςδε

ἥτις — τε ἦν] Secutus est Petavius lect. *praesidio munitus — comitatu circumseptus*, quae Participia optimi Codd. et Edd. eii ciunt: deinde *carperetur — carpi* expressit, quanquam textus Latinus *caperetur — capi* (i. e. αἰχμαλωτίζεσθαι) offert. Pro συνελεύσει καὶ συνοδίᾳ (i. e. *comitatus*) Blum. Anl. p. 177. recte πομπῇ.

τῶν μακαρίων εἷς] I. e. *unus ex fortunatis hominibus*; melius Turn. τῶν εὐτυχεστάτων ἕνα, i. e. *unus ex fortunatissimis hominibus* — vd. Orell.

ἐμβρόντητε] Rectius Turnebus ἀφρονέστατε, i. e. *insane.* 17

οὗ δὲ] Expressa est lectio *cuius autem*, bene Gernh. Orell. *cui.*

κἂν γοῦν μίαν ἡμέραν] *Ne unum quidem diem*, optimae Edd. *ne — quidem* damnant.

ἤν — εὕροις] Corr. ἤν — εὕρῃς.

ἄπληστον γάρ τι φύσει χρῆμα
καὶ ἀκόρεστον τῆς ἐπιθυμίας
ἡ δίψα. οὗτοι δὲ οὐ μόνον τῷ
πόθῳ τῆς τῶν ὑπαρχόντων
αὐξήσεως ἀγωνιῶσιν, ἀλλὰ
καὶ τῷ φόβῳ, μὴ ἄρα κἀκεί-
νων ἐκπέσωσιν. Ἀμέλει τῶν 7
ἡμετέρων προγόνων, οἳ τἄλλα
πάντων ἀνθρώπων ἐγκρατέ-
στατοι γεγένηνται, τὸ φρόνι-
μον ἐνταῦθα πάντως ἐπαινεῖν
οὐκ ἔχω· οἵτινες ἀσθενῆ τάδε
καὶ εὐμετάβλητα μέρη τῶν
χρημάτων ἄχρι μόνου τοῦ
ὀνόματος ἀγαθὰ καλεῖν ἐνόμι-
σαν· καίτοι τῷ ὄντι κἂν ταῖς
πράξεσιν ἑτέραν παρὰ πολὺ
τὴν κρίσιν ποιήσαντες. Πῶς
γὰρ οἷόν τέ ἐστι τὸ ὂν ἀγαθὸν
πρὸς κακοῦ τινι γενέσθαι; ἢ
δύναταί τις ἐν ἀγαθῶν ἀφθο-
νίᾳ αὐτὸς εἶναι οὐκ ἀγαθός;
ἀλλὰ μὴν ἐκεῖνα οὕτως ὁρῶμεν
ἔχοντα, ὡς καὶ τοὺς πονηροὺς τὰ
αὐτὰ κεκτῆσθαι καὶ τοὺς δεξιοὺς
ἀπὸ τούτων βλάπτεσθαι. Οὐκ- 8
οῦν ἐμοῦ καταγελάτω ὁςτις-
οῦν βούλεται· πλέον ὅμως παρ'
ἐμοὶ ἀληθὴς ὁ λόγος τῆς τῶν
πολλῶν δόξης δυνήσεται. οὐδ'
ἐκεῖνον πώποτε τἀγαθὰ φή-
φορεῖται τὸ τῆς ἐπιθυμίας δί-
ψος· οὐδὲ μόνον οἱ ταῦτα
ἔχοντες τῷ τοῦ αὔξειν ἔρωτι
ἀδημονοῦσι καὶ ἐνοχλοῦνται,
ἀλλὰ δὲ καὶ τῷ μὴ ἀποβάλ-
λωσιν ἐκεῖνα φόβῳ λυποῦνται.
καὶ ἐνταῦθα τὸν τῶν προγό-
νων, ἐγκρατεστάτων δήπου-
θεν ἀνθρώπων, λογισμὸν καὶ
φρόνησιν συχνάκις ἀπαιτῶ,
ὅτι τάδε τῶν χρημάτων μέρη
εὐτελῆ ὄντως καὶ ἄστατα ὀνό-
ματι μὲν ἀγαθὰ εἶναι ὑπέλα-
βον, ἔργῳ δὲ καὶ τοῦ βίου
τρόπῳ λίαν ἑτέρως ἐνόμιζον.
Δύναται γάρ τι ἀγαθὸν ὂν βλά-
πτειν ποτέ τινα; ἢ ἄρα τις ἐν
παμπλήθει ἀγαθοῦ πληροφο-
ρίᾳ καὶ περιουσίᾳ αὐτὸς οὐκ
ἀγαθὸς εἶναι; ἀλλὰ μὴν τὰ
τοιαῦτα κακοῖς τε παραγίνε-
ται καὶ ἀγαθοὺς τὰ πολλὰ
βλάπτει. Τοιγαροῦν γελάτω
πλατὺν γέλωτα καὶ χλευα-
ζέτω, εἴ τις ἐθέλῃ. πλεῖον δὲ
ὅμως παρ' ἔμοιγε ὀρθὸς ὁ λό-
γος ἰσχύσει ἢ πολλοῦ τοῦ
ὁμίλου ὑπόληψις· οὔτε ἔγωγέ

ἄπληστον — δίψα] Aristot. Polit. II, 5. ἄπειρος γὰρ ἡ ἐπιθυμίας φύσις.

7 οἵτινες — χρημάτων] Recte Petavius lect. *qui*, non *quod*, ut Turnebus, est secutus. Uterque exhibet μέρη *membra*, ab editoribus recc. uncis inclusum vd. Gernh. et Orell.

ἄχρι μόνου τοῦ ὀνόματος] I. e. *solo verbo* Petavius, ὀνόματι i. e. *verbo* bene Turneb.

πρὸς κακοῦ τινι γενέσθαι] *Cuiquam malo esse* non recte Petavius, bene Turneb. βλάπτειν τινά.

καὶ — βλάπτεσθαι] *Probi* non sunt δεξιοί, sed ἀγαθοί — χρηστοί: de praep. ἀπό c. Passivo vd. Engelh. ad Plat. Apol. p. 174.

8 Οὐκοῦν — βούλεται] Scripsi ὁςτιςοῦν pr. ὅστις οὖν. Turnebus usus est locutione Aristoph. Acharn. 1125. πλατὺν γέλωτα γελᾶν, h. l. minus apta pro v. *irridendi*, vd. Lobeck. ad Phryn. p. 471 sq., et expressit lect. *si quis velit*: εἴ τις ἐθέλῃ, de qua vd. Gernh. Orell., pr. vulg. *si quis* (Or. *qui*) *vult*.

σαιμι ἂν ἀπολέσαι, ὅςτις τὸ ἑαυτοῦ κτῆνος ἢ ἀποσκευὴν ἀπώλεσεν, οὐ μὴν ἀλλὰ κἀκεῖνον ἐπαινῶν οὐ παύσομαι τὸν σοφὸν οἶμαι Βίαντα· ὅς, πατρίδος ποτὲ τῆς ἑαυτοῦ ὑπὸ πολεμίων ἑαλωκυίας (πόλις δ᾽ ἦν αὕτη Πριήνη), καὶ τῶν λοιπῶν φυγῇ χρωμένων, οὕτως, ὡς τῶν ὑπαρχόντων τὰ πολλὰ συνεκκομίζειν, ἐπειδὴ τὸ αὐτὸ ποιεῖν οἱ ὑπέθετό τις, Ἀλλ᾽ ἔγωγε οὐκ ἄλλως, ἔφη, ποιῶ· τὰ γὰρ ἐμὰ πάντα μετ᾽ ἐμοῦ κομίζω. οὗτος οὖν τὰ τοιαῦτα 9 τῆς τύχης παίγνια μηδ᾽ ἑαυτοῦ εἶναι ἀληθῶς ἠξίου, ἅπερ ἔθος ἡμῖν ὀνομάζειν ἀγαθά. τί τοίνυν ἀγαθόν ἐστι; φήσειεν ἄν τις. πᾶν ὅ,τιπερ ὀρθῶς καὶ καλῶς καὶ ἐναρέτως πράττεται, τοῦτο δὴ εὖ τῷ ὄντι πράττεσθαι λέγεται. καὶ ὅ,τιπερ ὀρθὸν καὶ καλὸν καὶ ἐνάρετόν ἐστι, τοῦτο μόνον οἶμαι ἀγαθὸν ὑπάρχειν.

II. Ταῦτα μὲν οὖν ἀσαφέστε- 10 ρόν πως εἰρῆσθαι δόξειεν ἄν, ὅτι δίχα παραδειγμάτων γλίσχρως οὑτωσὶ διαλαμβάνεται. οὐκοῦν βίους καὶ πράξεις παραθετέον ἀνδρῶν μεγάλων, ὅπως ἐναργέστερα ταῦτα γένη-

ποτε τἀγαθὰ ἀπολωλεκέναι τὸν ἢ τὰς ἀγέλας ἢ τὰ ἔπιπλα ἀποβαλόντα φήσω· καὶ δὴ καὶ συχνάκις τὸν σοφὸν ἐκεῖνον Βίαντα ἐπαινέσω, τὸν ἐν τοῖς οἶμαι ἑπτὰ ἀριθμούμενον· ὅστις, τῆς πατρίδος ὑπὸ τῶν πολεμίων κατὰ κράτος ἑαλωκυίας, ἁπάντων τε πολιτῶν ἀμεταστρεπτὶ φευγόντων καὶ τῶν ὑπαρχόντων ὁπόσα ἐδύναντο ἐκκομιζόντων, ὑπό τινος προτρεπόμενος ταὐτὸ ποιεῖν, Καὶ μήν, ἔφη, ποιῶ· τἀμὰ γὰρ ἅπαντα συμπερι- φέρω. αὐτὸς τάδε τῆς τύχης ἐμπαίγματα καὶ ἀθύρματα, ἃ ὑφ᾽ ἡμῶν ἀγαθὰ ὀνομαζόμενα, οὐχ ἑαυτοῦ ἐνόμιζεν εἶναι. τί ἄρα, φήσει τις, ἀγαθόν ἐστι; νὴ Δία, εἰ τὸ ὀρθῶς, καλῶς καὶ ἐναρέτως πραττόμενον, τοῦτο εὖ καὶ καθηκόντως πράττεσθαι ἀληθεύεται, τὸ ὀρθὸν δηλαδὴ καὶ κατωρθωμένον τὸ καλὸν καὶ ἐνάρετον ἀγαθόν ἐστι μόνον.

II. Ταῦτα μέντοι ἀσαφέστερά πως εἶναι δοκεῖ ἀνειμένως ἄνευ παραδειγμάτων διαληφθέντα, ὅπερ καὶ ἔργοις καὶ παραδείγμασι διασαφητέα ἀνδρῶν ἐξοχωτάτων λόγοις ἀκριβέστερον ἢ ἐχρῆν

ἢ ἀποσκευὴν ἀπώλεσεν] *Τήν* abesse nequit: *ἀπώλεσεν* correxi ob seq. *οὐ*.

τὸν σαφὸν οἶμαι Βίαντα] Omisit Petavius *qui numeratur in septem.*

Cap. II. *ὅτι — διαλαμβάνεται*] Turnebus: — *ἀνειμένως ἄνευ παραδειγμάτων.* Uterque reddidit verba *sine oppositione exemplorum* (al. *expositione — oppositione ex.*), quae in multis Codd. optimisque Edd. omittuntur v. d. Gernh. *Lentius* non est *γλίσχρως* nec *ἀνειμένως*, sed *ψυχρῶς*, *trocken — langweilig* interprete Gernhardo, vel *in trockener Allgemeinheit* Schütz. Lex. Cic. s. v. 10

παραθετέον — ῥήμασι] Correxi mendum typographicum *παρατεθέον*: *λεπτολογεῖσθαι* iam per se i. q. *disputari*.

γὰρ ἀλλήλοις ὅμοιαι, πλὴν Ταρκυνίου τοῦ ἐπίπλην ὑπερηφάνου. Τὸν δὲ Βροῦτον ἤν 12 τις ἔροιτο, τί ποτε τὴν ἑαυτοῦ πατρίδα τῆς τυραννίδος ἐξελόμενος ἔπραττεν· ἢ τοὺς ἄλλους ἑξῆς τῆς αὐτῆς ἐκείνῳ βουλῆς μετασχόντας εἴ τις ἐρωτήσειε, πρὸς τί βλέποντες καὶ τίνος ἀντεχόμενοι πρὸς τουτὶ τοὔργον ὥρμησαν· ἔστιν ᾧτινι φαίημεν ἂν ἡδονὴν ἢ πλοῦτον ἢ ἕτερόν τινα προτεθεῖσθαι σκοπὸν πλὴν τοῦ καθήκοντος μεγάλῳ τε ἀνδρὶ καὶ γενναίως; τί δήποτε ἐπὶ τὸν τοῦ Πορσηννᾶ φόνον Κόϊντον παρώρμησε τὸν Μούτιον, καὶ ταῦτα μηδεμίαν ἔχοντα τῆς σωτηρίας ἐλπίδα; ποία δύναμις Ὁράτιον τὸν Κόκλητα ἐπὶ τῆς γεφύρας ἔστησε πρὸς ὅλον τῶν πολεμίων στράτευμα μόνον ἀντιταξάμενον; ποία δ' αὖ Δέκιον τὸν πατέρα καὶ τοῦτου τὸν υἱὸν καθοσιώσασα καὶ εἰς μέσον ἐνήῤῥαξεν ἐνόπλου τῶν πολεμίων στρατιᾶς; τί δῆτα

πεν μοι δοκῶ· εἰσὶ γὰρ ἀλλήλοις ὁμοιότροποι πλὴν ἑνός γε Σουπέρβου. Βροῦτον δὲ εἴ τις ἔροιτο, τί αὐτῷ ἐν τῇ τῆς πόλεως ἐλευθερώσει πεπρᾶχθαι νομίζοι· εἴ τις τοὺς ἄλλους ταύτης συμβουλῆς μετεσχηκότας, τί σκοποῦν, τί προῃροῦντο· ἆρά τις αὐτῶν γένοιτο, ὅστις ἐκεῖνα προαιρέσει ἢ τῆς ἡδονῆς ἢ τῶν χρημάτων πεπραχέναι, οὐχὶ δὲ τῷ ἔργῳ ἀνδρείου καὶ μεγαλοψύχου ἀνθρώπου φαίνοιτο; τί γὰρ Μούτιον Σκαίβλαν εἰς ἀναίρεσιν Πορσενοῦ βασιλέως ἄνευ γε οὐδεμιᾶς ἐλπίδος σωτηρίας προήγαγε; ποία ἀνάγκη Ὁράτιον Κόκλιτα πρὸς ἅπασαν πολεμίαν δύναμιν ἕνα ὄντα ἐν τῇ γεφύρᾳ κατέσχε; ποία Δέκιον τὸν πατέρα, ποία τὸν υἱὸν κατηράσατο, καὶ εἰς ὡπλισμένας τῶν ἐναντίων φάλαγγας εἰσώθησεν; τί δὲ ἡ ἐγκράτεια Καίου Φαβρικίου;

Ταρκυνίου — ἔροιτο] Corr. *εἴ τις ἔροιτο*, ut bene Turn. *Tarquinium* recte om.

Πορσηννᾶ — Κόϊντον — Μούτιον — Ὁράτιον τὸν Κόκλητα] Turn. 12 *Πορσενοῦ — Μούτιον Σκαίβλαν — Ὁράτιον Κόκλιτα*. *Porsenna — Porsena* a Graecis *Πορσήνας* (constanter Plut. Poplic. 16. 17.) — *Πορσέννας* (Dion. Cass. XLVI, 19. *Πορσίνας* nisi *Πορσήνας* vel *Πορσέννας* corrigendum) — *Πορσίνας* Polyaen. VIII, 8. scribitur; *Mucius Scaevola Μούκιος* (non *Μούτιος* vd. me ad Lael. cp. 1., ut Blum. quoque Anl. p. 173.) *Σκαιόλας* vd. Plut. Poplic 17. (at Tib. Gracch. 9. exhibet Schaef. c. Hutt. *Μούκιος Σκαιουόλας ὁ νομοδείκτης*, ubi Cod. SG. *Σκαιβόλας*, non improbatum Schaef.) Appian. B. Civ. I, 88., saepius agnomine omisso Dion. Cass. XLV, 32. LIII, 8 Polyaen. VIII, 8., quem Petavius non *Κόϊντον* cum vett. Edd. appellare debebat, quum eius praenomen *Caius* sit; *Horatius Cocles* a Plut. Poplic. 16. *Κόκλιος Ὡράτιος* (rectius *Ὁράτιος Horatius*, etiam Schaefero iudice, ut apud ceteros scriptores Graec. Dion. Cass. Appian. scribitur, quanquam Plutarch. sic constanter, Polyb. quoque VI, 55. exhibet ubi vd. Schweigh.), a Polyb. VI, 55. *Κόκλης ὁ Ὡράτιος*. Pro *εἰσώθησεν* ap. Turn. corr. *εἰσέωσεν*.

Γαΐου τοῦ Φαβρικίου τὸ ἐγκρατές; τί τὸ λιτὸν καὶ εὐτελὲς ἐβούλετο τῆς Μανίου Κουρίου διαίτης; τί δ᾽ αὖ ἐκεῖνα τὰ δύο προβλήματα τοῦ πρὸς Φοίνικας πολέμου ὅ τε Γναῖος καὶ ὁ Πόπλιος οἱ Σκιπίωνες, οἳ τὴν Καρχηδονίων ἔφοδον τοῖς ἑαυτῶν σώμασιν ἀποφράττειν ἐπεχείρησαν; τί ὁ πρῶτος τῶν Ἀφρικανῶν; τί δ᾽ ὁ μετὰ τοῦτον; τί δ᾽ ἀμφοῖν μεταξὺ τῇ ἡλικίᾳ γενόμενος ὁ Κάτων; τί δ᾽ ἀριθμοῦ κρείττονες ἕτεροι; τοῖς γὰρ οἰκείοις παραδείγμασι πλεονάζομεν. ἆρά τινα νομίζομεν ἐν τῷ λαβεῖν αὐτῶν ἄλλο τι προαιρεῖσθαι κατὰ τὸν βίον, ἢ ὅ,τιπερ ἐπαινεῖν ἄξιον ἐδόκει καὶ λαμπρόν;

13 III. Δευρὶ τοίνυν ἡκέτωσαν οἱ τοιοῦδε καὶ λόγου καὶ γνώμης ἀνέδην καταγελῶντες. ἤδη δὲ κἂν αὐτοὶ κρινάντων, ὅτῳ ποτὲ ὅμοιοι εἶναι μᾶλλον ἂν ἕλοιντο, ἢ ἐκείνων τινὶ τῶν οἴκους ἐκ μαρ-

τί δὲ σώφρων καὶ εὐτελὴς βίοτος Μ. Κουρίου ἐβούλετο; τί δὲ οἱ Σκιπίωνες δύω, ὑμέτερα δηλαδὴ τοῦ πολέμου Καρχηδονίου προβλήματα καὶ οἷον ἀκροπόλεις, οἳ τοῖς ἑαυτῶν σώμασι τὴν τῶν Καρχηδονίων ἐπέλασιν οἱονεὶ διετειχίσαντο; τί Ἀφρικανὸς ὁ μείζων; τί ὁ ἐλάττων; τί ὁ τούτων ἡλικίαις παρεμβληθεὶς Κάτων; τί δὲ μύριοι καὶ ἀνάριθμοι ἄλλοι; ἡμεῖς μὲν γὰρ παραδειγμάτων οἰκείων εὐποροῦμεν· πότερον τί ἐν τῷ βίῳ ἑαυτοῖς αἱρετὸν ἐνθυμηθῆναι, ὅ γε μὴ ἐπαινετὸν ἢ καλὸν φαίνοιτο; III. Ἡκέτωσαν τοίνυν οἱ τήνδε τὴν γνώμην τε καὶ ῥῆσιν διασύροντες, καὶ ἤδη δῆθα κρινέτωσαν, πότερον αὐτοί τινι τούτων, τοῖς οἰκήμασι μαρμαρέοις, ἐλέφαντι καὶ χρυ-

---

Γαΐου Φαβρικίου — Μανίου Κουρίου] Male Turn. *Καίου Φαβρικίου — Μ. Κουρίου* vd. supra ad Cat. Mai. cp. 13.

ἀποφράττειν ἐπεχείρησαν] Turneb. nescio cur Med. *διετειχίσαντο* usus sit, pro quo Blum. Anl. p. 174. *διακλείειν τῆς ἐφόδου* substituit.

τί — τοῦτον] Turn. *Ἀφρικανὸς ὁ μείζων — ὁ ἐλάττων*. Rectius Appian. Punic. 2. *Κορνήλιος Σκιπίων ὁ πρεσβύτερος — Σκιπίων ὁ νεώτερος*, agnomine quidem omisso; *Σκηπίων Ἀφρικανός* (minor) Plut. Mar. 3.

τοῖς — πλεονάζομεν] Rectius Turnebus *παραδειγμάτων οἰκείων εὐποροῦμεν*: nam verba copiae et abundantiae cum Genitivo strui etiam tironibus notum.

ἆρά — λαμπρόν;] Expressa est lectio: *An putamus quemquam horum cogitasse quidquam* etc. — quamquam textus Latinus Petav. repraesentat: *An cogitasse quidquam eos putamus*. Turnebus secutus est Victorium: *An cogitasse quidquam in vita sibi esse expetendum, nisi quod laudabile et praeclarum videretur.* Optimam lect. Orellius cum Borgersio restituit: — *cogitasse, quidquam in vita sibi expetendum, nisi quod laudabile esset et praeclarum, videntur?*

μάρου κατεσκευασμένους, καὶ ἐλέφαντι πολλῷ τοὺς αὐτοὺς καὶ χρυσῷ καταστράπτοντας, ἔπειτα δὲ καὶ ἀγάλματα καὶ γραφὰς καὶ γλυπτὸν χρυσόν τε καὶ ἄργυρον τά τε Κορινθίων ἔργα χειρῶν παμπληθῆ κεκτημένων, ἢ Γαΐου τοῦ Φαβρικίου, ὃς μηδὲν τοιοῦτον οὔτ' αὐτὸς εἶχεν, οὔτε μὴν ἔχειν ἐβουλήθη;
14 Ἀλλά γε ταῦτα μὲν τὰ τῇδε κἀκεῖσε μεταφερόμενα ἴσως ἐκείνους ἔργον ἐστὶ πεῖσαι μὴ οὐ φάναι δεῖν ἐν τοῖς ἀγαθοῖς ἐγκρίνειν. τούτου δὲ λοιπὸν ἀπρὶξ ἀντέχονται καὶ κατὰ κράτος ὑπερδιατείνονται, τῶν ἀγαθῶν μέγιστον εἶναι τὴν ἡδονήν. ἀλλ' ἔστιν ἥδε ἡ φωνὴ βοσκήμασι πρέπουσα μᾶλλον ἢ ἀνθρώποις. Πῶς γὰρ εὔλογον τοῦτο, σὲ μὲν εἴτε παρὰ τοῦ θεοῦ εἴτε παρὰ μητρὸς πάντων, ἵνα οὕτως εἴπω, τῆς φύσεως δῶρον λαβόντα τὸν νοῦν, οὗπερ τιμιώτερον οὐδέν ἐστι καὶ θειότερον, εἶτα τοσοῦτον ἑαυτὸν ἀποῤῥίπτειν καὶ καταβάλλειν, ὥςτε τοῦ τετράποδος μηδοτιοῦν οἴεσθαι διαφέρειν; πῶς οὖν ἀγαθὸν ἂν εἴη τι, ὃ μὴ βελτίονα ποιεῖ τὸν κεκτημένον;
15 Ὅπως γὰρ ἄν τις μάλιστα μετέχοι τἀγαθοῦ,

σῷ ἀποστίλβουσι, τοῖς ἀνδριᾶσι καὶ γραφαῖς, χρυσώμασι καὶ ἀργυρώμασιν ἐντετορευμένοις καὶ ἐγγεγλυμμένοις καὶ Κορινθιουργέσι δι' εὐπορίαν γαυριώντων προςερικέναι μᾶλλον ἐθέλοιεν, ἢ Καΐῳ Φαβρικίῳ, τῷ τῶνδε μηδὲν ἐσχηκότι, μηδὲν ἔχειν ἐθελήσαντι;
14 Πλὴν ἀλλὰ ταυτὶ τὰ νῦν τῇδε, νῦν ἐκεῖσε μεταφερόμενα ῥᾳδίως γε ἀναπείθονται, μηδὲ ἀγαθὰ νομίζειν· τούτου δὲ προςφύντες ἔχονται καὶ ἀντιλαμβάνονται καὶ ἀκριβῶς ὑπερδιατείνονται καὶ ὑπερμάχονται, τὴν ἡδονὴν τέλεον καὶ ἀκρότατον ἀγαθὸν εἶναι. ἥδε δὴ φωνὴ οὐχ ὅπως ἀνθρώπου, ἀλλὰ μᾶλλον θρέμματος καὶ βοσκήματος εἶναι φαίνεται. Σὺ γὰρ ἡ ὑπὸ τοῦ θεοῦ, ἤγουν, ὡς ἔπος εἰπεῖν, ὑπὸ παμμήτορος τῆς φύσεως τῷ νῷ καταξιωθείς, οὔ τί ἄλλο χρῆμα βέλτιον, τί θειότερον; οὕτω σεαυτὸν καταβαλεῖς καὶ χαμαὶ καταστρώσεις, ὥςτε μεταξὺ σαυτοῦ καὶ τετραπόδου μηδὲν νομίζειν διαφορᾶς;
15 Ἔστιν ἄρα τί ἀγαθόν, ὅπερ τὸν ἔχοντα οὐ βελ-

Cap. III. ὃς μηδὲν — οὔτ' — οὔτε] Corr. ὅς μηδὲν — μήτ' — μήτε. 13
In antecedd. pro δι' εὐπορίαν γαυριᾶν (*abundare*) Blum. Anleit. p. 174. ἄφθονον ἔχειν substituit.

πῶς γὰρ εὔλογον τοῦτο] Haec de suo interposuit Petavius. In 14
seqq. ὑπὸ — τῷ νῷ καταξιωθείς apud Turnebum nimis quaesitum est, simplicius Petavius παρὰ μητρὸς — δῶρον λαβόντα τὸν νοῦν. Eadem paragr. apud Turnebum pro καυχήσειεν — καυχήσας Aor. Medii, pro τετραπόδου form. poet. ponatur τετράποδος (vd. Passov. Lex.): pro τὸν νοῦν ἐκ τοῦ καθεστηκότος ἐξιστάναι Blum. Anl. p. 176. ἐξιστάναι τῆς τάξεως καὶ τοῦ σχήματος substituit.

οὕτως ἐπαίνου ἄξιος ὢν μάλιστα τυγχάνοι. οὐδ᾽ ἔστιν ἀγαθὸν οὐδέν, ἐφ᾽ ᾧ πᾶς τις οὐκ ἂν καλῶς καὶ εὐσχημόνως καυχῷτο κύριος ὤν. ἆρα κρείττονα τὸν ἄνδρα καὶ ἐπαίνου μᾶλλον ἄξιον ἀποτελεῖ; Ἆρα διὰ τὴν τῶν ἡδέων ἀπόλαυσιν μέγα φρονεῖ τις, ἢ δόξης καὶ εὐφημίας τυχεῖν ἀξιοῖ; ἀλλὰ μήν, εἴπερ ἡδονὴ προστάτας καὶ συνηγόρους ἔχουσα πολλούς, οὐκ ἐν μέρει θετέα τῶν ἀγαθῶν· αὐτή τε ὅσῳ μείζων ὑπάρχει, τοσούτῳ μᾶλλον τὸν νοῦν ἐξίστησι καὶ τοῦ ἰδίου καταστήματος ἐκβάλλει· οὐδὲν ὡς ἀληθῶς εἶναι λεκτέον τὸ εὖ ζῆν καὶ εὐδαιμόνως πλὴν τοῦ καλῶς ζῆν καὶ ὀρθῶς.

τίῳ ἀπεργάζεται; ἕκαστος γὰρ ὅτι μάλιστα τοῦ ἀγαθοῦ μετέχων εἶτα καὶ ἐπαινετώτατός ἐστιν· καὶ δὴ καὶ ἀγαθὸν οὐδέν ἐστιν, ἐφ᾽ ὅτῳ οὐχὶ καλῶς ὁ κεκτημένος καυχήσειεν. Τί δὲ τούτων τῇ ἡδονῇ πρόςεστιν; πότερον ἢ βελτίω ἢ ἐπαινετώτερον ἀποφαίνει τινά; Ἆρά τις ἐπὶ τῇ τῶν ἡδονῶν ἀπολαύσει ἑαυτὸν ἢ καυχήσας ἢ ἐξαγορεύσας καὶ ἀνακηρύξας διαῤῥήδην ἐπαίρει; καὶ μὴν εἰ ἡδονὴ ἡ πολλῶν γε συνηγορίαις καὶ ἐπικουρίαις προβαλλομένη καὶ ὠχυρωμένη τοῖς ἀγαθοῖς οὐκ ἐναριθμεῖται.. καὶ ἥδε ὅσῳ μείζων, τοσούτῳ μᾶλλον τὸν νοῦν ἐκ τοῦ καθεστηκότος ἐξίστησιν. οὐδὲν ἄλλο δῆθά ἐστιν εὖ καὶ εὐδαιμόνως ζῆν, εἰ μὴ καλῶς καὶ ὀρθῶς βιοτεύειν.

ΠΑΡΑΔΟΞΟΝ Β.

ΟΤΙ ΑΥΤΑΡΚΗΣ Η ΑΡΕΤΗ ΠΡΟΣ ΕΥΔΑΙΜΟΝΙΑΝ.

Ἀλλ᾽ οὐδὲ Μάρκον ἔγωγε τὸν Ῥῆγλον ταλαίπωρον ᾠόμην ποτέ μηδ᾽ ἄθλιον ἢ κακοδαίμονα γενέσθαι. οὐδὲ γὰρ τὸ μεγαλόφρον αὐτοῦ ὑπὸ τῶν Φοινίκων ἐβασανίζετο, οὐ τὸ σεμνόν, οὐ τὸ πιστόν, οὐ τὸ εὐσταθές, οὐχ ἑτέρα τις οὖν

ΠΑΡΑΔΟΞΟΝ Β.

ΟΤΙ ΑΥΤΑΡΚΗΣ ΑΡΕΤΗ ΠΡΟΣ ΕΥΔΑΙΜΟΝΙΑΝ.

16 Ἐγὼ δὲ Μάρκον τὸν Ῥέγλον οὐδέποτε ἄθλιον οὔτε κακοδαίμονα οὔτε δυςτυχῆ ἡγησάμην. οὐ γὰρ αὐτοῦ ἡ μεγαλοψυχία ὑπὸ Καρχηδονίων ἐβασανίζετο ἢ βαρυπρέπεια ἢ πίστις ἢ εὐστάθεια ἢ ποία τις ἀρετὴ ἢ ἀμέλει αὐ-

---

ΠΑΡΑΔΟΞΟΝ Β.

Ὅτι αὐτάρκης ἡ ἀρετή] Turnebus articulum omisit ab omnibus Codd. et Edd. exhibitum

16 *Ῥῆγλον*] Male Turn. *Ῥέγλον*, Blum. Anl. p. 176 *Ῥηγοῦλος*, Appian. Punic. 3. *Ῥῆγλος*, Dion. Cass. fragm. CXLIX. *Ῥήγουλος*. Infr. *gravitas* rectius *τὸ σεμνόν* a Pet. dicitur quam *βαρυπρέπεια* a Turn., inusitatum Substant., de Adiect. vd. Lexx.

ἀρετή, οὐδ' αὐτὴ τὸ τελευταῖον ἡ ψυχή, ἥτις πολλῶν οὕτως ἀρετῶν βοηθείᾳ κατησφαλισμένη καὶ τοσαύτην δορυφορίαν περιβαλομένη, ὁπότε τὸ αὐτῆς σῶμα διεσπαράττετο, αὐτὴ διασπαράττεσθαι οὐχ οἵα τε ἦν. Γάϊον δὲ τὸν Μάριον εἴδομεν αὐτοί, ὃς ἐν μὲν ταῖς εὐημερίαις τῶν μακαρίων εἷς· ἐν δὲ ταῖς ἀτυχίαις τῶν μεγάλων ἀνδρῶν ἔδοξεν εἶναι· οὗ δὴ θνητῷ γεγονότι οὐδὲν ὅλως εὐδαιμονέστερον ἂν ὑπάρχοι. Λέληθεν, ὦ ἐμβρόντητε, 17 λέληθέ σε, οἵαν ἔχει δύναμιν ἡ ἀρετή· σὺ γὰρ ψιλῷ κέχρησαι τῆς ἀρετῆς ὀνόματι· ὅσον δ' ἰσχύει αὐτὴ παντάπασιν ἀγνοεῖς. οὐδεὶς δύναται μὴ οὐκ εὐδαιμονέστατος εἶναι, ὃς ἑαυτοῦ ὅλος ἐξήρτηται καὶ ἐν αὐτῷ μόνῳ τίθησι τὰ καθ' αὐτόν· οὗ δὲ πᾶσα ἐλπὶς καὶ λόγος καὶ διάνοια τῆς τύχης ἐξῆπται, τούτῳ μηδὲν εἶναι βέβαιον ἐνδέχεται, μηδὲν ὅπερ σοί γ' ἂν εἰδείη διαμενεῖν αὐτῷ κἂν γοῦν μίαν ἡμέραν. αὐτῷ διακείμενον, ἤν τινά που εὕροις, ἄνθρωπον δεδίττου, θά-

τὴ ἡ ψυχή, ἥτις ἐν τοσούτῳ ἀρετῶν φρουρίῳ τοσαύτῃ τε συνελεύσει καὶ συνοδίᾳ οὖσα, ὁπότε τὸ αὐτοῦ σῶμα κατελαμβάνετο, καταλαμβάνεσθαι γοῦν οὐκ ἠδύνατο. Κάϊον μέντοι Μάριον ἑωράκαμεν, ἄνδρα ἐν μὲν ταῖς εὐπραγίαις καὶ εὐτυχίαις τῶν εὐτυχεστάτων ἕνα, ἐν δὲ ταῖς συμφοραῖς καὶ δυσημερίαις τῶν ἐπιεικεστάτων καὶ ἐξοχωτάτων ἐμοί γοῦν δοκοῦντα, οὗτινος τί ἄλλο μείζονος εὐδαιμονίας ἀνδρί γε καὶ θνητῷ ὄντι εἶναι δύναιτο; Ἀγνοεῖς τοίνυν, ὦ ἀφρονέστατε, τὴν τῆς ἀρετῆς δύναμιν ὁπόση καὶ πηλίκη; τοὔνόματος δὴ μόνον ἀντιλαμβάνεις· τί δύναιτο αὐτὴ οὐκ οἶδας. τὸν ἐξ αὐτοῦ ὅλου ἐξηρτημένον καὶ ἐν αὐτῷ ἅπαντα τιθέμενον ἀνάγκη πᾶσα καὶ εὐδαιμονέστατον γενέσθαι. ὁ δὲ καὶ τὴν ἐλπίδα καὶ τοὺς λογισμοὺς καὶ τὰς διανοίας ἐκ μόνης τύχης ἐξαψάμενος, τούτῳ δὴ βέβαιον οὐδὲν καθέστηκεν, οὐδὲν ὅπερ καὶ μίαν μόνην ἡμέραν πιστῶς παραμείνειεν. σὺ μὲν οὖν δεδίττου καὶ φόβει, ὅντινα βούλει, ταῖςδε

ἥτις — τε ἦν] Secutus est Petavius lect. *praesidio munitus — comitatu circumseptus*, quae Participia optimi Codd. et Edd. eii ciunt: deinde *carperetur — carpi* expressit, quanquam textus Latinus *caperetur — capi* (i. e. αἰχμαλωτίζεσθαι) offert. Pro συνελεύσει καὶ συνοδίᾳ (i. e. *comitatus*) Blum. Anl. p. 177. recte πομπῇ.

τῶν μακαρίων εἷς] I. e. *unus ex fortunatis hominibus*; melius Turn. τῶν εὐτυχεστάτων ἕνα, i. e. *unus ex fortunatissimis hominibus* — vd. Orell.

ἐμβρόντητε] Rectius Turnebus ἀφρονέστατε, i. e. *insane.* 17

οὗ δὲ] Expressa est lectio *cuius autem*, bene Gernh. Orell. *cui.*

κἂν γοῦν μίαν ἡμέραν] *Ne unum quidem diem*, optimae Edd. *ne — quidem* damnant.

ἥν — εὕροις] Corr. ἥν — εὕρῃς.

νατον ἢ φυγὴν ἀπειλῶν. ἐμοὶ
δὲ ὅ,τι ἂν ξυμβῇ τοιοῦτον ἐν
οὕτως ἀχαρίστῳ πόλει, οὐ παρ-
αιτουμένῳ ξυμβήσεται, μὴ
ὅτι γε ἀνθισταμένῳ. καὶ γὰρ
Τί τέως ἐκπεπόνηταί μοι; τί
δὲ διαπέπρακται; εἰς δὲ τί πᾶ-
σαι φροντίδες ἐμοῦ καὶ διά-
νοιαι συντέτανται, εἰ μηδέν
πω τοιοῦτον ἀπεμαξάμην οὐδ'
ἐπορισάμην, ὡς ἐπὶ ταύτης
εἶναι τῆς καταστάσεως, ἣν
μήτε τὸ προπετὲς τῆς τυ-
χης μήτε τῶν ἐχθρῶν ἡ
ἐπήρεια δύναιτο ἂν λυμαίνε-
σθαι; Ἆρα σύ μοι θάνατον 18
ἀπειλεῖς, ἵνα ἐκ τῶν ἀνθρώ-
πων ὅλως· ἢ ἐξορίαν, ἵνα ἐκ
τῶν πονηρῶν μεταστῶ; ἀλλ'
ὁ μὲν θάνατος ἐκείνοις ἐστὶ
φοβερός, ὧν ἅπαντα αὐτῷ τῷ
βίῳ συναπέσβη. οὐχ οἷς ἀθά-
νατον τὸ κλέος περιγίνεται. ἡ
δ' αὖ ἐξορία μόνοις ἐστὶ φοβε-
ρὰ τοῖς περιωρισμένον ἔχουσι
τὸν τῆς οἰκήσεως τόπον· οὐ
τοῖς μίαν εἶναι πόλιν νομίζουσι
τὴν οἰκουμένην. Σὲ μὲν δὴ πᾶ-
σαι δυςτυχίαι καὶ ταλαιπω-
ρίαι συνέχουσι, καί τοι πολ-
λοῖς οἰόμενον εὐπραγίαις ἐνα-
κμάζειν. αἱ μὲν γὰρ ἐπιθυμίαι
σου οἰκτρῶς αὐτόν σε κατατεί-
νουσιν, ὥςτε κατὰ πᾶσαν ἡμέ-
ραν καὶ νύκτα βασανίζεσθαι·
ᾧ μήτ' ἐξαρκεῖ τοῦτο, ὅπερ

ἢ φυγῆς ἢ θανάτου ἀπειλαῖς.
ἐμοὶ δὲ ἐν πόλει οὕτως ἀχαρί-
στῳ καὶ ἀγνώμονι, ὅ,τι ἂν
συμβήσεται, τοῦτο οὐχ ὅπως
ἀνταιρομένῳ συμβεβηκὸς ἔ-
σται, ἀλλ' οὐδὲ παραιτουμένῳ.
Τί γὰρ ἐγὼ ἐπονησάμην, τί δὲ
ἐποίησα, ἢ ἔν τινι δὴ πράγματι
αἱ φροντίδες μου καὶ λογισμοὶ
ἐγρηγόρασιν, εἰ τοιοῦτον οὐ-
δὲν ἐπορισάμην, ὥςτε ἄχρι
ταύτης τῆς τάξεως καὶ ἀξιώ-
ματος ἐφικέσθαι, ἣν οὔτε ἡ
τῆς τύχης αὐθάδεια διαφθεί-
ρειεν οὔτε ἡ τῶν ἐχθρῶν ἀπό-
νοια; Θάνατον ἄρα ἀπειλεῖς
μοι, ἵνα ἀπ' ἀνθρώπων, ἢ
δῆθα φυγήν, ἵνα ἀπὸ τῶν κα-
κῶν καὶ βδελυρῶν μετοικήσω;
ὁ μὲν οὖν θάνατος ἐκείνοις φο-
βερὸς ἔστω, ὧνπερ ἅπαντα
συναποσβέννυται τῷ βίῳ. οὐ
μὲν τούτοις γε, ὧντινων ὁ ἔπαι-
νος οὔποτε ἀπολεῖται. ἡ δὲ
δὴ φυγή, οἷς τόποις τις πρὸς
οἴκησιν περιγέγραπται καὶ πε-
ριώρισται, οὐχὶ τοῖς τὸν σύμ-
παντα κόσμον μίαν εἶναι πό-
λιν ἡγουμένοις. Σὲ μὲν οὖν
δυςτυχίαι πᾶσαι καὶ πόνοι πιέ-
ζουσι καὶ στένουσι τὸν εὐδαί-
μονα σαυτῷ καὶ μακάριον δο-
κοῦντα, καὶ δὴ αἱ ἐπιθυμίαι
διαστρεβλοῦσί σε. σὺ νύκτωρ
τε καὶ μεθ' ἡμέραν ἄγχῃ, ἅτε
δὴ οὔποτε ὄντος αὐτάρκους

εἰ μηδὲν — ἀπεμαξάμην] *Peperi* non est ἀπεμαξάμην, sed περιεποιησάμην — ἐκτησάμην. Turnebus non expressit *consecutus sum*, sed male reddidit εἰ τοιοῦτον οὐδὲν ἐπορισάμην pro μηδέν, et infra ἀπόνοια pro *iniuria*, ubi cum Petavio ἐπήρεια, vel ὕβρις — ἀδικία rectius poneretur.

18 ἐξορίαν — ἐξορία] *Exsilium* bis φυγή — φυγήν — est dicendum, ut ap. Turnebum.

πᾶσαι δυςτυχίαι] *Omnes* a Petavio et Turnebo expressum in multis Codd. et Edd. omittitur.

*ἐστί σοι· καὶ αὐτὸ δὲ τοῦτο δέ-
δοικας ὅ,τι ποτ' ἔχεις, μὴ οὐ
πολὺν χρόνον διαμένῃ. πρὸς
δὲ τούτοις πλήττει σε τὸ συνει-
δὸς τῶν κακουργηθέντων ὑπο-
μιμνῆσκον, καὶ ὁ φόβος τῶν
δικαστηρίων καὶ νόμων ἀβίω-
τόν σοι τὸν βίον ἐργάζεται.
ἐπειδήπερ ὅπῃ ποτὲ ἂν ἀπο-
βλέψῃς, ταύτῃ σοι ἀπαντᾷ δί-
κην ἐριννύων τά σοι ἀδίκως πε-
πραγμένα· ἃ δὴ ἀναπνεῖν σε
οὐκ ἐᾷ. Οὐκοῦν καθάπερ* 19
*πονηρῷ καὶ μωρῷ καὶ ῥα-
θύμῳ οὐδενὶ οὐκ ἂν εὖ γένοιτό
ποτε· οὕτω δὴ ἀγαθὸς ἀνὴρ
καὶ γενναῖος καὶ σοφὸς οὐ δύ-
ναται κακοδαίμων εἶναι. οὐδὲ
μὴν ἐκείνου, οὗπερ ἀξιέπαινός
ἐστιν ἡ ἀρετὴ καὶ ὁ τρόπος,
ἀνάξιον ἐπαίνου ἐνδέχεται τὸν
βίον ὑπάρχειν, ἀλλ' οὗτοι φευ-
κτέος οὗτος ὁ βίος, ὃς ἐπαίνου
ἐστὶν ἄξιος. εἴη δὲ πάντως
φευκτέος, εἰ κακοδαίμων ἦν.
τοιγαροῦν ὅ,τι ἀξιέπαινόν ἐστι,
τὸ αὐτὸ τοῦτο καὶ εὔδαιμον
καὶ ἀκμάζον καὶ ἐπιθυμητέον
ὀφείλει δοκεῖν.*

---

*σοι τοῦ παρόντος, καὶ φοβου-
μένου σου, μήποτε τοῦτο ἐφή-
μερον καὶ μὴ παράμονον. σὲ
τὸ τῶν σῶν παροινιῶν καὶ κα-
κουργημάτων συνειδὸς κεντεῖ
καὶ νύττει· σὲ ὁ τῶν δικῶν
καὶ νόμων φόβος ἀδημονεῖν
καὶ ἀθυμεῖν παρασκευάζει.
εἰς ὁτιοῦν ἀπέβλεψας, ὥςπερ
τινὲς ἐριννύες, οὕτω δὴ σαυ-
τῷ ἰδίαι ἀπαντῶσιν ὕβρεις καὶ
παρανομίαι, αἵ οὐδέν σε ἀνα-
πνεῖν ἐῶσαι. Τοιγαροῦν ὡς
κακούργῳ καὶ ἄφρονι καὶ δει-
λῷ οὐδενὶ καλῶς καὶ εὖ οὐδέ-
ποτε οἷόντε εἶναι· οὕτως ἄρα
ἀνὴρ ἀγαθὸς καὶ φρόνιμος καὶ
ἀνδρεῖος οὔποτε ἄθλιος γενή-
σεται. καὶ δῆθα τοῦ καὶ τὴν
ἀρετὴν καὶ ἦθος ἐπαινετοῦ ἐ-
παινετὸς καὶ ὁ βίος τυγχάνει
ὤν, οὐδὲ ὁ βίος ἐπαινετὸς φευ-
κτέος γὰρ ἂν ἦν, ἄθλιος ὤν.
τοιγαροῦν τὸ ἐπαινετὸν τοῦτο
δὴ καὶ μακάριον καὶ ἀνθηρὸν
καὶ αἱρετὸν ὀφείλει φαίνε-
σθαι.*

μὴ οὐ — διαμένῃ] Recte Pet., ap. Turn. corr. *μήποτε — παράμονον ᾖ.*

εἴη δὲ — εἰ — ἦν] Corr. *ἦν δ' ἂν — εἰ — ἦν*: recte Turnebus *φευκτέος γὰρ ἂν ἦν, ἄθλιος ὤν*, apud quem adde *τό* ante *ἦθος*: apud Petavium infra pro *ἐπιθυμητέον* (*expetendum*) ponendum *αἱρετόν — ποθεινόν* vel simile quid. 19

ΠΑΡΑΔΟΞΟΝ Γ.

ΟΤΙ ΙΣΑ ΤΑ ΑΜΑΡΤΗΜΑΤΑ.

I. *Μικρόν τι πρᾶγμά, φησιν· ἀλλὰ μεγάλη ἐστὶν ἡ ἁμαρτία. οὐδὲ γὰρ τὰ ἁμαρτήματα δεῖ πρὸς τὰς ἀποβάσεις τῶν πραγμάτων, ἀλλὰ πρὸς τὰς τῶν ἀνθρώπων κακίας ἐξετάζειν. ἐπειδὴ ἐν ᾧ ἁμαρτάνει τις, ἐν τούτῳ ἅτερον θατέρου μεῖζον εἶναι ἢ ἔλαττον ἐνδέχεται· αὐτὸ μέντοι τὸ ἁμαρτάνειν, ὅπη ἂν σὺ τραπῇς, ἐκ παντὸς ἓν εἴη. Ὁλκάδα εἴτε χρυσῷ εἴτε καλάμῃ πεφορτισμένην ὁ κυβερνήτης ἐὰν ἀνατρέψῃ, ὡς πρὸς τὸν φόρτον ἴσως ὀλίγον τι διαφέρει, ὡς δὲ πρὸς τὴν τοῦ κυβερνῶντος ἀπειρίαν παντελῶς οὐδέν. Εἰς ἄσημον καὶ ἄγνωστόν τι γύναιον ἐὰν ἡ ἀκολασία που παρέπεσεν; οὐκ εἰς τοσούτους ἡ ἀγανάκτησις διήκει, ὡς ἐὰν παρθένῳ τινὶ τῶν εὐγενῶν καὶ εὐπατρίδων προσεφθάρῃ·*

ΠΑΡΑΔΟΞΟΝ Γ.

ΟΤΙ ΙΣΑ ΤΑ ΑΜΑΡΤΗΜΑΤΑ ΚΑΙ ΤΑ ΚΑΤΗΓΟΡΗΜΑΤΑ.

I. *Μικρόν τι φῇς τὸ πρᾶγμα, ἀλλὰ μὴν οὐ σμικρὸν τὸ ἁμάρτημα. οὐ γὰρ δὴ τὰς ἁμαρτίας ταῖς τῶν πραγμάτων ἀποβάσεσιν, ἀλλὰ ταῖς ἀνθρώπων κακίαις μετροῦμεν· ἐν ᾧπερ ἁμαρτάνεται, τοῦτο ἄλλου καὶ μεῖζον καὶ ἔλαττον εἶναι δύναται. τοῦτο δὲ τὸ ἁμαρτάνειν, ὅποι δήποτε ἑαυτὸν ἐπιστρέψειας, ἓν καὶ ταὐτὸ ὑπάρχει. Πλοῖον· χρυσοῦ ἀνάμεστον ἀνατρέψειεν ὁ κυβερνήτης, ἢ ἄρα ἀχύρων ἀναπλέων, ἐν τῷ χρήματι ὀλίγον διαφορᾶς ἔνεστιν, ἐν κυβερνητοῦ δ' ἀτεχνίᾳ οὐδέν. Τινὸς ἀσέλγεια ἐπαρῴνησεν εἰς ἄγνωστον καὶ τὸ τυχὸν γύναιον, ἡ λύπη γοῦν ἐπ' ἐλάττους διήκει, ἤπερ εἰ ἠσέλγαινεν εἰς γενναίαν τινὰ καὶ εὐπάτριδα παρθένον. οὐχ ἧττον δ' ὅμως ἡμάρτηται· εἴπερ τὸ ἁμαρτά-*

ΠΑΡΑΔΟΞΟΝ Γ.

Ὅτι ἴσα τὰ ἁμαρτήματα] Vulgo additur *καὶ τὰ κατωρθώματα*, pro quo Camerar. in Ed. Ven. *καὶ τὰ κατηγορήματα* reperit vd. Gernh.

CAP. I. *φησιν*] I. e. *inquis*, *φῇς* (corr. *φῄς* vd. Passov. Lex.) *inquis* Turn. minus recte vd. Gernh. in Add. p. 319. et Orell.

ὀλίγον τι] *Aliquantulum*, i q. *πλεῖστον*, Petavius et Turnebus non recte *ὀλίγον* interpretati sunt.

ἐὰν — παρέπεσεν — ἐὰν — προσεφθάρῃ] Pro *ἐὰν* corr. *ὅτε — ὁπηνίκα παρέπεσεν — εἰ —*. *Προσφθείρεσθαι* c. Dativo (*γυναικὶ — πόρνῃ*) h. l. non aptum, cum de iis dicatur, qui cum suo dedecore et damno ad mulieres lascivas et libidinosas se applicant vd. Alciphr. Ep. I, 32 et 34, bene Turneb. *ἀσελγαίνειν*: minus placet apud eundem *ἀσέλγεια ἐπαρῴνησεν* (Attic. *ἐπαρῴνησεν* vd. Lobeck. ad Phryn. p. 164. Piers. ad Moer. p. 332), cum *παροινεῖν* fere de personis, non de rebus usurpetur. Pro *εὐπατρις* (*nobilis*) apud Pet. et Turn. *ἔντιμος — γνώριμος*, pro *ἀγανάκτησις* (*dolor*) rectius ap. Turn. *λύπη*: apud Turn. pro *ἁμαρτάς* (voc. Ionic, vd. Schweigh. Lex. Herodot. s. v.) pon. *ἁμάρτημα*.

ἥμαρτε δὲ οὐδὲν ἧττον, ἐπειδὴ τὸ ἁμαρτάνειν οὐκ ἄλλο τί ἐστι πλὴν τοῦ τὰς γραμμὰς ὑπερβαίνειν. ὃ ἐὰν ἅπαξ ποιήσῃς, τὴν αἰτίαν αὐτόθεν προςδέδεξαι. ἐφ᾽ ὅσον δ᾽ ἂν περαιτέρω προχωρῇς, τοῦτο, ἐπειδὰν ἁπλῶς παραβῇς, πρὸς τὸ ἐπαυξῆσαι τὴν τῆς παραβάσεως αἰτίαν οὐδ᾽ ὁτιοῦν συμβάλλεται. Τὸ μὲν οὖν ἁμαρτάνειν ἔξεστιν οὐδενί. τὸ δὲ μὴ ἐξὸν ἐν τούτῳ μόνον ἐνέχεται τῷ μὴ ἐξεῖναι πάντως ἐλέγχεσθαι. Τοῦτο γὰρ οὔτε μεῖζον εἶναι οὔτ᾽ ἔλαττον ἐνδέχεται. ἐπειδὴ παρὰ τοῦτο ἡμάρτηται ὅλως, ὅτι οὐκ ἐξῆν. Ἀμέλει πᾶν ὅ,τι ἓν καὶ ταὐτὸ ἀεὶ ὑπάρχει, ἤ τινα ἐξ αὐτοῦ φύεται τὰ ἁμαρτήματα, ἴσα δεῖ πάντως αὐτὰ γενέσθαι.

21 Αὐτίκα εἰ ἴσαι πρὸς ἀλλήλας εἰσὶν αἱ ἀρεταί, ἀνάγκη πᾶσα καὶ τὰς κακίας ἀλλήλαις ἴσας ὑπάρχειν. ἀλλὰ μὴν ἴσας εἶναι τὰς ἀρετάς, καὶ οὔτ᾽ ἀγαθοῦ ἀνδρὸς ἀμείνω τινά, οὔτε σώφρονος σώφρονα μᾶλλον, οὔτ᾽ ἀνδρείου ἀνδρειότερον, οὔτε σοφοῦ σοφώτερον γίνεσθαι οἷόν τε εἶναι τινα, ῥᾷστ᾽ ἄν τις ἐντεῦθεν ἴδοι. Ἆρα δὴ ἀγαθὸν εἶναι τοῦτον ἄνδρα φήσεις, ὃς παρακαταθήκην τινὰ ἐπὶ μάρτυρος μηδενὸς ἐμπεπιστευμένος, ἐξὸν δέκα που χρυσοῦ λίτρας μετὰ πάσης ἀδείας κερ-

νειν ἐστίν, ὥςπερ τὰς γραμμὰς ὑπερβάλλεσθαι καὶ ὑπερπηδᾶν· ὅπερ ὁ ποιήσας ἐνέχεται τῇ ἁμαρτάδι· ἄχρις οὗ παρελαύνοι, ὅσον πόῤῥω παρέρχοιτο ὁ ἅπαξ παραβεβηκώς, πρὸς τὰ αὔξειν τῆς παραβάσεως πλημμέλημα οὐδὲν διαφέρει. Τὸ μὲν γὰρ πλημμελεῖν οὐδενὶ ὅσιον. τὸ δὲ μὴ ὅσιον παρὰ τοῦτο μόνον ἐστίν, εἰ μηδενὶ πρέπειν ἀποδείκνυται. Καὶ δὴ εἰ τοῦτο μήτε μεῖζόν ποτε μήτε ἔλαττον γενέσθαι δύναται· τῷ δὲ δηλονότι προςόντος ἀδικήματος εἰ μηδὲ ὅσιον· τούτου γε ἑνὸς καὶ μόνου ὄντος ἀνάγκη πολλὴ τὰ ἐξ αὐτοῦ γενόμενα ἁμαρτήματα ὑπάρχειν ἴσα.

Εἰ δὲ καὶ ἀρεταὶ ἀλλήλαις ἴσαι τυγχάνουσιν οὖσαι, καὶ αἱ κακίαι προδήλως εἶεν ἂν ἴσαι. τὰς δὲ ἀρετὰς ἰσοτίμους ὑπάρχειν, μήτε ἀνδρὸς ἀγαθοῦ βελτίω τινά, μήτε σώφρονος σωφρονέστερον, μήτε ἀνδρείου ἀνδρειότερον, μήτε σοφοῦ σοφώτερον γίνεσθαι οἷόν τ᾽ εἶναι, δῆλον καὶ συμφανὲς ῥᾳδίως ἅπασιν. Ἆρά γε δίκαιον ἐρεῖς ἄνδρα, τὸν παρακατατεθειμένας δέκα χρυσοῦ λίτρας, οὐ παρόντος μάρτυρος,

---

τὸ δὲ μη ἐξόν] Turnebus *licere* non recte reddidit *ὅσιον εἶναι*: nec verba *id hoc uno tenetur παρὰ τοῦτο μόνον ἐστίν*, pro quibus Blum. Anl. p. 181. substituit locutionem *ἀνακεῖσθαι εἰς μόνην τὴν ἀπόδειξιν τοῦ μὴ ἐξεῖναι.*

Τοῦτο — γενέσθαι] Petavius et Turnebus non recte h. l. distinxere: *Id si — Quod semper — oportet:* verbis *quoniam — idem est* parenthesi cum optt. Edd. inclusis una periodus fit ab *Id si — oportet.* Petavius *Id siquidem* expressit.

δαίνειν, ὅμως ταύτας ἀπέδωκεν· ἣν μὴ ταὐτὸ ἐν μυρίαις χρυσίου λίτραις ποιήσῃ; ἢ καὶ σώφρονα τοῦτον ἐρεῖς, ὃς ἡδονῶν ἔστι μὲν ἧςτινος ἐκράτησεν, εἰς δ' ἑτέραν φέρων ἑαυτὸν ἀφειδῶς ἐπέδωκεν; Καί τοι 22 μία πάντως ἐστὶν ἡ ἀρετὴ τῷ τε λόγῳ συμφωνοῦσα, καὶ τῷ βεβαίῳ διὰ παντὸς τῆς γνώμης καὶ εὐσταθεῖ. ταύτῃ δὲ μηδὲ προςτιθέναι οἷόν τε ἐστί τι, ὥςτε ἐπὶ πλέον ἀρετὴν εἶναι· μηδὲ μὴν παρελέσθαι, ὥςτε τοῦ τῆς ἀρετῆς ὀνόματος ἀφίστασθαι. Εἰ γὰρ τὰ καλῶς πεπραγμένα ὀρθῶς πέπρακται, μηδὲν δὲ τοῦ ὀρθοῦ μᾶλλον ὀρθόν ἐστι· δῆλον ὅτι μηδ' ἀγαθοῦ ἄμεινόν τί ἐστιν εὑρεῖν. Τούτῳ δὲ ἀκόλουθόν ἐστιν ἴσας ἀλλήλαις εἶναι τὰς κακίας· ἐπειδήπερ τὰς τῆς ψυχῆς διαστροφὰς προςῆκόν ἐστι κακίας ἐπονομάζεσθαι. Ἀλλὰ μὴν ἐπεὶ ἴσαι εἰσὶν αἱ ἀρεταὶ καὶ αὐτὰ δὴ τὰ κατορθώματα, ἅτε ἀπὸ τῶν ἀρετῶν γιγνόμενα, ἀλλήλοις ἐξισοῦσθαι μέλλει. ὁμοίως δὲ καὶ τὰ ἁμαρτήματα, ὡς ἐκ τῶν κακιῶν φυόμενα, ἴσα γίνεσθαι ὁ λόγος αἱρεῖ. II. Ἀπὸ 23 τῶν φιλοσόφων, φησί, ταῦτα παρείληπταί σοι. δέος ἦν, μὴ ἀπὸ μαστροπῶν ἂν φαίης. Ἀλλ' ὁ Σωκράτης οὕτω πως διελέγετο. εὖ γε, ὦταν· ἐκεῖ-

κερδαίνειν δυνηθέντα καὶ ἀποδόντα, ταὐτὸ δὲ ἐν μυρίαις λίτραις μὴ ποιήσαντα; ἤγουν σώφρονα, τὸν μιᾶς τινὸς ἐπιθυμίας ἑαυτὸν ἐπέχοντα, εἰς ἄλλην δὲ ἀφειδῶς ἐκχέοντα; Ἀρετὴ μία τίς ἐστιν συνομολογοῦσα καὶ τῷ λόγῳ καὶ ἐνδελεχεῖ εὐσταθείᾳ. οὐδὲν προςτίθεσθαι οἷόν τε, ἵνα μᾶλλον ἀρετὴ λέγοιτο· οὐδὲν ἀφαιρεῖσθαι, ἵνα τὸ ἀρετῆς ὄνομα σώζοιτο. εἰ γὰρ καλαὶ καὶ ἀγαθαὶ πράξεις κατορθώματά εἰσιν καὶ οὐδὲν ὀρθοῦ ὀρθότερον, τοῦ ἀγαθοῦ δήπουθεν βέλτιον οὐδὲν εὑρεθήσεται. Συμβαίνει τοίνυν ἐκ τούτου καὶ συμπεραίνεται, καὶ τὰς κακίας ἴσας ὑπάρχειν, εἴπερ δὴ τὰς τῆς ψυχῆς λώβας καὶ διαστροφὰς ὀρθῶς καὶ προςηκόντως ἔχει κακίας ὀνομάζειν. εἰ μέντοι αἱ ἀρεταὶ ἰσότιμοι ὑπάρχουσι, καὶ τὰ κατορθώματα, ὡς δῆτα ἀπὸ τῶν ἀρετῶν γεννηθέντα, ἴσης ἀξίας τυγχάνειν προςήκει· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ ἁμαρτήματα, ὡς ἐκ τῶν κακιῶν παροχετευθέντα, ἐξισοῦσθαι ἀνάγκη. II. Ἀλλὰ σὺ μὲν παρὰ τῶν φιλοσόφων τάδε χρησθέντα καὶ δεδανεισμένα λαμβάνεις. ἐφοβούμην ἄρα, μὴ παρὰ μαστροπῶν φήσειας. Ἀλλὰ Σωκράτης τοῦτον τὸν

ὃς — ἐκράτησεν] Apud Turnebum pro ἑαυτὸν ἐπέχοντα pone ἀπεχόμενον. Supr. *idem*: ταὐτό express. Gernh. Or. uncis inclusere.

22 ταύτῃ δὲ μηδὲ προςτιθέναι] Apud Turn. corrige μηδὲν προςτίθεσθαι — μηδὲν ἀφαιρεῖσθαι — τὸ τῆς ἀρετῆς — μηδὲν ὀρθοῦ. Pro παροχετευθέντα (Blum. Anleit. p. 183. v. εἶναι substituit) vel φυόμενα c. Petavio, vel ὑπάρχοντα — ὁρμῶντα.

23 ὦταν] Melior scriptura est vel ὦ τᾶν vel ὦ τάν vd. Passov. et Rost Lexx., vel ὦ' τάν vd. Iacobitz. ad Luc. Tim. cp. 35. : *hercle* apud Cicer. potius est Ἡράκλεις.

νον γὰρ λόγιόν τινα καὶ σοφὸν ὑπάρξαι τῇ μνήμῃ παραδέδοται. Πλὴν ἡδέως ἂν σου τοῦτο πυθοίμην (ἐπειδὴ διὰ λόγων ἡμεῖς, οὐ διὰ κονδύλων πρὸς ἀλλήλους μαχόμεθα), πότερον ἀγαθῶν πέρι ζητητέον μᾶλλον ὅ,τι ποτ᾽ οὖν ἀχθοφόροι τινὲς καὶ ἐργάται, ἢ ὅπερ οἱ τῶν ἀνθρώπων σοφώτατοι γινώσκουσιν; μάλιστα δ᾽ ὁπότε ταυτησὶ τῆς γνώμης οὐδεμίαν ἂν ἐξεύροις μήτ᾽ ἀληθεστέραν μήτε μὴν λυσιτελεστέραν τῷ γένει τῶν ἀνθρώπων. Τίς γὰρ ἂν εἴη δύναμις μᾶλλον ἀπείργειν ἁπάσης πονηρίας οἵα τε οὖσα τοὺς ἀνθρώπους, ἢ τὸ πεπεῖσθαι οὕτως αὐτούς, μηδεμίαν ἐν τοῖς πταίσμασιν εἶναι διαφοράν, καὶ ἴσον ἁμαρτεῖν ἑαυτούς, εἴτε τοῖς ἰδιώταις εἴτε τοῖς ἐν ἀρχαῖς οὖσι χεῖρας ἐπιβάλλοιεν· εἰς ἥντινα δ᾽ ἂν οἰκίαν διὰ τῆς σφῶν πορνείας ἐνυβρίζωσιν, τὴν αὐτὴν ἄντικρυς κηλίδα τῆς ἀσελγείας ὑπάρχειν; Ἆρα οὖν οὐδὲν διαφέρει, φησίν, ἐάν τέ τις τὸν πατέρα, ἐάν τε τὸν δοῦλον ἀπέκτονεν; Ἀλλὰ γυμνῶς οὑτωσί πως καὶ ἁπλῶς ἐὰν ταῦτα τιθῇς, ὅπως ποτ᾽ ἂν ἔχοι χαλεπόν ἐστι διακρίνειν.

τρόπον διελέγετο. εὐφημεῖς μὲν οὖν καὶ καλῶς λέγεις. ἐκεῖνον μὲν γὰρ πεπαιδευμένον τε καὶ σοφὸν ἄνδρα γεγονέναι, μνήμῃ εἰς ἡμᾶς παραδέδοται. Ἀλλὰ ὅμως ἐρωτῶ σε (ἐπειδήπερ ἡμεῖς λόγοις, οὐχὶ κονδύλοις διαγωνιζόμεθα), πότερον τοῖς χρηστοῖς ζητητέον ἐστίν, τί τοῖς βαστάζουσι καὶ ἐργάταις περί τινος φαίνεται, ἢ τοῖς ἀνδράσιν εἰς ἄκρον τῆς παιδείας ἐξεληλακόσιν; ὅπου γε τῆσδε τῆς γνώμης καὶ διανοίας, οὐχ ὅπως ἀληθεστέρα, ἀλλὰ οὐδέ γε ὠφελιμωτέρα τῷ βίῳ ἐξευρίσκεσθαι δύναιτο. Τί γὰρ ἂν μᾶλλον ἀνθρώπους πάσης ἀδικίας ἀπείργοι, ἤπερ τὸ ὑπολαμβάνειν μηδεμίαν ἐν ταῖς ἁμαρτίαις εἶναι διαφορὰν καὶ ἀνισότητα; ὁμοίως τε ἁμαρτάνειν τοὺς καὶ ἰδιώτας, ὡς ἄρχοντας ἀδίκως δέροντας; εἰς ὁποίαν οὖν οἰκίαν ὑβρίζοιεν τῇ μοιχείᾳ καὶ τῇ πορνείᾳ, ὁμοίαν καὶ ὁμόζυγον εἶναι τῶν ἀφροδισίων κη-
24 λίδα; Πότερον ἆρα, φήσει τις, μηδὲν διαφέρει τὸν πατέρα καὶ τὸν δοῦλον ἀπεκτονέναι; Ταῦτα δὴ οὕτω ψιλὰ τεθέντα ἐξ ἑαυτῶν ὁποῖα εἴη οὐ δύναται διακρίνεσθαι. τὸν πατέρα ζῶης

πότερον — μᾶλλον] Secutus est Petavius lect. *utrum potius de bonis*: *πότερον τοῖς χρηστοῖς ζητητέον*. Turnebus *utrum bonis*: al. Graev. Ern. Gernh. Orell. *utrum de bonis*.

οὐδεμίαν — μήτ᾽ — μήτε — χεῖρας ἐπιβάλλοιεν — ἐνυβρίζωσιν — κηλίδα] Apud Petavium corrige *οὔτε — οὔτε*: apud Turnebum *χεῖρας ἐπιβάλλοντας* pro *δέροντας — ἂν ὑβρίσωσι* pro *ὑβρίζοιεν*: apud Petavium et Turn. *κηλῖδα* pro *κηλίδα* corrige.

οὐδὲν διαφέρει, φησίν, ἐάν τε — ἐάν τε — ἀπέκτονεν] Apud Tur- 24
nebum corrige *οὐδὲν διαφέρει* pro *μηδὲν διαφέρει*, apud Petavium in parenth. *τοῦτο γὰρ φήσει τις* pro *φησί*; ibid. aut *ἐάν τε* c. Conjunct struendum, aut *εἴτε* c. Indicat. ponendum.

τὸν μὲν οὖν πατέρα τοῦ βίου ἀποστερεῖν εἰ ἀθέμιτόν ἐστι καθ᾽ ἑαυτό· οἱ Σαγουντῖνοι ἐπειδὴ τοὺς αὐτῶν γονεῖς μετ᾽ ἐλευθερίας ἀποθανόντας ἰδεῖν μᾶλλον ἢ ἐν δουλείᾳ ζῶντας εἵλοντο, πατροκτόνοι ἂν εἶεν. Οὐκοῦν τὸν μὲν πατέρα ἔστιν ὅςτις οὐκ ἀδίκως ἂν ἐνίοτε τὸν βίον ἀφέλοι· τὸν δ᾽ οἰκέτην ἀδικήματος δίχα πολλάκις οὐκ ἐνδέχεται. Τοιγαρ οὖν παρὰ τὴν αἰτίαν, ἀλλ᾽ οὐ παρὰ φύσιν τὰ τοιαῦτα διελέσθαι χρή. ἐκείνη δὲ ὁποτέρῳ ἂν προςτεθῇ, ἐπιῤῥεπέστερον τοῦτο ποιεῖ· ἣν δ᾽ αὖ ἑκατέρῳ συναφθῇ, πᾶσα ἀνάγκη ἴσα καὶ ἄμφω ἀλλήλοις ὑπάρχειν. Τούτῳ μέντοι διαφέρουσιν, ὅτι ἐν τῇ τοῦ δούλου ἀναιρέσει, ἣν παρὰ δίκην γένοιτο, ἅπαξ ἁμαρτάνεται· εἰς δὲ πατρῷον τὸν φόνον πολλὰ συντρέχει τὰ κακουργήματα. Ὅ, τε γὰρ φύσας ἀδικεῖται καὶ ὁ διαθρέψας ὅ, τε παιδεύσας καὶ ὁ ἐν τόπῳ τινὶ καὶ οἰκίᾳ καὶ πολιτείᾳ καταστήσας. Τῷ γοῦν πλήθει τῶν ἁμαρτημά-

ἀποστερεῖν, ἄγος ἐστὶ κατ᾽ αὐτό. Τοιγαροῦν οἱ Σαγοντῖνοι οἱ τοὺς τεκόντας μᾶλλον ἐν ἐλευθερίᾳ ἀποθανεῖν προῃρημένοι ἢ ἐν δουλείᾳ διαγαγεῖν, πατραλοῖαι γεγόνασιν. Οὐκοῦν τοκεῦσί ποτε ἂν ἀναμαρτήτως ἀφαιροῖτο, καὶ δούλῳ πολλάκις οὐκ ἂν δικαίως. Ταυτὶ μὲν οὖν οὐχὶ ἡ φύσις, ἀλλὰ ἡ αἰτία διακρίνει· ἥπερ ὁποτέρωσε οὖν προςπίπτοι, εἰς κατάῤῥοπον ἐπικλίνει, δηλονότι ἑκατέρῳ προστεθεῖσα, ἐξισώσει καὶ ἐξομαλίσει. Παρὰ μέντοι τοῦτό ἐστιν ἡ διαφορά, παρ᾽ ὅςον ἐν τῷ δούλου μὲν φόνῳ ἅπαξ ἁμαρτάνεται, ἐν δὲ τῇ πατροκτονίᾳ πολλά. Ὁ γὰρ ἡμᾶς γεννήσας καὶ ὁ θρέψας καὶ ὁ παιδεύσας καὶ ὁ ἐν πατρίδι καὶ οἰκίᾳ καὶ πολιτείᾳ καταστήσας ἀδικεῖται. Τῶν τοίνυν ἁμαρτημάτων πλήθει

τοῦ — καθ᾽ ἑαυτό] Sic corrige apud Turnebum pro ζωῆς ἀποστερεῖν — κατ᾽ αὐτό.

Σαγουντῖνοι] Turn. Σαγοντῖνοι, pro quo Blum. Anl. p. 184. Σαγουντινοί; Rost. Lex. German. - Graec. Σαγουντηνοί. Scriptores Graeci diversam scripturam huius nominis exhibent: Σαγουντῖνοι Plut. Sertor. cp 21., Ζακανθαῖοι Appian. Hisp. L. VI, 10 — 12 et alibi, Polyb. III, 17. Ζάκανθα: 17. Ζακανθαῖοι. Infra pro voc. poet. τοκεῦσι pone γονεῦσι.

τὸν βίον ἀφέλοι] Ἀφαιροῖτο quidem rectius Turnebus, sed τὸν βίον non debebat omittere.

ἐκείνη — ποιεῖ] Pro προςπίπτοι apud Turn. recte Blum. Anl. p. 184. ἂν προςπέσῃ, ut Petavius ἂν προςτεθῇ, et pro εἰς κατάῤῥοπον ἐπικλίνει substituit ῥοπὴν ἔχει.

ἣν — γένοιτο] Corrige εἰ — γίγνεται i. e. *si id fit — fiat — iniuria* vd. var. lectt. Turnebus haec verba omisit. Infra dele τά ante κακουργήματα: pro τόπῳ (*sede*) rectius Turn. πατρίδι.

των ὑπερβάλλει, καὶ παρὰ τοῦτο μείζονα τιμωρίαν ἄξιός ἐστιν ὑπέχειν. Ἀλλ' ἡμᾶς οὐ τοῦτο δίκαιόν ἐστι σκοπεῖν, ἡλίκην ἂν τὸ τυχὸν ἁμάρτημα τὴν δίκην ὀφλισκάνοι, ἀλλ' ὅσον ἂν τῷ καθ' ἕκαστον θέμις ἐστὶν ἀνθρώπων. ἅπαν γὰρ τὸ μὴ δέον ἄγος ἐστίν· ὃ δὲ μὴ ἔξεστιν, ἀνόσιον δὴ τοῦτο ἡγητέον ἡμῖν. Ἦ καὶ ἐν τοῖς ἐλαχίστοις οὕτως οἰητέον ἔχειν τὸ πρᾶγμα; Φημὶ ἔγωγε κἂν τούτοις. τῶν μὲν γὰρ πραγμάτων μέτρον ἀναπλάττειν οὐ δυνάμεθα· ἐν δὲ τοῖς κατὰ τὴν ψυχὴν τὸ μέτρον διαφυλάττειν ἐφικτὸν ἡμῖν.

26 Ὁ μὲν οὖν ἀπὸ Διονύσου τεχνίτης ἢν ἔξω τοῦ ῥυθμοῦ κἂν ὀλίγον τι παρακεκίνηται, ἢ καὶ στίχος τις ἀπήγγελται μιᾷ συλλαβῇ τοῦ δέοντος βραχύτερος ἢ μακρότερος, ὑπὸ θεατῶν ἐκσυρίττεται καὶ ἀπελαύνεται. σὺ δὲ κατὰ τὸν σαυτοῦ βίον, ὃν πάσης μὲν ὑποκρίσεως μεμετρημένον μᾶλλον, παντὸς δὲ στίχου ἀκριβέστερον ἡρμοσμένον

προὔχει, διὸ καὶ μειζόνων ἄξιός ἐστι προστίμων. Ἀλλὰ μὴν ἐν τῷ βίῳ οὐχὶ τὰ τῶν πονηρευμάτων ἑκάστῳ ἐπιτίμια προσήκοντα ἐπισκεπτέον, ἀλλα εἰς ὅσον ἑκάστῳ ὅσιον καὶ θέμις. τὸ γὰρ μὴ δέον, φαῦλον· τὸ μὴ ὅσιον ἐναγὲς ὑπολαβεῖν δεῖ. δῆθα καὶ ἐν τοῖς σμικροτάτοις; Ναί· εἴπερ τῶν πραγμάτων μέτρον ῥυθμίζειν καὶ διαλαβεῖν οὐ δυνάμεθα, τῶν δὲ ψυχῶν κανόνα διευθύνειν οἷοί τ' ἐσμέν. Ὑποκρίτης μὲν οὖν εἰ ὀλίγιστον πέρα τοῦ ῥυθμοῦ ἐξωρχήσατο, ἢ εἰ τὸ μέτρον ἐῤῥήθη καὶ ἐξηγγέλθη προμηκέστερον μιᾷ μόνῃ συλλαβῇ, ἢ καὶ μειουρότερον, ἐκσυρίττεται, ἐκκηρύττεται, ἐκκρούεται. εἶτα ἐν τῷ βίῳ πάσης ὑποκρίσεως ἀκριβεστέρῳ καὶ παντὸς μᾶλλον ἡρμοσμένῳ εἶναι ὀφείλοντι, ὡς ἐν μιᾷ συλλαβῇ ἐξημαρτηκέναι φήσεις.

ἡλίκην — ἀνθρώπων] Aut bis Optativus ponendus *ὀφλισκάνοι — εἴη*, aut Indicativus sine *ἄν*, quum utrumvis modum lingua Graeca admittat, cf. Matth. Gr. Vol. II. §. 507. Bernhardy wiss. Syntax. p. 384. sq.

ἀπὸ Διονύσου τεχνίτης] Passov. Lex. s. v. *τεχνίτης* dicit, histriones et musicos *τεχνίτας Διονυσιακούς* sive *περὶ Διόνυσον* dictos esse: Turneb. *ὑποκρίτης*. 26

ἢν — παρακεκίνηται — ἀπήγγελται] Corrige *εἰ* pro *ἤν* et pro Perf. Aoristum, ut Turneb.

ἐκσυρίττεται καὶ ἀπελαύνεται] *Exsibilatur et exploditur* est apud Ciceronem. *Exsibilare* recte dicitur *ἐκσυρίττεσθαι*, *explodi πτερνοκοπεῖσθαι* (quod Blum. Anleit. p. 185. substituit) — non *ἀπελαύνεσθαι*, aut apud Turnebum *ἐκκηρύττεσθαι*, *ἐκκρούεσθαι*.

ὃν πάσης — στίχου] *Gestus* i. q. *σχῆμα*, quum *ὑπόκρισις* de tota histrionis arte, declamatione et actione dicatur. Apud Turnebum post *παντός*, ubi Latinum *versu* Petavius reddidit *στίχου*, omissum est *μέτρου — στίχου*.

38 XXIII. *Οἶδα πολλοὺς τῶν Ἑλλήνων γράψαντας περὶ
μνήμης καὶ διδάξαντας δεῖν πολλῶν λόγων συγγράφειν εἰκό-
νας, ὡς ἂν οἱ ταύτας ἐκμανθάνειν ἐθέλοντες, παρεσκευασμέ-
νας ἔχοντες, μηδὲν πονῶσιν ἐν τῇ τούτων ζητήσει, ὃ διά τινας
ἡμῖν αἰτίας οὐκ ἀρέσκει. Πρῶτον μέν, ὅτι τῷ τῶν λόγων
ἀναριθμήτῳ πλήθει γελοῖόν ἐστι τὰς τῶν λόγων ἑτοιμάζειν εἰ-
κόνας· πολλοῦ γὰρ δεῖ τοῦτο ἐῤῥῶσθαι, ἐπεὶ ἐκ τῆς ἀπείρου
τῶν λόγων πληθύος νῦν μὲν ἄλλου, νῦν δ' ἄλλου ἡμᾶς λόγου
μνημονεῦσαι δεήσει. Μετὰ δὲ ταῦτα τί μὴ τὴν τῶν εἰκόνων
εὕρεσιν τῷ περὶ ταῦτα σπουδάζοντι οἴκοθεν ποιεῖν ἐπιτρέψομεν,
ἀλλὰ πάντα ἕτοιμα καὶ ἐξεζητημένα παρέχοντες ἀγύμναστον
ἐκεῖνον καὶ οἷον εἰπεῖν ἀκίνητον πρὸς ταῦτα ποιήσομεν; Ἐπὶ
τούτοις ἄλλος ἄλλῃ πλέον ὁμοιότητι διεγείρονται. Καὶ γὰρ
ὥσπερ πολλάκις μορφῇ τινὶ τήνδε τὴν μορφὴν ἐοικέναι λέγον-
τες οὐ πάντας ἔχομεν συναινοῦντας, ὅτι γε ἄλλο δοκεῖ ἄλλῳ·
οὕτω γίνεται κἂν ταῖς εἰκόσιν, αἵτινες ἡμῖν ἀκριβῶς γνώριμοί
39 εἰσιν, αὗται βραχύ τι δοκοῦσιν εἶναι διαφανεῖς ἑτέροις. ὅθεν
ἕκαστον ἑαυτῷ χρὴ τὰς εἰκόνας κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα
κατασκευάζειν. Τελευταῖον ἔργον ἐστὶ διδασκάλου διδάσκειν,
ὅπως ἕκαστον ζητεῖσθαι προσήκει, καὶ τουτὶ τυχὸν ἤ τι ἕτερον,
οὐ πάντα δὲ τὰ τοῦ αὐτοῦ γένους χάριν παραδείγματος ὑπο-
βάλλειν, ὅπως ἂν εἴη τὸ πρᾶγμα σαφέστερον. Ὥσπερ ὅταν,*

---

38 Cap. XXIII. *πολλοὺς — διδάξαντας*] In Lat. est *plerosque* i. e. *τοὺς πλείστους*; *διδάξαντας* adiectum est ab interpr.

ταύτας — ὃ] *τὰς ταύτας* Matth. *ταύτας* Mai. *παρεσκευασμένας — πονῶσι — ὅ* Matth. *παρασκευασμένας — πονῶσιν — ὁ* Mai.

τῷ — εἰκόνας] Omissum est *in* ante *verborum* ut in Codd. Voss. I. III. Leid. II. III. IV. Ed. Omnib. et expressa lect. *innumerabili* Cod. Duisb. Voss. I. Leid. II. III. IV. all. Ed. Med., ergo non *in* addendum, ut vult Matth., vulg. *in verborum innumerabilium multitudine; mille* ante *verborum* ab interpr. est omissum.

πολλοῦ — ἐῤῥῶσθαι] Matth. *τοῦτο ἐῤῥῶσθαι* Cod. Aug. *πολλοὺς — τοῦτ' ἐρῦσθαι* Mai. Iacobs. *οὕτω* aut quod lenius *τούτῳ* emendandum censet; Mai. om. *λόγου*.

Μετὰ — ποιήσομεν] *τῶν εἰκόνων* Mai. *εἰκόνων* Cod. Aug. Matth. (*τῶν* addendum coniiciens) *ἐκεῖνον* om. Mai. Ceterum interpres Gr. textum Lat. circumscribendo amplificavit.

διεγείρονται] Mai. *διεγείρεται* Matth. De Plural. cf. supra cp. 22. *ἐξολισθαίνουσι — μένουσιν — συσκευάζονται*; add. Matth. Gr. Gr. Vol. II. §. 302 b Bernhard. wiss. Synt. p. 420. Dionys. Halic. Histor. ed. Krüger. Indic. de Thuc. cp. 26, 14.

συναινοῦντας — οὕτω] Expressa est vulg. *assensores — ita*, Cod. Duisb. *asentatores*, Voss. I. Leid. IV. *adsentatores*, item Cod. Tur. aliquot Codd. ad. Lind.

αὗται — οἰκείαν] Matth. *αὗται* Cod. Aug. *αὗται* Mai. *βραχύ τι* om. Mai. *διαφανεῖς* Cod. Ambros. *ἀφανεῖς* Mai. e correct. *χρῆ* Mai. *οἰκίαν* Cod. Aug.

πολιορκηθείη, ὃν οὐδεὶς ἂν ἔχοι τῆς πόλεως ἐξελαύνειν; Ποία γάρ τίς ἐστιν ἡ πόλις; μῶν ἅπας ὁ σύλλογος κἂν ἀγρίων τινῶν καὶ ἀνημέρων ἀνθρώπων; ἢ δραπετῶν καὶ λῃστῶν πᾶν τὸ πλῆθος εἰς ἕνα τόπον συνηθροισμένον; οὐκ ἄν, οἶμαι, σὺ φαίης. Τοιγαροῦν οὐδὲ πόλις ἦν ἐκείνη τότε, ἡνίκα οὐδὲν ἴσχυον οἱ νόμοι· καὶ αἱ δίκαι πεπάτηντο· τὰ δὲ πάτρια νόμιμα πάμπαν ἀνῄρηντο· ἡνίκα, τῶν ἀρχόντων βίᾳ καὶ ἐν νόμῳ χειρῶν ἐξωσθέντων, οὐδ᾽ αὐτὸ κατὰ τὴν πόλιν τῆς συγκλήτου τοὔνομα περιελέλειπτο. Ἐκείνη τῶν λῃστῶν ἡ συνδρομή, καὶ τὸ λῃστικὸν στῖφος τὸ ἡγεμονεύοντός σου κατὰ τὴν ἀγορὰν συγκεκροτημένον, τά τε λείψανα τῆς συνωμοσίας ἐκ τῆς τοῦ Κατιλίνα μανιώδους ὁρμῆς εἰς τὸ ἐναγές σου τόλμημα καὶ παραπληξίαν τὴν σὴν περιτραπείσης, ἆρα πόλιν δίκαιόν ἐστι νομίζειν; Οὔκουν ἔγωγε 28 τῆς πόλεως ἐκβέβλημαι, ἥτις οὐδεμία περιῆν. τότε δὲ μεταπεμφθεὶς εἰς τὴν πύλιν ἐπανῆλθον, ὅτε τὸν μὲν Ὕπατον εἶχεν ἡ πολιτεία τὸν τέως οὐκ ὄντα· εἶχε δὲ σύγκλητοκ βουλὴν τὴν πρὸ τοῦ ἄρδην ἀπο-

ἢ κατὰ κράτος ληφθήσεται, ἢ μηδὲ ἐκ τῆς πόλεως ἐκβάλλεσθαι καὶ ἐξορίζεσθαι δυναμένη; Τίς γάρ ποτε πόλις ἐστίν; ἢ δῆθα πᾶσα ξύνοδος, καὶ δὴ καὶ ἀγρίων ἀνθρώπων καὶ θηριωδῶν; ἢ δῆθα ὁτιοῦν δραπετῶν καὶ λῃστῶν συνειλεγμένον εἰς ἕνα τόπον πλῆθος; δηλονότι οὐ φήσεις. Οὔκουν τότε ἦν πόλις, ὅτε ἐκεῖ μηδὲν οἱ νόμοι ἐδύναντο, αἱ δίκαι δὲ ἀποβεβλημέναι ἔκειντο καὶ καταπεπατημέναι, τὰ ἔθη καὶ τὰ νενομισμένα ἔφθαρτο πρόῤῥιζα καὶ αὐτόπρεμνα, ὅτε τῶν ἀρχόντων βίᾳ καὶ σιδήρῳ ἐκποδὼν γεγενημένων, τῆς συγκλήτου ὄνομα ἐν τῇ πολιτείᾳ οὐχ ὑπῆρχεν; Ἐκείνη δήπουθεν ἡ λῃστῶν συνέλευσις, καὶ παρὰ σοῦ ἡγεμόνος λῃστεία ἐν τῇ ἀγορᾷ καθεστηκυῖα καὶ ἱδρυμένη καὶ συγκεκροτημένη, καὶ τὰ συνωμοσίας λείψανα ἀπὸ τῶν Κατιλίνου ἐριννύων εἰς τὴν σὴν βδελυρίαν τε καὶ μανίαν συνεστραμμένα, οὐχὶ πόλις ἦν. Ὥστε ἐγὼ μὲν ἐκ πόλεως μὴ οὔσης οὐκ ἐξεβεβλήμην, εἰς δὲ τὴν πόλιν μετεπεμπόμην, ὑπάτου ἐν τῇ πολιτείᾳ ὄντος, ὃς τότε μὴ ὑπῆρχεν· οὔσης συγκλήτου, ἣ τότε ἐτετελευτήκει; ὄντος ἐλευθέ-

---

σεται ponendum erat νικηθήσεται, quoniam Fut. 1. Med. huius verbi significatione passiva non usurpatur, ut aliorum, de quibus vd. Buttm. Gr. max. Vol. II. §. 113. 6. Wüstem. ad Theocr. I, 26.

Κατιλίνα] Male *Κατιλίνου* Turn. *Κατιλίνα* Genit. Plutarch. Cic. 12. Appian. B. Civ. II, 3.

ἆρα — νομίζειν;] Expressa est a Pet. lect. *num civitas*, licet textus Latinus exhibeat *civitas non erat*, quam lect. Turnebus cum optt. Edd. secutus est: *οὐχὶ πόλις ἦν.*

σύγκλητον — τοῦ] *Senatus* Gr. dicitur *σύγκλητος* omisso *βουλή.* 28

λωλυκότων· πρόςῆν δὲ καὶ ἐλευθέρου ὄντος τοῦ δήμου σύμφωνος γνώμη· καὶ προςέτι ἡ τοῦ δικαίου καὶ νομίμου, ὃς ἄντικρύς ἐστι σύνδεσμος τῆς πόλεως, μνήμη τις ἐνῆν διὰ πολλοῦ ἀποκατασταθεῖσα. Ἀλλ' ὅρα δή, ὅπως ἐκείνων τῶν τοῦ σοῦ ληστηρίου βελῶν κατεφρόνησα. Τὸ γὰρ ἐπενεχθῆναί μοι καὶ ἐναπεσκῆφθαι παμπόνηρον ὑπὸ σοῦ τὸ ἀδίκημα, διὰ παντὸς ἔκρινα· αὐτὸ δὲ τοῦτο τὸ ἐπενεχθὲν ἐξικέσθαι μου οὐδεπώποτ' ἡγησάμην. ἢ μὴ τάχα ποῦ, ὁπηνίκα τοὺς τοίχους καθῄρεις, ἢ ἀνοσίους ταῖς οἰκίαις τέγεσι πυρὸς ὑπέβαλλες, ᾤου τι καταστρέφεσθαι ἢ ἐμπίμπρασθαι τῶν ἐμῶν. ἀλλ' οὐκ ἔστιν οὕτως· πολλοῦ γε καὶ δεῖ. Οὐδὲν γὰρ οὔτ' ἐμοῦ ἴδιον οὔτ' ἄλλου τινὸς οὐκ ἔστιν, ὅπερ ἀφαιρεῖσθαι ἢ ἀποσυλᾶσθαι ἢ ἀποβάλλεσθαι δυνατόν. εἰ μέντοι τὴν ἐπὶ μακρὸν διατελοῦσαν τῆς ψυχῆς καρτερίαν ἀφεῖλες ἐμοί, ἢ τὰς ἐμὰς φροντίδας καὶ τὰς ἀγρυπνίας τάς τε βουλάς, δι' ὧν ἀνίκητος ἡ πόλις ἕστηκεν· εἰ ἀϊδίου ταύρου καὶ συμφωνοῦντος τοῦ δήμου, ἀνανεουμένης καὶ τοῦ δικαίου καὶ τῆς ἐπιεικείας, ἅτινα τῆς πολιτείας ἐστὶ δεσμά, μνήμης. Καὶ ὅρα δή, ὅπως τῶν τῆς λῃστείας σου βελῶν ὠλιγώρησα. Ἐφειμένην καὶ ἐπιπεμφθεῖσαν ὡς ἐμὲ παρὰ σοῦ παγκάκην καὶ ἄδικον ὕβριν, ἀεὶ ᾠήθην· ἐμοῦ δὲ καθικέσθαι καὶ καθάψασθαι, οὐδέποτε ἡγησάμην. εἰ μὴ τάχα, ὁπότε τοίχους κατέβαλλες ἢ τοῖς οἰκήμασι μιαρὰς εἰσέφερες δᾷδας, τῶν ἐμῶν τι χρημάτων ἢ καταπίπτειν ἢ κατακαίεσθαι ὑπελάμβανες.

29 Μηδὲν μήτε ἐμὸν λοιπὸν μήτε ἄλλου τινὸς ὄν, τὸ ἢ ἀφαιρεῖσθαι ἢ ἀποβάλλεσθαι δυνάμενον. εἰ ἐμὲ ἀφείλου θείαν τῆς ψυχῆς ἐμβρίθειαν καὶ εὐστάθειαν, καὶ τὸ τῇ ἐμῇ φροντίδι, ἀγρυπνίᾳ, βουλῇ, καί, σοῦ ἄκοντος, ἑστάναι τήνδε τὴν πολιτείαν· εἰ τούτου ἀθανάτου δῆθα καὶ ἀειθαλοῦς εὐεργετήματος μνήμην ἐξήλει-

---

Πρὸ τοῦ an *προτοῦ* rectius scribatur vd. ad Caton. cp. 8. adde Rüdig. ad Dem. Olynth. III. cp. 8.

Ἀλλ' ὅρα] *At vide* reddidit Petavius, *ac vide* Turnebus, ut Gernh. Orell.

παμπόνηρον] Pro falso *παγκάκην* apud Turnebum corrige *πάγκακον*.

ἀλλ' — δεῖ] De suo addidit Petavius.

29 *Οὐδὲν γὰρ οὔτ' — οὔτ'*] Expressit Petavius *enim* in plerisque Edd. omissum, a Turnebo quoque. Sed idem male *μηδὲν μήτε — μήτε*, et omisit *eripi*.

δι' ὧν ἀνίκητος ἡ πόλις ἕστηκεν] i. e. *quibus respublica invicta stat:* Turnebus *καί, σοῦ ἄκοντος, ἑστάναι τήνδε τὴν πολιτείαν*, secutus lect. *quibus respublica, te invitissimo, stat*, ut Graev. Ern. Gernh. Orell. quos vide.

της τῆς χάριτος ἀθάνατον τὴν μνήμην ἐξήλειψας· πολλῷ δὲ μᾶλλον εἰ τὸν νοῦν ἐκεῖνον, ἀφ᾽ οὗ τοιάδε προελήλυθε τὰ βουλεύματα, ἀπεστέρησας ἐμὲ τότε ἂν ὡμολόγουν ἠδικῆσθαι. Εἰ δὲ ταῦτα μήτ᾽ ἐποίησάς πω, μήτε ποιεῖν ἠδυνήθης, λαμπρὰν καὶ ἔνδοξον ἐμοὶ κάθοδον μᾶλλον, ἢ ἀθλίαν καὶ ἐλεεινὴν ἔξοδον ἡ σὴ ἀδικία παρεσκεύασεν. Οὐκοῦν ἔγωγε πολίτης ἦν ἀεὶ, τότε δὲ μάλιστα, ἡνίκα τὴν ἐμὴν σωτηρίαν ἡ σύγκλητος ὡς ἀρίστου πολίτου τοῖς ἔξωθεν ἔθνεσι συνίστη. Σὺ δὲ μηδὲ τὸ νῦν ἐχρῆν πολίτης εἶ· εἰ μή που πολέμιος ὁ αὐτὸς καὶ πολίτης εἶναι δύναται. Ἆρα σὺ πολίτην τοῦ πολεμίου φύσει καὶ τόπῳ, ἢ προαιρέσει καὶ ἔργοις διαστέλλειν ἀξιοῖς; II. Φόνον σὺ κατὰ τὴν ἀγορὰν εἰργάσω· διὰ λῃστῶν ἐνόπλων τὰ ἱερὰ κατέλαβες· τὰς τῶν ἰδιωτῶν οἰκίας καὶ τοὺς νεὼς ἐνέπρησας. Πῶς οὖν ἐστι πολέμιος ὁ Σπάρτακος, εἰ πολίτης εἶ σύ; πῶς δ᾽ οἷόν τέ ἐστι πολίτην εἶναί σε, δι᾽ ὃν ἡ πόλις

φες, μᾶλλον δὲ εἰ καὶ τὸν νοῦν ἐκεῖνον, ὅθεν τοιαῦται βουλαὶ ἐξέφυσαν, ἀφείλου, τότε ἂν δὴ τό τε τῆς σῆς ἀδικίας καὶ ὕβρεως ὡμολογησάμην αἰσθέσθαι. Εἰ δὲ σὺ μήτε ταῦτα διεπράξω, μήτε διαπράττεσθαι ἠδύνασο, ἐπάνοδον ἔμοιγε ἔνδοξον ἡ σὴ ἀδικία παρεσκεύασεν, οὐχὶ ἔξοδον κακοδαίμονα καὶ ἄθλιον. Τοιγαροῦν ἐγὼ ἀείποτε πολίτης ἦν, καὶ τότε δὴ μάλιστα, ὁπότε ἡ σύγκλητος τὴν ἐμὴν σωτηρίαν, ὡς δήπουθεν καλοῦ κἀγαθοῦ πολίτου, τοῖς ἀλλοφύλοις καὶ ἔθνεσιν ἀλλοτρίοις ἐπέσκηπτε καὶ συνίστα. σὺ δὲ μηδὲ νῦν πολίτης, εἰ μὴ ἄρα ὁ αὐτὸς πολίτης καὶ πολέμιός ἐστιν. ἆρα σὺ τὸν πολίτην ἀπὸ τοῦ πολεμίου φύσει καὶ τόπῳ, ἀλλὰ μὴ διανοίᾳ καὶ πράξει διακρίνεις;
30 II. Φόνον ἀνδρῶν ἐν τῇ ἀγορᾷ πεποίηκας, διὰ καθωπλισμένων λῃστῶν τοὺς νεὼς κατείληφας καὶ κατέσχηκας, ἰδίᾳ τε τῶν πολιτῶν οἰκίας καὶ ἱερὰ τῶν θεῶν κατέπρησας. Διὰ τί ὁ Σπάρτακος πολέμιος, σοῦ πολίτου ὄντος; ἆρα σὺ πολίτης, ὅπου

ἐξήλειψας — ἠδυνήθης] Recte Aor. posuit Petavius, male Turneb. ἐξήλειφες — ἠδύνασο: ceterum formae magis Atticae sunt ἐδύνω — ἠδύνω vd. Buttm. Gr. max. Vol. II. p. 112.

Οὐκοῦν — ἀεί] Turn. Τοιγαροῦν ἐγὼ ἀείποτε πολίτης ἦν; uterque *eram* a plerisque Edd. omissum expressit.

Σὺ — εἶ] Turnebus: συ δὲ μηδὲ νῦν πολίτης. Uterque expressit *tu ne nunc quidem es civis.* Iam Graevius delevit verba a posterioribus Edd. omissa *es civis.*

Cap. II. καὶ τοὺς νεώς] Turn. καὶ ἱερὰ τῶν θεῶν, uterque secutus est lect. *aedesque*, vulgo *aedes.*

εἰ πολίτης εἶ σύ] Turn. σοῦ πολίτου ὄντος, uterque secutus est lect. *si tu es civis*, vulgo *si tu civis.*

οὐκ ἐγένετό ποτε; εἶναι τοὔνομά μοι τὸ σὸν ἐπιφημίζων φυγάδα καλεῖς ἐμέ, καίτοι πάντων οὕτως ὑπολαμβανόντων, ὅτι ἐμοῦ ἀποχωροῦντος καὶ ἡ πολιτεία συνεξωρίσθη, οὐχ ἑαυτόν ποτε περισκοπήσεις, ὦ πάντων ἀνθρώπων ἀνοητότατε; οὐχ οἷς πράττειν μέλλεις ἢ λέγειν, τούτοις τὸν νοῦν ἐπιστήσεις; οὐκ οἶσθα τὸν μὲν ἐξορισμὸν τῶν κακουργημάτων εἶναι τιμωρίαν· ἐκείνην δὲ τὴν ἐμὴν ἀποδημίαν τῶν ἐμοὶ λαμπρῶς διαπεπραγμένων ἕνεκεν ὑποστῆναί με; Πάντες μὲν γὰρ οἱ κακοῦργοι καὶ ἀσεβεῖς, ὧν σὺ προστασίαν καὶ ἡγεμονίαν ἀναδέξασθαι, καὶ ὧν οἱ νόμοι τὴν φυγὴν κατεδίκασαν, φυγάδες εἰσίν, εἰ καὶ μήπω ἐκ τῆς χώρας μετέστησαν. Ἆρ᾽ οὖν φυγὴν καταγνόντων σου τῶν νόμων ἁπάντων, φυγὰς ὅμως οὐχ ὑπάρξεις; Πότερον δ᾽ ὁ σὺν βέλει προερχόμενος, οὗτος ἐχθρὸς καὶ ἐπίβουλος ὀνομάζεται; σοῦ ποτε ἕνεκα πόλις οὐχ ὑπῆρχεν; εἶτα καί με τῇ σαυτοῦ ἐπωνυμίᾳ καθυβρίζεις καὶ ἀποκαλεῖς φυγάδα, συμπάντων, ἐμοῦ φεύγοντος, ἐν τοσούτῳ τὴν πολιτείαν ἐξορισθῆναι οἰηθέντων; Οὐδέποτε, ὦ ἀνδρῶν ἁπάντων ἐμπληκτότατε, εἰς ἑαυτὸν περιόψει καὶ περιστρέψῃ; οὐδέποτε μήτε τῶν παρὰ σοῦ ποιησομένων μήτε λαλησομένων ἐπιμελήσῃ; ἀγνοεῖς τὴν φυγὴν αὐτουργημάτων καὶ πονηριῶν εἶναι πρόστιμον; ἐκείνην δὲ τὴν ἐμὴν ἀποδημίαν διὰ τὰ πράγματα ὑπ᾽ ἐμοῦ καλῶς καὶ εὐκλεῶς καὶ ἐπιφανῶς ἀποδειχθέντα καὶ κατορθωθέντα ἐκστησαμένην;

81 Ἅπαντες τοίγαρτοι αὐτόχειρες, κακοῦργοι καὶ ἀνόσιοι, ὧν σὺ ἡγεμὼν εἶναι γαυριῶν κηρύττεις, ὧν οἱ νόμοι φυγὴν καταγινώσκουσι, φυγάδες εἰσίν, καίπερ τὴν γῆν πατρίδα μὴ καταβεβληκότες. Ἢ πάντων δῆθα τῶν νόμων σε φεύγειν κελευόντων καὶ ἀναγκαζόντων, φυγὰς οὐκ ἔσῃ; Οὐχὶ ἐχθρὸς καλεῖται ὁ σὺν βέλει βαδίζων;

εἶτα — ἐμέ] Turnebus: *εἶτα καί με τῇ σαυτοῦ ἐπωνυμίᾳ καθυβρίζεις καὶ ἀποκαλεῖς φυγάδα*: expressa est ab utroque lectio *et me exsulem tuo nomine appellas*; vulgo *et me tuo nomine appellas*.

οὐχ οἷς — ἐπιστήσεις] H. l. apud Turnebum pro *μήτε* bis *οὔτε*, pro *ποιησομένων — λαλησομένων* rescribe Futur. Passiv. vd. annot. ad Parad. IV. Cap. I, 27.

81 κακοῦργοι καὶ ἀσεβεῖς] I. e. *scelerati atque impii*, Turnebus *αὐτόχειρες, κακοῦργοι καὶ ἀνόσιοι* — addens de suo primum voc. h. l. non aptum.

εἰ — μετέστησαν] Turnebus *καίπερ τὴν γῆν πατρίδα μὴ καταβεβληκότες*, minus recte *solum mutare* reddens *τὴν γῆν πατρίδα καταβάλλειν*, pro quo Blum. Anleit. p. 190. bene *μεταλλάττειν τὴν χώραν* substituit. Nota est form. Homeric. *ἡ πατρὶς γαῖα*.

Πότερον — ὀνομάζεται] Turnebus *οὐχὶ ἐχθρὸς καλεῖται ὁ σὺν βέλει βαδίζων*, uterque expressit lect. *Non appellatur inimicus, qui*

μοιχεύσαις; ἀλλὰ πρὸ τοῦ βουλευτηρίου ἐπ' αὐτοφώρῳ ἔχων ἅλως τὸ ξιφίδιον. ἢ ὁ τὸν ἄνθρωπον φονεύσας; σὺ δὲ πάνυ πολλοὺς ἀνῄρηκας. ἢ ὁ τὸν ἐμπρησμὸν ἐργασάμενος; καὶ δὴ τὸ τῶν Νυμφῶν ἱερὸν αὐτόχειρ σὺ κατέπρησας. ἢ τοὺς νεὼς τῶν θεῶν ὁ καταλαβών; σὺ ἐν αὐτῇ τῇ ἀγορᾷ κατεστρατοπέδευσας. Τί δῆτα 32 τοὺς κοινοὺς ἅπασι νόμους προφέρω; ὁ γὰρ Κορνιφίκιος, τῶν σοι οἰκείων εἷς ὅτι μάλιστα, ἴδιον σοῦ περὶ νόμον ἔθηκε τοῦτον, ὥστε σε, ἐὰν τῷ τῆς Ἀγαθῆς ἀδύτῳ θεᾶς προσεληλυθὼς εἴης, φυγὴν κατακριθῆναι. Σὺ δὴ ἐπ' αὐτῷ τούτῳ καυχᾶσθαι εἴωθας. Πῶς οὖν ὑπὸ τοσούτων φυγὴν καταγνωσθεὶς τῶν νόμων τὸ τοῦ φυγάδος ὄνομα οὐκ ὀῤῥωδεῖς; Ἀλλ' εἰμί, φῄς, ἐν τῇ Ῥώμῃ. τί μήν; καὶ γὰρ καὶ ἐν τῷ ἀδύτῳ πρώην ἦσθα. Οὔκουν ὅπου ποτ' ἂν τις εἴη, παρὰ τοῦτο καὶ νόμιμον σχή-

ἀλλὰ μὴν τό σου ἐγχειρίδιον πρόσθε τῆς συγκλήτου κατεφωράθη. ὁ ἀνδροκτονήσας; σὺ δὲ παμπόλλους ἀνῄρηκας. ὁ πυρπολήσας; τὸ Νυμφαῖον ταῖς χερσί σου ἐνεπρήσθη. ὁ τοὺς θεῶν νεὼς καταλαβών; σὺ δὲ ἐν τῇ ἀγορᾷ κατεστρατοπεδεύσω. Ἀλλὰ τί τοὺς κοινοὺς καὶ ἐπιχωρίους νόμους προφέρω, ὧν προστάγμασιν φυγαδεύῃ; ὃ σου ἐπιτηδειότατος περὶ σαυτοῦ προνόμιαν εἰσηνέγκατο, ἐφ' ᾧ τέ σε, εἰ εἰς ἄδυτον τῆς ἀγαθῆς θεᾶς εἰσῄεις, ἐκ τῆς πόλεως ἐκδιωχθῆναι καὶ ἐξορισθῆναι. Ἐπὶ τούτῳ δὴ καὶ σὺ ἀλαζονεύῃ ἄντικρυς καὶ γαυριᾷς ὁμολογῶν. Πῶς ἄρα ὑπὸ τοσούτων νόμων φυγαδευθεὶς τὸ φυγάδος ὄνομα οὐχὶ ὀῤῥωδεῖς; ἐν τῇ Ῥώμῃ ἐπιδημῶ, φῄς. ἀλλὰ καὶ εἰς ἄδυτον εἰσέφρησας. οὐ τοίνυν ὁπουποτε γῆς τις ἐνδιατρίβοι, τῶν ἐκείνου

---

cum telo fuerit. Gruterus: *Num appelletur* etc. Graevius: *Num appellatur* etc. et sic Blum. Anleit. p 190. Gernhardus cum Facciolato: *Non appelletur is* etc. Orellius e coniectura: *Exsul non appelletur is* — quae h. l. optime convenit.

ἐν αὐτῇ τῇ ἀγορᾷ κατεστρατοπέδευσας] Recte Turn. κατεστρατοπεδεύσω vd. Lexic. Ceterum Petavius secutus videtur lectionem *in foro etiam castra posuisti*; vulgo *etiam* omittitur.

προφέρω] Post hoc vocabulum Cic. verba a Petavio omissa sunt: 32 *quibus omnibus es exsul.*

ὁ γὰρ — μάλιστα] Sequitur Petavius lect. interpolatam *familiarissimus tuus Cornificius*, quum *Cornificius* vulgo omittatur.

ἐὰν — εἴης] Et ἐὰν et Optativum perperam posuit Petavius. Apud Turnebum εἰσῄεις mutavi in εἰσῄεις, quoniam εἰσῄεις est imperfectum verbi εἴσειμι, et ob *accessisses* apud Cic. εἰσῄεις requiritur. De *Bona Dea* vd. Plutarch. Caesar. cp. 9. Ἔστι δὲ Ῥωμαίοις θεός, ἣν Ἀγαθὴν ὀνομάζουσιν, ὥσπερ Ἕλληνες Γυναικείαν. H. l. et infra Turnebus non recte artic. ante ἄδυτον omisit.

φῄς] I. e. *inquis* Petav. et Turn., Orell. *inquit.*

τίθησιν· ὃ μήτε λέγων μήτε δρῶν μήτε διανοούμενος ὁτιοῦν,
εἰ μὴ ἑκουσίως τε καὶ ἐλευθέρως· οὗ πᾶσα βουλὴ καὶ πρᾶξις
ἀφ᾽ αὐτοῦ προέρχεται καὶ πρὸς αὐτὸν ἀναφέρεται· ὥςτε μη-
δὲν παρ᾽ αὐτῷ δύνασθαι πλέον τῆς ἑαυτοῦ βουλήσεώς τε καὶ
κρίσεως· ᾧπερ καὶ ἡ τύχη αὐτὴ (ἣν πλείστην φασὶ δύναμιν
ἔχειν) ὅμως ὑπείκει. καθάπερ ὁ σοφὸς εἶπε ποιητὴς οὕτω
πως λέγων· ἐκ τῶν ἰδίων ἑκάστῳ πλάττεται τρόπων. τοιγαρ-
οῦν τοῦτο μόνῳ συμβαίνει τῷ σοφῷ, ὥςτε μηδὲν ἄκοντα πράτ-
35 τειν μηδ᾽ ἀνιώμενον μηδ᾽ ἀναγκαζόμενον. Ὃ κἂν διὰ πλειό-
νων ἐπεξεργαστέον εἶναι δοκεῖ, ἀλλὰ βραχὺ δὴ τοῦτο καὶ ὁμο-
λογουμένως ἀληθές ἐστι, πλὴν τοῦ οὕτω διακειμένου μηδένα
ὑπάρχειν ἐλεύθερον. Οὐκοῦν πονηροὶ ἅπαντές εἰσι δοῦλοι.
καὶ τοῦτο μέντοι οὐ τοσοῦτον τῷ ὄντι, ὡς τῷ λόγῳ παράδοξόν
ἐστι καὶ θαυμαστόν. οὐδὲ γὰρ δούλους λέγουσιν ἐκείνους, ὡς
ἀνδράποδα τὰ τῶν κυρίων ἴδια γεγενημένα εἴτε ἐκ τῆς διὰ ζυ-
γοῦ πράσεως, εἴτε ἑτέρῳ τινὶ τρόπῳ τῶν κατὰ τὰς πόλεις νο-
μιζομένων. ἀλλ᾽ εἴπερ ἐστὶν ἡ δουλεία πειθαρχία τις ἀνάνδρου
ψυχῆς καὶ ἀπεῤῥιμμένης καὶ μὴ αὐτοκρατοῦς, τίς ἂν ἀρνοῖτο,
μὴ οὐχὶ δούλους εἶναι κούφους ἅπαντας καὶ πλεονέκτας καὶ
36 μοχθηρούς; II. Ἆρα γὰρ ἐλεύθερος ἄν ἐμοὶ δόξειεν ἐκεῖνος, ᾧ
γυνὴ ἐπιτάττει; καὶ νομοθετεῖ, ὑπαγορεύει, κελεύει, ἀπαγο-
ρεύει ὅ,τι βούλεται; ὃς μηδὲν μήτε προσταττούσης ἀναίνεσθαι
δύναται, μήτε τολμᾷ παραιτεῖσθαι; ἥτις δ᾽ ἐὰν αἰτῇ, δοτέον
ταύτῃ· ἐὰν καλῇ, ἰτητέον· ἐὰν ἐκβάλλῃ, ἀποχωρητέον· ἣν
δ᾽ ἀπειλῇ, φοβητέον. Τοῦτον μὲν οὖν ἔγωγε οὐ μόνον δοῦ-
λον, ἀλλὰ καὶ πονηρότατον δοῦλον προςαγορεύειν οἶμαι δεῖν,
καίτοι λαμπροτάτης ἐξ οἰκίας γενόμενον. Καθάπερ δὲ ἐπὶ
μεγάλης οἰκίας εἰσί τινες ἐπικυδέστεροι, ὡς γοῦν ἑαυτοῖς δο-
κοῦσιν, οἰκέται· οἷοι, φέρε εἰπεῖν, οἱ αὔλειοι· οἱ δὲ ἄλλοι κα-
ταδεέστεροι, ὡς ἂν εἶεν οἱ μεσαύλειοι. οὕτως εἰς μωρίας λό-
γον ἔχει τὰ κατὰ σεαυτόν. ὡσαύτως δὲ μωρίαν ὀφλισκάνουσιν

ὃ μήτε δρῶν κτλ.] Corr. ὃ οὔτε δρῶν — ὁτιοῦν, vel ὃ οὐδὲν δρῶν.

ἐκ — τρόπων] Expressa est lectio *suis cuique fingitur moribus*. Pronomen *ea* mult. Codd. et Edd. Gernhard. uncis inclusit, Orellius liberavit.

35 ὡς — πράσεως] Cic. verba non accurate interpretatus est Petavius: *ut mancipia, quae sunt dominorum facta nexu*. Quid sit *nexus*, docet Ern. Cl. Cic. *Nexus* est ritus vendendi per aes et libram praesentibus quinque testibus, quo venditor obligatur ad evictionem praestandam. Quomodo *nexum* Graeci scriptores, ut Dion. Halicarn., interpretati sint, dicere nequeo, quum locos frustra quaesierim, in quibus nexus mentio fiat.

πειθαρχία τις] Post τις omissa sunt verba *sicut est*, i. e. ὡς ἔχει, ὥς ἐστι.

36 Cap. II. Καθάπερ — ὀφλισκάνουσιν] In h. l. vexato Codd. et Edd. admodum discrepant. Textus quidem Latinus ap. Petav. sic exhibetur: *Atque ut in magna familia sunt alii lautiores, ut*

οἱ τοῖς ἀγάλμασιν ἢ ταῖς γραφαῖς ἢ ἀργύρῳ τῷ γλυπτῷ ἢ τοῖς Κορινθίων χειρῶν ἔργοις ἢ μεγαλοπρεπέσιν οἰκοδομαῖς πλέον ἢ προσήκει τερπόμενοι. Ἀλλ' ἡμεῖς, φασίν, ἐκ τῶν πρώτων τῆς πόλεως ἄρχοντές ἐσμεν. οὐ μὲν οὖν οὐδ' οἰκετῶν ἄρχοντές ἐστε τῶν ὑμετέρων. Ὥσπερ δὲ κατὰ τὴν οἰκίαν οἱ 37
ἐκεῖνα χαρίζοντες, οἱ ἀποσμήχοντες, οἱ καταχρίοντες, οἱ καλλύνοντες, οἱ ἐπιπάττοντες, οὐκ ἐν τῇ ἐντιμοτάτῃ τάξει τῆς δουλείας ἐξετάζονται· οὕτως ἐν τῇ πόλει οἱ τῶν τοιούτων ἐπιθυμίαις ἑαυτοὺς ἐκδεδωκότες μόνον οὐκ ἐν τοῖς ἐσχάτοις ἐκείνης τάττονται τῆς πόλεως. Ἀλλὰ μὴν μεγάλους, φῄς, ἐγὼ πολέμους καὶ ἀρχὰς οὐκ ἐλαχίστας διεχείρισα καὶ τὰς ἐπαρχίας δέ ποτε διεῖπον. Οὐκοῦν ἀξίαν ἐπαίνου λάμβανέ τοι τὴν γνώμην. τὸ δὲ νῦν Ἐχίονος γραφή τις ὑπὸ θάμβους ἐξεστηκότα σε κατέχει ἢ ἄγαλμά τι τῶν Πολυκλειτείων. Ἐῶ λέγειν, πόθεν ἀνήρηκας ταῦτα καὶ πῶς κέκτησαι. ἀλλ', ὅταν ἀναθεωροῦντά σε καὶ θαυμάζοντα καὶ ἀναβοῶντα καθορῶ, δοῦλον εἶναί σε τῶν φληνάφων ἐκείνων κέκρικα. Οὐκ ἀστεῖα γοῦν 38
ἐστὶ ταῦτα; φησίν· εἶεν, καὶ γὰρ καὶ ἡμῖν πεπαιδευμένοι εἰσὶν ὀφθαλμοί. Πλὴν οὕτω κομψὰ δεῖ τὰ τοιάδε νομίζεσθαι, οὐχ ὥστε δεσμὰ τῶν ἀνδρῶν, ἀλλ' ὡς παίδων ἀθύρματα γενέ-

---

sibi videntur servi, sed tamen servi † *atrienses, ac tu sic pari stultitia sunt, quos — delectant.* Sed haec verba Petavius non reddidit, sed expressit partim e coniectura Lambini, partim ex aliis lect. conflata in hunc fere modum: *Atque ut in magna familia sunt alii lautiores, ut sibi videntur, servi, sed tamen servi, ut atrienses, alii inferiore loco, ut mediastini, ac tu pari stultitia: sic pari stultitia sunt, quos* etc. Gernhardus in textu: — *servi, sed tamen servi* [, *atrienses ac topiarii*]; *pari stultitia sunt;* in annotatt. cum Gifanio legendum censet: *sed tamen servi: pari stultitia sunt, quos* — exclusis verbis *atrienses ac topiarii.* Orellius secutus Cod. Car. Stephani: *sed tamen servi, sic ii pari stultitia sunt*, sententiam loci recte interpretatus est. Pro μεσαύλειοι corr. μεσαύλιοι, nam prius non exstat in Lexicis.

τοῖς Κορινθίων χειρῶν ἔργοις] *Corinthia opera* dicuntur rectius supr. Par. I. Cap. III. et infr. §. 3. Κορινθιουργῆ.

Ἀλλ' — ἐσμεν] A Petavio *inquiunt* vulg. expressa est, *inquit* Orell.: tum textus Latinus ap. Petav. repraesentat quidem *At summus — civitatis principes*, at interpretatio Graeca sequi videtur lect. *At sumus — e summis civitatis principes.*

οἰκετῶν — τῶν ὑμετέρων] Textus Latinus exhibet vulgatam *conservorum — vestrorum*, i. e. τῶν συν — ὁμο — δούλων, οἰκετῶν i. q. *servorum*, quam lect. egregie tuetur Orell.

φῄς] I. e. *inquis*, Orell. *inquit.* 37
καὶ κέκτησαι] Gernh. et Orell. *et* uncis circumsepsere.
εἶεν] I. e. *sint*, ut Ern. Orell., quanquam in textu Latino exstat *sunt*, ut in Gernh. Ed. 38
δεῖ — νομίζεσθαι] Emendavi νομίζεσθαι pr. νομίζεσθαι: δεῖ — νομίζειν requirit usus L. Gr.

σθαι. Τί γὰρ οἴει; εἴπερ Λεύκιος ὁ Μούμμιος τούτων νῦν ἴδοι τινὰ ἀμίδα που τῶν Κορινθιουργῶν μετὰ πολλῆς ἐν χερσὶν ἔχοντα τῆς προςπαθείας· ἐκεῖνος ὁ Μούμμιός, φημι, ὁ πάσης καταφρονήσας τῆς Κορίνθου, πότερον τὸν τοιοῦτον ὁρῶν, ἀξιόλογον εἶναι πολίτην τινὰ μᾶλλον οἴοιτο ἢ τῆς αὐλῆς οἰκέτην ἐπιμελῆ καὶ φιλόπονον; Ἀναβιούτω δὴ Μάνιος ὁ Κούριος ἢ τῶν τοιούτων ἕτερός τις, ὧν ἐν τῇ ἐπαύλει καὶ οἰκίᾳ πλὴν ἑαυτῶν οὐδὲν ἦν λαμπρὸν οὐδὲ κεκαλλωπισμένον, καί τινα ταῖς μεγίσταις χρησάμενον τοῦ δήμου δωρεαῖς ἰδέτω γενειῶντα ἄττα τριγλίδια ἐκ τῆς κολυμβήθρας ὑπολαμβάνοντα καὶ ψηλαφῶντα καὶ τῇ τῶν σμυραινῶν ἀφθονίᾳ ἐπιγαυρούμενον· οὐ τουτονὶ κρινεῖ τὸν ἄνθρωπον ἐκεῖνος οὕτως αὐτόχρημα δοῦλον ὑπάρχειν, ὡς μηδεμιᾶς κατὰ τὴν οἰκίαν μείζονος ἐπι-
39 *στασίας ἀξιοῦν; Ἆρα τούτων ἡ δουλεία ἀμφίδοξος ἂν εἴη, οἳ ὑπὸ τῆς τοῦ κτήσασθαί τι ἐπιθυμίας ἀγόμενοι μηδεμίαν παραιτοῦνται κἂν χαλεπωτάτης δουλείας ὑπόθεσιν; Ἡ δὲ τῆς κληρονομίας ἐλπὶς ποίας ἐν τῷ ὑπηρετεῖν ἐπηρείας οὐκ ἀνέχεται; ποῖον δὲ νεῦμα πλουσίου καὶ ἄπαιδος πρεσβύτου οὐκ ἐπιτηρεῖ; ἅπαντα πρὸς τὸ ἐκείνου θέλημα λέγει· ὅ, τι δὲ ἂν παραγγελθῇ, ποιεῖ· κολακεύει, παρακάθηται; θαυμάζει. Τί τούτων ἐλευθέρῳ πρέπει; τί δὲ οὐχὶ φαύλου καὶ ἀγεννοῦς ἐστιν οἰκέτου; Ἐκείνη δ᾽ αὖ ἡ ἐπιθυμία, ἥτις ἐλευθερία μᾶλλον εἶναι δοκεῖ, φημὶ δὲ τιμῆς καὶ ἀρχῆς καὶ τῆς τῶν ἐπαρχιῶν προστασίας, ὡς ἀπηνής ἐστι δέσποινα, ὡς ἐν τῷ ἐπιτάττειν ἀμείλιχός ἐστι*
40 *καὶ ἀπαραίτητος.* III. *Αὕτη τοίνυν τῷ Κεθήγῳ ἀνδρὶ τῶν οὐ δοκιμωτάτων ὄντι δουλεύειν ἠνάγκασε τοὺς ἑαυτοῖς δοκοῦντας ἐπιφανεστάτοις εἶναι, ὥςτε καὶ δῶρα πέμπειν καὶ εἰς οἰκίαν αὐτοῦ νύκτωρ ἐλθόντας ἐντυγχάνειν, δεῖσθαί τε καὶ τὸ τελευταῖον ἱκετεύειν. Τίνα χρὴ δουλείαν εἰπεῖν, εἰ ἐκείνην οἷόν τέ ἐστιν ἐλευθερίαν νομίζειν; Τί δ᾽ ἐντεῦθεν, ὁπότε τῆς τῶν ἐπιθυμιῶν ἐπικρατείας ἐκστάσης ἄλλος ἀντειςήχθη δεσπότης ἐκ τῆς τῶν ἁμαρτημάτων συνειδήσεως, ὁ φόβος; πῶς, οἴει, ἐλεεινὴ καὶ χαλεπὴ ἐκείνη ἐστὶν ἡ δουλεία; τοῖς γὰρ εἰς τὸ λαλεῖν ὁτιοῦν προπετεστέροις δουλευτέον ἐστὶ νεανίαις· καὶ πάντες οἱ συνειδέναι τι δοκοῦντες, ὡς δεσπόται εἰσὶ φοβεροί. ὁ δὲ δικαστὴς οἵαν ἐπιφέρει τὴν τυραννίδα· οἷον δὲ φόβον τοῖς κα-*
41 *κούργοις ἐμποιεῖ. Τί οὖν δύναται τοῦ δεινοτάτου ῥήτορος*

Μούμμιος] Appian. Hisp. VI, 57. *Μόμμιος* Strab. VIII. p. 584. Dio. Cass. LXI, 17. Polyb. III, 32.

τριγλίδια — σμυραινῶν] Lexica offerunt tantum deminutiva *τρίγλιον* et *τριγλίς*: *σμύραινα* est forma poetica, *μύραινα* vulgaris.

39 *κολακεύει — θαυμάζει*] Secutus est Petav. lect. *assentatur — miratur : assectatur — munerat* optt. Edd. Gernh. Orell., *muneratur* Graev. Ern.

40 Cap. III. *ἐμποιεῖ*] Post *ἐμποιεῖ* omissa sunt Ciceronis verba: *An non est omnis metus servitus?*

Λευκίου τοῦ Κράσσου εὐφραδὴς μᾶλλον ἢ φρόνιμος ὁ λόγος. ἡμᾶς, φησί, τῆς δουλείας ἀπαλλάττετε; Ποία τίς ἐστιν ἡ δουλεία ἀνδρὶ οὕτως ἐπιφανεῖ καὶ εὐπατρίδῃ; Πᾶσα γὰρ δηλονότι τῆς ψυχῆς ἀσθενὴς οὖσα καὶ ταπεινὴ καὶ ἀγεννὴς ἡ δειλία δουλεία πέφυκε. Μὴ δουλεύειν ἡμᾶς ἐπιτρέπετέ τινι. Οὐκοῦν εἰς ἐλευθερίαν ἐξαιρεῖσθαι βούλεται; μηδαμῶς. Τί γὰρ ἐπάγει; εἰ μὴ πᾶσιν ἡμῖν. Τὸν δεσπότην ἀλλάττειν, οὐκ ἐλεύθερος εἶναι προθυμεῖται. οἷς καὶ δυνάμεθά, φησι, καὶ ὀφείλομεν. Ἀλλ' ἡμεῖς γε, εἴπερ μέγα τι καὶ ὑψηλὸν καὶ ταῖς ἀρεταῖς ἐξωγκωμένον ἡμῖν ἔνεστι φρόνημα, οὔτε δυνάμεθά πως οὔτ' ὀφείλομεν. Σὺ δὴ δύνασθαι λέγε, ἐπεὶ καὶ δύνῃ· ὀφείλειν δὲ μὴ εἴπῃς· ὅτι μηδενὸς ὀφειλέτης ἐστί τις πλὴν τούτου, ὃ μὴ ἀποδοῦναι αἰσχρὸν ὑπάρχει. Ἀλλὰ περὶ τούτων μὲν τέως εἰρήσθω. Ἐκεῖνος δὲ σκεψάσθω, πῶς ἂν αὐτοκράτωρ εἴη, ὃν μηδ' ἐλεύθερον εἶναι ὅτε λόγος καὶ ἡ ἀλήθεια οὕτω σαφῶς διήλεγξε.

ΠΑΡΑΔΟΞΟΝ ΣΤ.

ΟΤΙ ΜΟΝΟΣ Ο ΣΟΦΟΣ ΠΛΟΥΣΙΟΣ.

I. Τίς ἐστιν ἄγαν οὕτω φορτικὴ ἐν τῇ τῶν σῶν χρημάτων ἀπαριθμήσει καὶ ἀπειρόκαλος ἡ ἀλαζονεία; μόνος οὖν ἦσθα πλούσιος σύ; Φεῦ πρὸς τῶν θεῶν. ἆρ' οὐκ ἔγωγ' ἀκηκοώς τι ἢ μεμαθηκὼς ἂν χαρείην; Πότερον σὺ μόνος πλούσιος εἶ; τί δὲ εἰ μηδὲ πλούσιος; τί δὲ εἰ προσέτι καὶ πένης ὢν τυγχάνεις; Τίνα γὰρ νοητέον εἶναι τῷ ὄντι πλούσιον; ἢ τουτὶ τὸ ὄνομα τῷ ποτε τῶν ἀνθρώπων ἐπιθήσομεν; οἶμαι δὴ τούτῳ μάλιστα, ὅςτις τοσαῦτα κέκτηται; ὥςτε πρὸς τὸ ζῆν ἐλευθερίως οἷς ἔχει ῥᾳδίως ἀρκεῖσθαι· καὶ ὅςτις μηδὲν ἐπιζητεῖ, μηδενὸς ἐφίεται, μηδὲ πλείονος τυγχάνειν εὔχεται. Αὐτὸν γὰρ σου θυμὸν πλούσιον δεῖ κρίνειν ἑαυτόν, οὐχὶ δὲ τοὺς τῶν ἀνθρώπων λόγους, ἢ τὰ κτήματα τὰ σά. ὅςτις οὐδέν οἱ ἐπιλεί- 42 43

Πᾶσα — ἡμῖν] Textus Latinus Petav. exhibet quidem *omnis enim* [*enim* optt. Edd. omittunt] *animi debilitati et humilis et fracti timiditas servitus est*, at Graece Petavius expressit lect. vett. Edd. *omnis enim animi debilitata et humilis et fracta*. Pro ἡμῖν corr. ὑμῖν — *vobis* Cic. 41

οὔτε δυνάμεθά πω, οὔτ' ὀφείλομεν] Cic. *nec debemus nec possumus.*

ΠΑΡΑΔΟΞΟΝ ΣΤ.

Cap. I. μόνος — σύ;] H. l. ἦσθα et infra εἶ adiectum, cum utroque loco verbum subst. sit omissum: pariter τῷ ὄντι ante πλούσιον. 42

Αὐτὸν γὰρ — ἑαυτόν] Secutus est Petav. lect. vett. Edd. *Animus enim tuus oportet se iudicet divitem*: *Animus tuus oportet se* Ern.; *Animus oportet tuus te iudicet* optt. Edd. Graev. Gernh. Orell. 43

ὅςτις οὐδέν] I. e. *qui nihil*, vulgo *qui* omittitur.

λωλυκότων· πρόςῆν δὲ καὶ ἐλευθέρου ὄντος τοῦ δήμου σύμφωνος γνώμη· καὶ προςέτι ἡ τοῦ δικαίου καὶ νομίμου, ὃς ἄντικρύς ἐστι σύνδεσμος τῆς πόλεως, μνήμη τις ἐνῆν διὰ πολλοῦ ἀποκατασταθεῖσα. Ἀλλ' ὅρα δή, ὅπως ἐκείνων τῶν τοῦ σοῦ ληστηρίου βελῶν κατεφρόνησα. Τὸ γὰρ ἐπενεχθῆναί μοι καὶ ἐναπεσκῆφθαι παμπόνηρον ὑπὸ σοῦ τὸ ἀδίκημα, διὰ παντὸς ἔκρινα· αὐτὸ δὲ τοῦτο τὰ ἐπενεχθὲν ἐξικέσθαι μου οὐδεπώποτ' ἡγησάμην. ἢ μὴ τάχα που, ὁπηνίκα τοὺς τοίχους καθῄρεις, ἢ ἀνοσίους ταῖς οἰκίαις στέγαις πυρὸς ὑπέβαλλες, ᾤου τι καταστρέφεσθαι ἢ ἐμπίμπρασθαι τῶν ἐμῶν. ἀλλ' οὐκέτιν οὕτως· πολλοῦ γε καὶ δεῖ.

29 Οὐδὲν γὰρ οὔτ' ἐμοῦ ἴδιον οὔτ' ἄλλου τινὸς οὐκ ἔστιν, ὅπερ ἀφαιρεῖσθαι ἢ ἀποσυλᾶσθαι ἢ ἀποβάλλεσθαι δυνατόν. εἰ μέντοι τὴν ἐπὶ μακρὸν διατελοῦσαν τῆς ψυχῆς καρτερίαν ἀφεῖλες ἐμοί, ἢ τὰς ἐμὰς φροντίδας καὶ τὰς ἀγρυπνίας τάς τε βουλάς, δι' ὧν ἀνίκητος ἡ πόλις ἕστηκεν· εἰ ἀΐδιον ταύ-

ρου καὶ συμφωνοῦντος τοῦ δήμου, ἀνανεουμένης καὶ τοῦ δικαίου καὶ τῆς ἐπιεικείας, ἅτινα τῆς πολιτείας ἐστὶ δεσμά, μνήμης. Καὶ ὅρα δή, ὅπως τῶν τῆς ληστείας σου βελῶν ὠλιγώρησα. Ἐφειμένην καὶ ἐπιπεμφθεῖσαν ὡς ἐμὲ παρὰ σοῦ παγκάκην καὶ ἄδικον ὕβριν, ἀεὶ ᾠήθην· ἐμοῦ δὲ καθικέσθαι καὶ καθάψασθαι, οὐδέποτε ἡγησάμην. εἰ μὴ τάχα, ὁπότε τοίχους κατέβαλλες ἢ τοῖς οἰκήμασι μιαρὰς εἰσέφερες δᾳδάς, τῶν ἐμῶν τι χρημάτων ἢ κατερείπεσθαι ἢ κατακαίεσθαι ὑπελάμβανες.

29 Μηδὲν μήτε ἐμὸν λέγειν μήτε ἄλλου τινὸς ὄν, τὸ ἢ ἀφαιρεῖσθαι ἢ ἀποβάλλεσθαι δυνάμενον. εἰ ἐμὲ ἀφείλου θείαν τῆς ψυχῆς ἐμβρίθειαν καὶ εὐστάθειαν, καίτοι τῇ ἐμῇ φροντίδι, ἀγρυπνίᾳ, βουλῇ, καί, σοῦ ἄκοντος, ἑστάναι τήνδε τὴν πολιτείαν· εἰ τούτου ἀθανάτου δῆθα καὶ ἀειθαλοῦς εὐεργετήματος μνήμην ἐξήλει-

---

Πρὸ τοῦ an προτοῦ rectius scribatur vd. ad Caton. cp. 8. adde Rüdig. ad Dem. Olynth. III. cp. 8.

Ἀλλ' ὅρα] *At vide* reddidit Petavius, *ac vide* Turnebus, ut Gernh. Orell.

παμπόνηρον] Pro falso παγκάκην apud Turnebum corrige πάγκακον.

ἀλλ' — δεῖ] De suo addidit Petavius.

29 Οὐδὲν γάρ οὔτ' — οὔτ'] Expressit Petavius *enim* in plerisque Edd. omissum, a Turnebo quoque. Sed idem male μηδὲν μήτε — μήτε, et omisit *eripi*.

δι' ὧν ἀνίκητος ἡ πόλις ἕστηκεν] I. e. *quibus respublica invicta stat*: Turnebus καὶ, σοῦ ἄκοντος, ἑστάναι τήνδε τὴν πολιτείαν, secutus lect. *quibus respublica, te invitissimo, stat*, ut Graev. Ern. Gernh. Orell. quos vide.

της τῆς χάριτος ἀθάνατον τὴν μνήμην ἐξήλειψας· πολλῷ δὲ μᾶλλον εἰ τὸν νοῦν ἐκεῖνον, ἀφ᾽ οὗ τοιάδε προελήλυθε τὰ βουλεύματα, ἀπεστέρησας ἐμὲ, τότε ἂν ὡμολόγουν ἠδικῆσθαι. Εἰ δὲ ταῦτα μήτ᾽ ἐποίησάς πω, μήτε ποιεῖν ἠδυνήθης, λαμπρὰν καὶ ἔνδοξον ἐμοὶ κάθοδον μᾶλλον, ἢ ἀθλίαν καὶ ἐλεεινὴν ἔξοδον ἡ σὴ ἀδικία παρεσκεύασεν. Οὐκοῦν ἔγωγε πολίτης ἦν ἀεί· τότε δὲ μάλιστα, ἡνίκα τὴν ἐμὴν σωτηρίαν ἡ σύγκλητος ὡς ἀρίστου πολίτου τοῖς ἔξωθεν ἔθνεσι συνίστη. Σὺ δὲ μηδὲ τὸ νῦν ἔχον πολίτης εἶ· εἰ μή που πολέμιος ὁ αὐτὸς καὶ πολίτης εἶναι δύναται. Ἆρα σὺ πολίτην τοῦ πολεμίου φύσει καὶ τόπῳ, ἢ προαιρέσει καὶ ἔργοις διαστέλλειν ἀξιοῖς; II. Φόνον σὺ κατὰ τὴν ἀγορὰν εἰργάσω· διὰ λῃστῶν ἐνόπλων τὰ ἱερὰ κατέλαβες· τὰς τῶν ἰδιωτῶν οἰκίας καὶ τοὺς νεὼς ἐνέπρησας. Πῶς οὖν ἐστι πολέμιος ὁ Σπάρτακος, εἰ πολίτης εἶ σύ; πῶς δ᾽ οἷόν τέ ἐστι πολίτην εἶναί σε, δι᾽ ὃν ἡ πόλις

φες, μᾶλλον δὲ εἰ καὶ τὸν νοῦν ἐκεῖνον, ὅθεν τοιαῦται βουλαὶ ἐξέφυσαν, ἀφείλου, τότε ἂν δὴ τό τε τῆς σῆς ἀδικίας καὶ ὕβρεως ὡμολογησάμην αἰσθέσθαι. Εἰ δὲ σὺ μήτε ταῦτα διεπράξω, μήτε διαπράττεσθαι ἠδύνασο, ἐπάνοδον ἔμοιγε ἔνδοξον ἡ σὴ ἀδικία παρεσκεύασεν, οὐχὶ ἔξοδον κακοδαίμονα καὶ ἄθλιον. Τοιγαροῦν ἐγὼ ἀείποτε πολίτης ἦν, καὶ τότε δὴ μάλιστα, ὁπότε ἡ σύγκλητος τὴν ἐμὴν σωτηρίαν, ὡς δήπουθεν καλοῦ κἀγαθοῦ πολίτου, τοῖς ἀλλοφύλοις καὶ ἔθνεσιν ἀλλοτρίοις ἐπέσκηπτε καὶ συνίστα. σὺ δὲ μηδὲ νῦν πολίτης, εἰ μὴ ἄρα ὁ αὐτὸς πολίτης καὶ πολέμιός ἐστιν. ἆρα σὺ τὸν πολίτην ἀπὸ τοῦ πολεμίου φύσει καὶ τόπῳ, ἀλλὰ μὴ διανοίᾳ καὶ πράξει διακρίνεις; II. Φόνον ἀνδρῶν ἐν τῇ ἀγορᾷ πεποίηκας, διὰ καθωπλισμένων λῃστῶν τοὺς νεὼς κατείληφας καὶ κατέσχηκας, ἰδίᾳ τε τῶν πολιτῶν οἰκίας καὶ ἱερὰ τῶν θεῶν κατέπρησας. Διὰ τί ὁ Σπάρτακος πολέμιος, σοῦ πολίτου ὄντος; ἆρα σὺ πολίτης, ὅπου

ἐξήλειψας — ἠδυνήθης] Recte Aor. posuit Petavius, male Turneb. *ἐξήλειφας — ἠδύνασο*: ceterum formae magis Atticae sunt *ἐδύνω — ἠδύνω* vd. Buttm. Gr. max. Vol. II. p. 112.

Οὐκοῦν — ἀεί] Turn. *Τοιγαροῦν ἐγὼ ἀείποτε πολίτης ἦν*; uterque *eram* a plerisque Edd. omissum expressit.

Σὺ — εἶ] Turnebus: *συ δὲ μηδὲ νῦν πολίτης*. Uterque expressit *tu ne nunc quidem es civis*. Iam Graevius delevit verba a posterioribus Edd. omissa *es civis*.

Cap. II. *καὶ τοὺς νεώς*] Turn. *καὶ ἱερὰ τῶν θεῶν*, uterque secutus est lect. *aedesque*, vulgo *aedes*.

εἰ πολίτης εἶ σύ] Turn. *σοῦ πολίτου ὄντος*, uterque secutus est lect. *si tu es civis*, vulgo *si tu civis*.

οὐκ ἐγένετό ποτε; εἶναι τοὔνομά μοι τὸ σὸν ἐπιφημίζων φυγάδα καλεῖς ἐμέ, καίτοι πάντων οὕτως ὑπολαμβανόντων, ὅτι ἐμοῦ ἀποχωροῦντος καὶ ἡ πολιτεία συνεξωρίσθη, οὐχ ἑαυτόν ποτε περισκοπήσεις, ὦ πάντων ἀνθρώπων ἀνοητότατε; οὐχ οἷς πράττειν μέλλεις ἢ λέγειν, τούτοις τὸν νοῦν ἐπιστήσεις; οὐκ οἶσθα τὸν μὲν ἐξορισμὸν τῶν κακουργημάτων εἶναι τιμωρίαν· ἐκείνην δὲ τὴν ἐμὴν ἀποδημίαν τῶν ἐμοὶ λαμπρῶς διαπεπραγμένων ἕνεκεν ὑποστῆναί με; Πάντες μὲν γὰρ οἱ κακοῦργοι καὶ ἀσεβεῖς, ὧν σὺ προστασίαν καὶ ἡγεμονίαν ἀναδέδεξαι, καὶ ὧν οἱ νόμοι τὴν φυγὴν κατεδίκασαν, φυγάδες εἰσίν, εἰ καὶ μήπω ἐκ τῆς χώρας μετέστησαν. Ἆρ' οὖν φυγὴν καταγνόντων σου τῶν νόμων ἁπάντων, φυγὰς ὅμως οὐχ ὑπάρξεις; Πότερον δ' ὁ σὺν βέλει προερχόμενος, οὗτος ἐχθρὸς καὶ ἐπίβουλος ὀνο-

σοῦ ποτε ἕνεκα πόλις οὐχ ὑπῆρχεν; εἶτα καί με τῇ σαυτοῦ ἐπωνυμίᾳ καθυβρίζεις καὶ ἀποκαλεῖς φυγάδα, συμπάντων, ἐμοῦ φεύγοντος, ἐν τοσούτῳ τὴν πολιτείαν ἐξορισθῆναι οἰηθέντων; Οὐδέποτε, ὦ ἀνδρῶν ἁπάντων ἐμπληκτότατε, εἰς ἑαυτὸν περιόψει καὶ περιστρέψῃ; οὐδέποτε μήτε τῶν παρὰ σοῦ ποιησομένων μήτε λαλησομένων ἐπιμελήσῃ; ἀγνοεῖς τὴν φυγὴν αὐτουργημάτων καὶ πονηριῶν εἶναι πρότιμον; ἐκείνην δὲ τὴν ἐμὴν ἀποδημίαν διὰ τὰ πράγματα ὑπ' ἐμοῦ καλῶς καὶ εὐκλεῶς καὶ ἐπιφανῶς ἀποδειχθέντα καὶ κατορθωθέντα ἐκστησαμένην;
81 Ἅπαντες τοιγαροῦν αὐτόχειρες, κακοῦργοι καὶ ἀνόσιοι, ὧν σὺ ἡγεμὼν εἶναι γαυριῶν κηρύττεις, ὧν οἱ νόμοι φυγὴν καταγινώσκουσι, φυγάδες εἰσίν, καίπερ τὴν γῆν πατρίδα μὴ καταβεβληκότες. Ἢ πάντων δῆθα τῶν νόμων σε φεύγειν κελευόντων καὶ ἀναγκαζόντων, φυγὰς οὐκ ἔσῃ; Οὐχὶ ἐχθρὸς καλεῖται ὁ σὺν βέλει βαδίζων;

εἶτα — ἐμέ] Turnebus: εἶτα καί με τῇ σαυτοῦ ἐπωνυμίᾳ καθυβρίζεις καὶ ἀποκαλεῖς φυγάδα: expressa est ab utroque lectio *et me exsulem tuo nomine appellas;* vulgo *et me tuo nomine appellas.*

οὐχ οἷς — ἐπιστήσεις] H. l. apud Turnebum pro μήτε bis οὔτε, pro ποιησομένων — λαλησομένων rescribe Futur. Passiv. vd. annot. ad Parad. IV. Cap. I, 27.

81 κακοῦργοι καὶ ἀσεβεῖς] I. e. *scelerati atque impii,* Turnebus αὐτόχειρες, κακοῦργοι καὶ ἀνόσιοι — addens de suo primum voc. h. l. non aptum.

εἰ — μετέστησαν] Turnebus καίπερ τὴν γῆν πατρίδα μὴ καταβεβληκότες, minus recte *solum mutare* reddens τὴν γῆν πατρίδα καταβάλλειν, pro quo Blum. Anleit. p. 190. bene μεταλλάττειν τὴν χώραν substituit. Nota est form. Homeric. ἡ πατρὶς γαῖα.

Πότερον — ὀνομάζεται] Turnebus οὐχὶ ἐχθρὸς καλεῖται ὁ σὺν βέλει βαδίζων, uterque expressit lect. *Non appellatur inimicus, qui*

μάξεται; ἀλλὰ πρὸ τοῦ βουλευτηρίου ἐπ' αὐτοφώρῳ ἔχων εἵλως τὸ ξιφίδιον. ἢ ὁ τὸν ἄνθρωπον φονεύσας; σὺ δὲ πάνυ πολλοὺς ἀνῄρηκας. ἢ ὁ τὸν ἐμπρησμὸν ἐργασάμενος; καὶ δὴ τὸ τῶν Νυμφῶν ἱερὸν αὐτοχειρὶ σὺ κατέπρησας. ἢ τοὺς νεὼς τῶν θεῶν ὁ καταλαβών; σὺ ἐν αὐτῇ τῇ ἀγορᾷ κατεστρατοπέδευσας. Τί δῆτα 32 τοὺς κοινοὺς ἅπασι νόμους προφέρω; ὁ γὰρ Κορνιφίκιος, τῶν σοι οἰκείων εἷς ὅτι μάλιστα, ἴδιον σοῦ πέρι νόμον ἔθηκε τοῦτον, ὥστε σε, ἐὰν τῷ τῆς Ἀγαθῆς ἀδύτῳ θεοῦ προσεληλυθὼς εἴης, φυγὴν καταχριθῆναι. Σὺ δὴ ἐπ' αὐτῷ τούτῳ καυχᾶσθαι εἴωθας. Πῶς οὖν ὑπὸ τοσούτων φυγὴν καταγκρασθεὶς τῶν νόμων τὸ τοῦ φυγάδος ὄνομα οὐκ ὀρρωδεῖς; Ἀλλ' εἰμί, φῄς, ἐν τῇ Ῥώμῃ. τί μήν; καὶ γὰρ καὶ ἐν τῷ ἀδύτῳ πρῴην ἦσθα. Οὔκουν ὅποι ποτ' ἄν τις εἴη, παρὰ ταῦτα καὶ νόμιμον σχή-

ἀλλὰ μὴν τό σου ἐγχειρίδιον πρόσθε τῆς συγκλήτου κατεφωράθη. ὁ ἀνδροκτονήσας; σὺ δὲ παμπόλλους ἀνῄρηκας. ὁ πυρπολήσας; τὸ Νυμφαῖον ταῖς χερσί σου ἐνεπρήσθη. ὁ τοὺς θεῶν νεὼς καταλαβών; σὺ δὲ ἐν τῇ ἀγορᾷ κατεστρατοπεδεύσω. Ἀλλὰ τί τοὺς κοινοὺς καὶ ἐπιχωρίους νόμους προφέρω, ὧν προστάγμασιν φυγαδεύῃ; ὅ σου ἐπιτηδειότατος περὶ σαυτοῦ προνομίαν εἰσηνέγκατο, ἐφ' ᾧ τέ σε, εἰ εἰς ἄδυτον τῆς ἀγαθῆς θεᾶς εἰσῄεις, ἐκ τῆς πόλεως ἐκδιωχθῆναι καὶ ἐξορισθῆναι. Ἐπὶ τούτῳ δὴ καὶ σὺ ἀλαζονεύῃ ἄντικρυς καὶ γαυριᾷς ὁμολογῶν. Πῶς ἄρα ὑπὸ τοσούτων νόμων φυγαδευθεὶς τὸ φυγάδος ὄνομα οὐχὶ ὀρρωδεῖς; ἐν τῇ Ῥώμῃ ἐπιδημῶ, φῄς. ἀλλὰ καὶ εἰς ἄδυτον εἰσέφρησας. οὐ τοίνυν ὁπουποτε γῆς τις ἐνδιατρίβοι, τῶν ἐκείνου

---

cum telo fuerit. Gruterus: *Num appelletur* etc. Graevius: *Num appellatur* etc. et sic Blum. Anleit. p 190. Gernhardus cum Facciolato: *Non appelletur is* etc. Orellius e coniectura: *Exsul non appelletur is* — quae h. l. optime convenit.

ἐν αὐτῇ τῇ ἀγορᾷ κατεστρατοπέδευσας] Recte Turn. κατεστρατοπεδεύσω vd. Lexic. Ceterum Petavius secutus videtur lectionem *in foro etiam castra posuisti*; vulgo *etiam* omittitur.

προφέρω] Post hoc vocabulum Cic. verba a Petavio omissa sunt: 32 *quibus omnibus es exsul.*

ὁ γὰρ — μάλιστα] Sequitur Petavius lect. interpolatam *familiarissimus tuus Cornificius*, quum *Cornificius* vulgo omittatur.

ἐὰν — εἴης] Et ἐὰν et Optativum perperam posuit Petavius. Apud Turnebum εἰσῄεις mutavi in εἰσῄεις, quoniam εἰσῄεις est imperfectum verbi εἴσειμι, et ob *accessisses* apud Cic. εἰσῄεις requiritur. De *Bona Dea* vd. Plutarch. Caesar. cp. 9. Ἔστι δὲ Ῥωμαίοις θεός, ἣν Ἀγαθὴν ὀνομάζουσιν, ὥσπερ Ἕλληνες Γυναικείαν. H. l. et infra Turnebus non recte artic. ante ἄδυτον omisit.

φῄς] I. e. *inquis* Petav. et Turn., Orell. *inquit.*

M

σει, τοῦ ἐν ᾧ ἐστι τόπῳ τὴν ἐξουσίαν, εἰ ἐνταῦθα εἶναι αὐτὸν οἱ νόμοι οὐκ ἐπιτρέπουσι.

τόπου δικαίως ἐπήβολος ἔσται, εἴπερ ἐνταῦθα διάγειν καὶ μένειν τὸν ἄνθρωπον οἱ νόμοι ἀπαγορεύουσι.

τοῦ — τόπῳ] Τόπου corrigendum videtur. Apud Turnebum pro ὁπούποτε scripserim ὁπουδήποτε.

In interpretatione Graeca Paradoxorum a Turnebo confecta correxi haec menda, maximam partem typographica, quae ad finem Parad. IV. coniunctim exhibere placuit:

Prooem. 1. ὅτε pr. ὅτε. - κομιδῇ pr. κομιδῇ. - 2. ἤ τὴν pr. ἤ τὴν. - παρὰ pr. παρά. - ἀνθολογία pr. ἀνθολογία. - ἐστὶν pr. ἐστίν. - 3. τὴν πατρίδα pr. τὸν πατρίδα. - δέ σοι pr. δέ σοι. - Στωϊκοὶ pr. Στωϊκοι - 4. ἐκείνων pr. ἐκείνῶν. εἴς τε pr. εἴς τέ. - φιλοτιμότερον pr. φιλοτιμώτερον. - μάλιστά μοι Σωκρατικὰ pr. μάλιστά μοὶ Σωκρατικά. - 5 νυξὶν pr. νυξί. - τῷ σου pr. τῷ σοῦ. - ὥσπερ τινα pr. ὥσπέρ τινα. - Παλλάδα pr. Γαλλάδα. - Parad. I. Cap. I, 6. ἐμὲ pr. ἐμέ. - τό μοι pr. τὸ μοι. - εἰρῆσθαι pr. εἴρησθαι. - τοὺς pr. τοῦς. - ἐνταῦθα pr. ἐνθαῦτα (Ion.). - τῶν pr. τῶν. - γάρ τι pr. γάρ τί. - 8. πλατὺν pr. πλατὴν. - σοφὸν pr. σόφον. - ἑπτὰ pr. ἕπτα. - ὑπό τινὸς pr. ὑπὸ τινός. - τί-ἀγαθόν ἐστι pr. τί-ἀγαθὸν ἔστι. - ἀληθεύεται pr. ἀλληθεύεται. - ἐνάρετον ἀγαθόν ἐστι pr. ἐνάρετὸν ἀγαθὸν ἔστι. - Cap. II, 10. ἐχρῆν pr. ἔχρην. - ἐλευθεριωτῶν pr. ἐλευθεριωτῶν. - Ῥωμύλος pr. Ῥώμυλος. - χρήμασιν pr. χρήμασι. - 12. ἐλευθερώσει pr. ἐλευθερώσι. - ἐσκόπουν pr. ἐκάπουν. - οὐδεμιᾶς pr. οὐδεμίας. - ποία ter pr. ποῖα. - Καρχηδονίων pr. Καρχηδωνίων. - οἱονεὶ pr. οἱονεί. - Cap. III, 13. αὐτοί τινι pr. αὐτοί τίνι. - ἀνδριᾶσι pr. ἀνδρίασι. - ἀργυρώμασιν pr. ἀργυρώμασι. - 14. νῦν bis pr. νύν-νῦν. - 15. ἐπαινετώτατός-κεκτημένος-ἐπαινετώτερον pr. ἐπαινετώτατος-κεκτημένος-ἐπαινετώτερον. - πολλῶν γε pr. πολλῶν γέ. - καθεστηκότος pr. κατεστηκότος. - Parad. II, 16. ποία τις pr. ποῖά τις. - τί-ὅν τι pr. τὶ-ὅτι. - 17. καθέστηκεν pr. καθέστηκε. - ξυμβήσεται pr. ξυμβήσεται. - 18. ἔν τινι pr. ἔν τινι. - τρόπος τις pr. τρόπους τίς. - στένουσι pr. στένουσι. - σου pr. σοῦ. - τινὲς pr. τινες. - ἀνὴρ-ἀνδρεῖος pr. ἀνήρ-ἄνδρειος. - αἱρετὸν pr. ἀρετόν. - Parad. III. Cap. I, 20. Μικρόν τι pr. Μικρον τι. - ἀποβάσεσιν pr. ἀποβάσεσι. - γενναίαν τινὰ καὶ εὐπάτριδα pr. γενναῖάν τινα καὶ εὐπατρίδα. - γραμμὰς pr. γράμμας. - ὑπερπηδᾶν pr. ὑπερποδᾶν. - οἷόν τ' pr. οἷον τ'. - ῥᾳδίως ἅπασιν pr. ῥαδίως ἅπασι. - σώφρονα-μιᾶς τινὸς pr. σώφρονα-μίας τινος. - 22. μία τίς pr. μία τις. - οἷόν τε pr. οἷόν τε. - ὀρθότερον pr. ὀρθώτερον. - γεννηθέντα pr. γεννηθέντα. - Cap. II, 23. μαστροπῶν pr. μαστρόπων. - εὐφημεῖς μὲν pr. εὐφημεῖς μέν. - διαγωνιζόμεθα pr. διαγωνιζώμεθα. - περί τινος pr. περὶ τίνος. - ἐξεληλακόσιν pr. ἐξεληλακόσι. - ὁμοίαν pr. ὁμοῖαν. - 24. πατραλοῖαι γεγόνασιν pr. πατραλοῖαι γεγόνασι. - Ταυτὶ pr. Ταυτί. - εἷς pr. εἰς. - 25. τουτό ἐστιν pr. τοῦτο ἐστίν. - παρ' pr. πάρ'. - προὔχει pr. προύχει. - ἑκάστῳ ὅσων pr. ἑκάστῳ ὅσιον. - 26. μὲν οὖν pr. μὲν οὖν. - οἷόν τε pr. οἷόν τέ. - Parad. IV. Cap. I, 27. κράτος pr. κράτοις. - γάρ ποτε pr. γὰρ πότε. - ἐστὶν pr. ἐστί. - λῃστῶν et infr. bis pr. ληστῶν. - σιδήρῳ ἐκποδὼν pr. σιδήρῳ ἐκποδῶν. - ὑπῆρχεν et infr. pr. ὑπῆρχε. - λῃστεία infr. λῃστείας pr. λῃστεία-λῃστείας. - πολιτείας pr. πολιτείας. - 28. τοίχους pr. τοίχους. - θείαν pr. θεῖαν. - ἠδύνασο pr. ἠδύνασω. - ἐστιν pr. ἐστι. - Cap. II, 30. τοὺς νεὼς pr. τοὺς νέως. - καί με pr. καὶ μέ. - συμπάντων pr. σύμπάντων. - οὐδέποτε pr. οὐδέποτε. - εἰς pr. εἵς. - καίπερ

ΠΑΡΑΔΟΞΟΝ Ε.

ΟΤΙ ΠΑΝΤΕΣ ΟΙ ΣΟΦΟΙ, ΕΛΕΥΘΕΡΟΙ· ΠΑΝΤΕΣ ΔΕ ΟΙ ΜΩΡΟΙ, ΔΟΥΛΟΙ.

I. *Δι' εὐφημίας μὲν οὖν ἀγέσθω πάσης οὗτος ὁ αὐτο-* 33
κράτωρ, ἢ καὶ τοῦτο προσειρήσθω, ἢ τῆς ἐπωνυμίας ἐκείνης
ἄξιος κεκρίσθω. Πῶς ἢ τίνος ἂν ἐκεῖνος ἄρξαι ἀνδρὸς ἐλευ-
θέρου ὁ μὴ τῶν ἑαυτοῦ κατακρατεῖν ἐπιθυμιῶν δυνάμενος;
Οὐκοῦν τὰς ἀκολάστους ὁρμὰς ἑαυτοῦ πρότερον καταστειλάτω
καὶ τῶν ἡδονῶν ὀλιγωρείτω, τὴν ὀργὴν ἐπισχέτω, τῇ δὲ πλεο-
νεξίᾳ ὅρους τιθέτω καὶ τὰς λοιπὰς τῆς ψυχῆς κηλῖδας ἐκπο-
δὼν ποιείσθω. καὶ οὕτω τοῖς ἄλλοις ἐπιτάττειν ἐπιχειρείτω
τότε, ἐπειδὰν πονηροτάταις δεσποίναις πειθόμενος παύσηται,
ἀτιμίᾳ τε καὶ ἀσχημοσύνῃ. καθ' ὅσον γὰρ ταύταις πειθήνιον
ἑαυτὸν παρέξει, οὐχ ὅπως αὐτοκράτορσιν, ἀλλ' οὐδὲ τοῖς
ἐλευθέροις ἐγκριτέος εἶναι δοκεῖ. Καλῶς γὰρ δὴ τοῦτο ὑπὸ
τῶν λογιωτάτων ἀνδρῶν διαπεφήμισται, οὓς ἔγωγ' ὡς ἀξιό-
χρεως εἰς τὸ πιστώσασθαι μάρτυρας οὐκ ἂν παρέσχον, εἰ
πρὸς ἀγροίκους καὶ ἀπαιδεύτους τινὰς τὸν λόγον ἔμελλον ποιεῖ-
σθαι. ἐπειδὴ δὲ πρὸς ἄνδρας λεκτέον ἐμοὶ φρονιμωτάτους
μηδὲ τῶν τοιούτων ἀνηκόους, τίνος ἕνεκεν ὑποστειλαίμην ἂν
προσποιούμενος, εἴ τινα ποτε ἐν τούτοις τοῖς μαθήμασι σπου-
δὴν ἐθέμην, μάτην ἐμοὶ καὶ εἰκῇ κατατετρῖφθαι; τοῦτο τοί-
νυν ὑπὸ τῶν εἰς τὰ πρῶτα τῆς παιδείας ἀνηκόντων εἴρηται,
πλὴν τοῦ σοφοῦ ἐλεύθερον εἶναι μηδένα. Τί ποτε γάρ ἐστιν 34
ἡ ἐλευθερία; ἡ τοῦ ζῆν καθὸ ἂν βουληθῇς ἐξουσία. Τίς
οὖν ἐστιν ὁ καθὸ βούλεται ζῶν, εἰ μὴ ὁ τὰ ὀρθῶς ἔχοντα με-
ταδιώκων καὶ τῷ καθήκοντι χαίρων, ὅτῳ αὖ ἐσκεμμένη καὶ
προβεβουλευμένη ὁδός ἐστι τοῦ βίου; ὅ τε τοῖς νόμοις οὐ διὰ
τὸν φόβον πειθόμενος, ἀλλ' ὅτι σωτήριον αὐτὸ τοῦτο μάλιστα

---

pr. *καὶ περ.* - *τὸ σου* pr. *τὸ σοῦ.* - *ἀνήρηκάς* pr. *ἀνήρηκας.* - *πυρ-πολήσας* pr. *πυρπολῆσας.* - *Νυμφαῖον* (sic Schneid. Lex. Blom. Anl. vd. Steph. Thes. de accentu) a Passov. Rost. rectius *Νύμφαιον* exhibetur. - *νεὼς* pr. *νέως.* - 32. *τί* pr. *τὶ.* - *ὅ σοῦ* pr. *ὁ σοῦ.* - *ᾧ τέ σε* pr. *ᾧ τέ σε.* - *δὴ* pr. *δή.* - *γαυριᾷς* pr. *γαυριᾶς.* - *ἄδυτον εἰςέφρησας* pr. *ἄδυτον εἰςέφρησες.*

ΠΑΡΑΔΟΞΟΝ Ε.

Cap. I. *Ὅτι—δοῦλοι*] Vett. Edd. et Facciolat: *Ὅτι πάντες οἱ σοφοὶ ἐλεύθεροι, πάντες δὲ* (Lugd. 1556 *πάντες οἱ*) *μωροὶ δοῦλοι*, unde Petavius suam inscript. composuit. Graev. Ern. Gernh. Orell.: *Ὅτι μόνος ὁ σοφὸς ἐλεύθερος, καὶ πᾶς ἄφρων δοῦλος.*

πρότερον] *Prius* in aliquot Codd. et Edd., vulgo *primum.* 33
διαπεφήμισται] *Διαφημίζω* est poeticum pr. *λέγω.* Infra pro *μηδὲ — ἀνηκόους* corr. *οὐδὲ — ἀνηκόους.*

Τί — ἐξουσία] Cf. Arrian. Diss. Epict. IV, 1. *ἐλεύθερός ἐστιν* 34
ὁ ζῶν ὡς βούλεται, ὃν οὔτ' ἀναγκάσαι ἔστιν οὔτε κωλύειν οὔτε βιάσασθαι. Diog. Laert. VII. §. 121. *εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας.*

τίθησιν· ὁ μήτε λέγων μήτε δρῶν μήτε διανοούμενος ὁτιοῦν, εἰ μὴ ἑκουσίως τε καὶ ἐλευθέρως· οὗ πᾶσα βουλὴ καὶ πρᾶξις ἀφ' αὑτοῦ προέρχεται καὶ πρὸς αὑτὸν ἀναφέρεται· ὥστε μηδὲν παρ' αὐτῷ δύνασθαι πλέον τῆς ἑαυτοῦ βουλήσεώς τε καὶ κρίσεως· ᾧπερ καὶ ἡ τύχη αὐτὴ (ἣν πλείστην φασὶ δύναμιν ἔχειν) ὅμως ὑπείκει. καθάπερ ὁ σοφὸς εἶπε ποιητὴς οὕτω πως λέγων· ἐκ τῶν ἰδίων ἑκάστῳ πλάττεται τρόπων. τοιγαροῦν τοῦτο μόνῳ συμβαίνει τῷ σοφῷ, ὥστε μηδὲν ἄκοντα πράττειν μηδ' ἀνιώμενον μηδ' ἀναγκαζόμενον. Ὃ κἂν διὰ πλειόνων ἐπεξεργαστέον εἶναι δοκεῖ, ἀλλὰ βραχὺ δὴ τοῦτο καὶ ὁμολογουμένως ἀληθές ἐστι, πλὴν τοῦ οὕτω διακειμένου μηδένα ὑπάρχειν ἐλεύθερον. Οὐκοῦν πονηροὶ ἅπαντές εἰσι δοῦλοι. καὶ τοῦτο μέντοι οὐ τοσοῦτον τῷ ὄντι, ὡς τῷ λόγῳ παράδοξόν ἐστι καὶ θαυμαστόν. οὐδὲ γὰρ δούλους λέγουσιν ἐκείνους, ὡς ἀνδράποδα τὰ τῶν κυρίων ἴδια γεγενημένα εἴτε ἐκ τῆς διὰ ζυγοῦ πράσεως, εἴτε ἑτέρῳ τινὶ τρόπῳ τῶν κατὰ τὰς πόλεις νομιζομένων. ἀλλ' εἴπερ ἐστὶν ἡ δουλεία πειθαρχία τις ἀνάνδρου ψυχῆς καὶ ἀπεῤῥιμμένης καὶ μὴ αὐτοκρατοῦς, τίς ἂν ἀρνοῖτο, μὴ οὐχὶ δούλους εἶναι κούφους ἅπαντας καὶ πλεονέκτας καὶ

36 *μοχθηρούς; II. Ἆρα γὰρ ἐλεύθερος ἂν ἐμοὶ δόξειεν ἐκεῖνος, ᾧ γυνὴ ἐπιτάττει; καὶ νομοθετεῖ, ὑπαγορεύει, κελεύει, ἀπαγορεύει ὅ, τι βούλεται; ὃς μηδὲν μήτε προσταττούσης ἀναίνεσθαι δύναται, μήτε τολμᾷ παραιτεῖσθαι; ἥτις ὃ ἐὰν αἰτῇ, δοτέον ταύτῃ· ἐὰν καλῇ, ἰτητέον· ἐὰν ἐκβάλλῃ, ἀποχωρητέον· ἢν δ' ἀπειλῇ, φοβητέον. Τοῦτον μὲν οὖν ἔγωγε οὐ μόνον δοῦλον, ἀλλὰ καὶ πονηρότατον δοῦλον προσαγορεύειν οἶμαι δεῖν, καίτοι λαμπροτάτης ἐξ οἰκίας γενόμενον. Καθάπερ δὲ ἐπὶ μεγάλης οἰκίας εἰσί τινες ἐπικυδέστεροι, ὡς γοῦν ἑαυτοῖς δοκοῦσιν, οἰκέται· οἷοι, φέρε εἰπεῖν, οἱ αὔλειοι· οἱ δὲ ἄλλοι καταδεέστεροι, ὡς ἂν εἶεν οἱ μεσαύλειοι. οὕτως εἰς μωρίας λόγον ἔχει τὰ κατὰ σεαυτόν. ὡσαύτως δὲ μωρίαν ὀφλισκάνουσιν*

ὁ μήτε δρῶν κτλ.] Corr. *ὁ οὔτε δρῶν — ὁτιοῦν*, vel *ὁ οὐδὲν δρῶν*.

ἐκ — τρόπων] Expressa est lectio *suis cuique fingitur moribus.* Pronomen *ea* mult. Codd. et Edd. Gernhard. uncis inclusit, Orellius liberavit.

35 *ὡς — πράσεως*] Cic. verba non accurate interpretatus est Petavius: *ut mancipia, quae sunt dominorum facta nexu.* Quid sit *nexus*, docet Ern. Cl. Cic. *Nexus* est ritus vendendi per aes et libram praesentibus quinque testibus, quo venditor obligatur ad evictionem praestandam. Quomodo *nexum* Graeci scriptores, ut Dion. Halicarn., interpretati sint, dicere nequeo, quum locos frustra quaesierim, in quibus nexus mentio fiat.

πειθαρχία τις] Post *τις* omissa sunt verba *sicut est*, i. e. *ὡς ἔχει*, *ὥς ἐστι*.

36 Cap. II. *Καθάπερ — ὀφλισκάνουσιν*] In h. l. vexato Codd. et Edd. admodum discrepant. Textus quidem Latinus ap. Petav. sic exhibetur: *Atque ut in magna familia sunt alii lautiores, ut*

οἱ τοῖς ἀγάλμασιν ἢ ταῖς γραφαῖς ἢ ἀργύρῳ τῷ γλυπτῷ ἢ
τοῖς Κορινθίων χειρῶν ἔργοις ἢ μεγαλοπρεπέσιν οἰκοδομαῖς
πλέον ἢ προσήκει τερπόμενοι. Ἀλλ' ἡμεῖς, φασίν, ἐκ τῶν
πρώτων τῆς πόλεως ἄρχοντές ἐσμεν. οὐ μὲν οὖν οὐδ' οἰκετῶν
ἄρχοντές ἐστε τῶν ὑμετέρων. Ὥσπερ δὲ κατὰ τὴν οἰκίαν οἱ 37
ἐκεῖνα φαιδρίζοντες, οἱ ἀποσμήχοντες, οἱ καταχρίοντες, οἱ καλ-
λύνοντες, οἱ ἐπιπάττοντες, οὐκ ἐν τῇ ἐντιμοτάτῃ τάξει τῆς
δουλείας ἐξετάζονται· οὕτως ἐν τῇ πόλει οἱ τῶν τοιούτων ἐπι-
θυμίαις ἑαυτοὺς ἐκδεδωκότες μόνον οὐκ ἐν τοῖς ἐσχάτοις ἐκεί-
νης τάττονται τῆς πόλεως. Ἀλλὰ μὴν μεγάλους, φῄς, ἐγὼ
πολέμους καὶ ἀρχὰς οὐκ ἐλαχίστας διεχείρισα, καὶ τὰς ἐπαρ-
χίας δέ ποτε διεῖπον. Οὐκοῦν ἀξίαν ἐπαίνου λάμβανέ τοι τὴν
γνώμην. τὸ δὲ νῦν Ἐχίονος γραφή τις ὑπὸ θάμβους ἐξεστη-
κότα σε κατέχει ἢ ἄγαλμά τι τῶν Πολυκλειτείων. Ἐῶ λέγειν,
πόθεν ἀνῄρηκας ταῦτα καὶ πῶς κέκτησαι. ἀλλ', ὅταν ἀνα-
θεωροῦντά σε καὶ θαυμάζοντα καὶ ἀναβοῶντα καθορῶ, δοῦ-
λον εἶναί σε τῶν φληνάφων ἐκείνων κέκρικα. Οὐκ ἀστεῖα γοῦν 38
ἐστὶ ταῦτα; φησίν· εἶεν, καὶ γὰρ καὶ ἡμῖν πεπαιδευμένοι εἰ-
σὶν ὀφθαλμοί. Πλὴν οὕτω κομψὰ δεῖ τὰ τοιάδε νομίζεσθαι,
οὐχ ὥστε δεσμὰ τῶν ἀνδρῶν, ἀλλ' ὡς παίδων ἀθύρματα γενέ-

---

